Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/1
gefördert von der
Deutschen Forschungsgemeinschaft

83 b
Gramm. vet. gr. ~~121 a~~

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/2
gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/3
gefördert von der
Deutschen Forschungsgemeinschaft

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/4
gefördert von der
Deutschen Forschungsgemeinschaft

ΤΟΥ

Σοφωτάτου, καὶ λογιωτάτου

ΜΑΝΟΥΗΛΟΥ τοῦ ΜΟΣΧΟΠΟΥΛΟΥ,

ΠΕΡΙ

ΣΧΕΔΩΝ.

ΗΤΟΙ

ΓΡΑΜΜΑΤΙΚΗ,

ἐν σχήματι τεχνολογικῷ, περὶ Ἐτυμολογίας, εἴτ' οὖν Τεχνολογίας, διαλαμβάνουσα. καὶ ἐς βάθος περὶ Ὀρθογραφίας εὐμεθόδως διδάσκουσα. ἐν ᾗ ἀναπτύσσονται, καὶ αἱ πλείους τῶν ἐν αὐτῇ διαληφθεισῶν Λέξεων σημασίαι, καί τινες αὐτῶν παραγωγαί. Τύποις ποτὲ ἐκδοθεῖσα, παρὰ Ῥοβέρτου Στεφάνου. νῦν δὲ τὸ δεύτερον μετατυπωθεῖσα, προτροπῇ, καὶ δαπάνῃ,

Τοῦ ἐκλαμπροτάτου, σοφωτάτου, καὶ εὐγενεστάτου

ἌΡΧΟΝΤΟΣ,

κυρίου, κυρίου,

ΚΩΝΣΤ. ἈΛΕΞΆΝΔ. ΦΙΛΙΠΠΙΔΟΥ

τοῦ ΓΑΙΟΥ.

Τοῦ παναγίου, καὶ ζωοδόχου τάφου τῆς Ἱερουσαλὴμ Ἱππέως. τῆς κραταιοτάτης, καὶ γαληνοτάτης, Αὐτοκράτορος τῶν Ῥωμαίων, τῆς τε Οὐγγαρίας, καὶ Βοχεμίας Βασιλίσσης, τῆς Αὐστριακῆς Βουλῆς Συμβούλου.

Ἐν ΒΙΕΝΝΗ, τῆς Αὐστρίας.

Παρὰ Ἰωσὴφ τῷ Κουρζβεκ, τῷ Αὐτοκρατορικῷ, καὶ Βασιλικῷ, Ἀνατολικῷ τε, καὶ Ἰλλυρικῷ Τυπογράφῳ.

ἐν ἔτει ͵αψογʹ.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/5 gefördert von der Deutschen Forschungsgemeinschaft

ΤΟΙ͂Σ

ἘΝΤΕΥΞΟΜΈΝΟΙΣ ΦΙΛΟΛΌΓΟΙΣ,

ΚΑῚ ἘΡΑΣΤΑΙ͂Σ ΤΗ͂Σ ἙΛΛΗΝΙ͂ΔΟΣ ΠΑΙΔΕΊΑΣ, ΧΑΊΡΕΙΝ.

Καθάπερ τοῖς περὶ τὰς θήρας ἐπιϛημένοις, ἀμήχανον, πάνθ' ὅσα αὐτοῖς ἐςὶ βουλομένοις, ἐν ἑνὶ δρυμῷ μετιέναι· ἀλλὰ πολλῶν αὐτοῖς ἄλσεων, πρὸς ἐπίτευξιν πάντων, τῶν, ὧν ἐφίενται χρῆζει κυνηγεσίων, ἅτε ἄλλα ἐν ἄλλοις, λανθάνου-

σι καταδυόμενα. Τὸν αὐτὸν δὴ τρόπον, καὶ τοῖς τοὺς λόγους θηρωμένοις, πολλῶν τῳόντι προσδεῖ βιβλίων, ἐφ᾽ ᾧ ἐγκρατεῖς, οὐ δι᾽ ἐφέσεως ἔχουσι γένωνται κυνηγεσίου. ἄλλα γὰρ ἐν ἄλλαις, ἐνεκεχάρακτο τὰ μαθήματα, ὡς δῆλον τοῖς καὶ μικρὸν ἐπαφεῖσι ταῖς βίβλοις τὰς ὄψεις. καὶ ταῦτα μὴ μόνον αἷς περὶ διαφόρων, καὶ διάφορα ἐνεγέγραπτο βίβλοις· ἀλλά γε τὸ θαυμασιώτερον, κἂν ταῖς Γραμματικαῖς, ταὐτὸν ἴδοι τις ἄν. ὡς γὰρ ἡ ἑκάστου πρόθεσις, καὶ ἡ τοῦ χρόνου φορὰ, εἰς συγγραφὴν τὸν συγγραφέα παρώρμησεν, οὕτω καὶ ἡ Γραμματικὴ συνετέθειτο ἐκείνῳ. ἀνθ᾽ ὅτου οἱ μὲν περὶ Ἐτυμολογίας διεξοδικώτερον διαλαβόντες, ἀκροθιγῶς ἐφήψαντο καὶ Συντάξεως. οἱ δέ τινες περὶ Συντάξεως φιλοπονήσαντες, οὐδὲ μνείαν Ἐτυμολογίας ποιησάμενοι ὤφ-

θη-

θησαν. εἰσὶ δὲ οἱ, καὶ περὶ ἑκατέρων διειληφότες συνεγράψαντο. Ἀλλ' οὐδεὶς τῶν τε πάλαι, καὶ τῶν καθ' ἡμᾶς, τοσαύτῃ προθέσει, καὶ ἐπεξεργασίᾳ, περὶ Ὀρθογραφίας ὑπεδύσατο τὸν ἀγῶνα, ὡς ὁ παρὼν συγγραφεύς. (εἰ καὶ ἄλλοις περὶ ταύτης διείληπται. ἀλλ' ἐκείνοις περὶ τῶν ἄλλων, ἢ περὶ Ὀρθογραφίας ὁ λόγος ἐγένετο πλείων.) Οὗτος γὰρ ἐνταῦθα, περὶ Ὀρθογραφίας μᾶλλον, ἢ περὶ Ἐτυμολογίας ἐν σχήματι τεχνολογικῷ, τὸν κάλαμον ἐπαφῆκεν· ἐν ᾗ ἀναπτύσσονται, καὶ αἱ τῶν πλειόνων λέξεων σημασίαι. καί τινων αἱ παραγωγαί, καὶ τεχνολογία. καθὰ δῆλον τοῖς ὀρθῇ κρίσει ταύτην μετιοῦσι· διὸ κατὰ τοῦτο καὶ ἀναγκαιοτέρα εἰκότως αὕτη τῶν ἄλλων, τοῖς τὰ ὄργια τῆς Ὀρθογραφίας ἐς βάθος γλιχομένοις εἰδέναι, καὶ πολλῶν λέξεων τὴν

 ση-

σημασίαν, τεχνολογικῶς τε ἅμα, καὶ κατ' Ὀρθογραφίαν ἐς νῦν ὡς δεῖ τιθέναι. ἀλλὰ καίτοι τοσοῦτον τοῖς περὶ τὴν Ὀρθογραφίαν ἐγκαλινδουμένοις, ἀναγκαία ἐστὶν ἡ παροῦσα, καὶ λυσιτελείας οὐχ ὅπως καὶ λεχθῆναι ῥαδίας πρόξενος γίνεται· ἔμπης διὰ τὴν ἅπαξ ποτὲ ἔκδοσιν ταύτης, κἀντεῦθεν διὰ τὴν σπάνιν, ἢ μηδόλως ἐς τὰς ὄψεις προέβη τινῶν Ἑλλήνων, μέχρι τοῦδε. ἢ καὶ τοῖς κεκτημένοις δυσπόριστος ἡ ταύτης ἐγένετο κτῆσις. ἅπερ εἰδὼς ὁ πάντ' ἄριστος, ἐκλαμπρότατος, σοφώτατος, καὶ εὐγενέστατος ἄρχων, κύριος κύριος Κωνσταντῖνος, Ἀλέξανδρος, Φιλιππίδης ὁ Γάϊας· ὁ τοῦ παναγίου καὶ ζωοδόχου τάφου τῆς Ἱερουσαλὴμ Ἱππεύς. τῆς κραταιοτάτης, καὶ γαληνοτάτης Αὐτοκράτορος τῶν Ῥωμαίων, τῆς τε Οὐγγαρίας, καὶ Βοχεμίας Βασιλίσσης,

τῆς

τῆς Αὐστριακῆς Βουλῆς ὁ Σύμβουλος. ὅια ὁμογενὴς, φιλογενὴς, καὶ ἐς ἄκρον ὑπερασπιστὴς, καὶ προστάτης, τῆς ευκλέιας τοῦ γένους ἡμῶν, ὀυκ ἤνεγκε μὴ καὶ τύποις ἐκ δευτέρου ταύτην ἐκδοῦναι, πρὸς κοινὴν τῶν ὁμογενῶν ἀυτοῦ νέων ὠφέλειαν, ἐυπόριστον τὴν βίβλον ἀπεργασόμενος. διὸ χάρις πολλὴ τῇ ἀυτοῦ ἐκλαμπρότητι, τῇ δι᾽ ἐπιμελέιας ἐχούσῃ, πολλοῖς κἀγαθοῖς τὸ γένος ἀυτοῦ κατακοσμῆσαι βιβλίοις. ὡς γὰρ ἴσασι πάντες, ὀυ μόνον ταύτην τύποις ἐκ δευτέρου, ὀικέιοις ἐξέδοτο ἀναλώμασιν· ἀλλὰ δὴ καὶ πρὸ ἀυτῆς, τὰ δι᾽ ἀυτοῦ ἐς φῶς κάλλιστα προκύψαντα βιβλία. καὶ ἦν ἐυασμενίσαν ἀυτῷ τὸ θεῖον, παρατέινοι ἐς λιπαρὸν γῆρας τὸν βίον ἀυτοῦ, διαφυλάξαν ὑγιᾶ, καὶ ἀσινῆ τοῦτον, καραδοκῶμεν ἐς νέωτα, καὶ ἔτι πλέοσι καταπλουτίσαι τὸ Γένος ἡ-

μῶν ὠφελέσι βιβλίοις· εἰς τοῦτο γὰρ ὁ ἔνθεος αὐτὸν φέρει ζῆλος· ἐπεὶ (ὅσα γε κᾀμὲ εἰδέναι) οὐδὲν αὐτῷ θυμηδέστερον ἐν τῷδε τῷ μετὰ σώματος βίῳ, τῆς ἀνακαλέσεως τοῦ γένους αὐτοῦ, ἐς τὴν, ἣν εἶχε ποτὲ τῆς σοφίας λαμπρότητα. ὅθεν καὶ περὶ πολλοῦ ποιεῖται, τύποις ἐκδοῦναι, τὰ πρὸς ταύτην ὡς μέσα φέροντα τὴν σοφίαν βιβλία· ἀλλ᾽ ἵνα εἰς τοῦτο τὸ θεοφιλὲς θερμότερον κινηθείη ἔργον, δέξασθε εὐμενῶς τὴν ἔνθεον αὐτοῦ προθυμίαν, καὶ ἔρρωσθε ἐν Κυρίῳ:

ὁ Μ. Π. Γ. ὁ Σιατιστεύς.

Ἐν ΒΙΕΝΝΗ, τῆς Αὐστρίας.
αψογ΄. Ἀπριλλίου, κέ.

ΒΙΟΓΡΑΦΙ'Α

ΤΟΥ

ΣΥΓΓΡΑΦΕ'ΩΣ.

Ὁ Μανουῆλος ὁ Μοχόπουλος, τὴν πατρίδα κληΐζεται Βυζάντιος, ἀδελφιδοῦς ὢν, τοῦ ἐκ Κρήτης ἄλλου ὡρμημένου ὁμωνύμου Μανουήλου Μοχοπούλου, τοῦ κατὰ τοὺς χρόνους Ἀνδρονίκου τοῦ Παλαιολόγου διαπρέψαντος, (α) καὶ

(α) Κρούσιος ἐν τῇ τουρκογραικίᾳ σελ. 44.

πολλοῖς τὸ γένος ἡμῶν καλακοσμήσαντος τοῖς συγγράμμασιν, ὡς δῆλον τοῖς τούτου ἐγκεκυφόσι βιβλίοις. πολλὰ γὰρ αὐτοῦ τὰ φιλοπονήματα φέρεται, ἃ καὶ τὰ πλέω οὔπω ἐξέδοτο τύποις. οἷά εἰσιν οἱ καλούμενοι ἐπιμερισμοί. τὰ ἐρωτήματα. τὰ τῶν ἡρωϊκῶν τῆς βίβλου τοῦ Φιλοστράτου Σχόλια. τὰ καὶ ἐν ἄλλαις βιβλιοθήκαις, ἀλλὰ κἂν τῇ περικλεεστάτῃ Καισαροβασιλικῇ τῆς Βιέννης, χειρόγραφα εὑρισκόμενα. καὶ ταῦτα μὲν πάντες, ὁμοφώνως, τῷ ἐκ Κρήτης προσανατίθενται τὰ συγγράμματα. περὶ δὲ τῶν ῥηθησομένων ἀμφισβητεῖται τίνα ποτε ἔχον τὸν συγγραφέα, ἆρ' οὖν τὸν πρὸς πατρὸς θεῖον, ἢ τὸν ὁμώνυμον αὐτοῦ ἀνεψιόν; τουτέστιν ἡ Σύνοψις τοῦ βίου τοῦ Εὐριπίδου, καὶ τὸ εἰς τὸ περὶ Εἰδώλου ὑπομνημάτιον, τὸ πολλάκις, καὶ πολλαχοῦ τύποις ἐκδοθὲν, καὶ παρὰ τοῦ Γασπάρου Στιβλίνου ἐς τὴν λατινίδα μετοχετευθέν. ὡσαύτως τὰ ἐς τὰς ὀλυμπιονίκας σχόλια τοῦ Πινδάρου. τὸ περὶ Ἰωνικῆς διαλέκτου. τὸ περὶ πνευμάτων, τὸ Αἴνιγμα, τὸ παρὰ τοῦ Λαμ-

βε-

βενίου (β) καὶ Νησσηλίου (γ) μνημονευόμενον. τὸ περὶ Σολοικισμῶν. αἱ κοιναὶ Παροιμίαι. τὰ εἰς τὰ τῶν παλαιῶν Ἐπιγράμματα σχόλια. τὸ οὐ μικρὸν Λεξικόν, καὶ τὸ Ὑπόμνημα περὶ Μέτρων. τὰ ἐν τῇ Ἀμβροσιανῇ βιβλιοθήκῃ ἐν χειρογράφοις ἀποταμιευόμενα. (δ) Τὸ περὶ τετραγώνων Μαγικῶν βιβλίδιον, τὸ καὶ ἐς τὴν Λατινίδα φωνὴν μετενεχθὲν, παρὰ τοῦ Φιλίππου δε λα Χίρε, ὡς ἱστορεῖ ὁ Ἰωάννης Βαπτιστὴς ὁ Δουχάμελ. (ε) καὶ ἡ τῶν ἐπιστημῶν Ἀκαδημία τοῦ Παρισίου, ἡ Γαλλιστὶ τυπωθεῖσα. (ζ) τὸ παρὰ Γεσσνέρου περὶ εὑρέσεως τοῦ τετραγωνισμοῦ νομιζόμενον. (η) ἆεν.

Τῷ δὲ Βυζαντίῳ συνῳδὰ πάντες ἀποδιδόασι, τὴν Συλλογὴν τῶν Ἀττικῶν ὀνομάτων, ἐν ταῖς εἰκόσι τοῦ Φιλοστράτου. τὴν πολὲ τύποις ἐκδοθεῖσαν Ἑνετίῃσι πα-

ρὰ

(β) Λαμβέκιος τόμ. 7. σελ. 250.
(γ) Νησ: τόμ. 1. σελ. 302.
(δ) Μουτιαυκονὸς ἐν Ἐφημερ: Ἰταλ. σελ. 17.
(ε) ἐν τῇ ἱστορίᾳ τῶν Ἀκαδ. ἐπιστημῶν τῆς ἐν ἔτει 1691. σελ. 297.
(ζ) ἐν ἔτει 1705. σελ. 212. καὶ 481. καὶ ἐν ἔτει 1710. σελ. 182.
(η) ἐν τῇ αὐτοῦ βιβλιοθήκῃ.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/15 gefördert von der Deutschen Forschungsgemeinschaft

ρὰ τοῦ Φραγγίσκου Ἀσουλάνου, ἐν τῇ τοῦ Ἄλδου τυπογραφίᾳ, μετὰ τοῦ Θωμᾶ τοῦ Μαγίστρου, Φρυνίχου, καὶ Ἀμμωνίου, ἐν ἔτει ᾳφκδ΄. καὶ παρὰ Μιχαὴλ τοῦ Βασκοσάνου, ἐν Παρισίοις τὸ δεύτερον ἐν ἔτει ᾳφλβ΄ μετατυπωθεῖσαν, μετὰ καὶ τῆς τοῦ Αἰλιανοῦ, καὶ Ὀρβικίου, περὶ λέξεων τῶν στρατιωτῶν προσθήκης. τὴν ἐν ἑκατέρᾳ τῇ ἐκδόσει τοιαύτην Ἐπιγραφὴν ἔχουσαν. τουτέστι. „Τῶν Ὀνομάτων Ἀττικῶν Συλ-
„λογὴ, ἐκλεγεῖσα ἀπὸ τῆς τεχνολογίας
„τῶν εἰκόνων τοῦ Φιλοστράτου· ἣν ἐξέδοτο
„ὁ σοφώτατος κύριος Μανουὴλ ὁ Μοσχόπου-
„λος, καὶ ἀπὸ τῶν βιβλίων τῶν ποιητῶν,
„συνελέχθη δὲ ἐνταῦθα κατὰ στοιχεῖον. Εἰ καὶ ἄλλως ἐν χειρογράφοις τὴν Ἐπιγραφὴν τὸν Φραξινέτον παρὰ Φαβρικίῳ (θ) φέρεται ἀνεγνωκέναι, ἐν τῇ Βασιλέως βιβλιο-
„θήκῃ. (ι) τουτέστι Τοῦ σοφωτάτου κυρίου
„Μανουὴλ τοῦ Μοσχοπούλου Βυζαντίου, (τοῦ
„Κρητὸς ἀνεψιοῦ,) ἐκλογὴ κατὰ στοιχεῖον
„Ὀνομάτων Ἀττικῶν, οἷς οἱ δοκιμώτα-
„τοι χρῶνται τῶν παλαιῶν. Προσέτι τῷ Βυζαντίῳ ἀνατίθενται, καὶ τὰ ἐκδοθέντα παρὰ τοῦ Ἄλδου ἐν ἔτει ᾳφκέ. τὸ περὶ συντά-

ξεως

(θ) τόμ. δ΄. Κεφ΄. λδ΄. σελ. 535.
(ι) κώδ. 1853.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/16 gefördert von der Deutschen Forschungsgemeinschaft

ξεως ἀμέλει τῶν ὀνομάτων, καὶ ῥημάτων, καὶ περὶ Προσῳδίας. καὶ μεταλυπωθένλα ἐν Παρισίοις ἐν ἔτει αφμδ΄. καὶ ἐν τῇ Βασιλέᾳ ἐν τῷ αφμς΄. Τούτῳ εἰσὶ, καὶ τὰ εἰς τὰ Ἔργα, καὶ ἡμέρας τοῦ Ἡσιόδου σχόλια. καὶ ἡ παράφρασις, εἴτ᾽ οὖν γραμματικὴ ἐξήγησις εἰς τὰ δύο τῆς Ἰλιάδος πρῶτα βιβλία, ἡ παρὰ τοῦ Ἰωάννου Σχερπεζελίου ἐν Ἀμστελοδάμῳ ἐκδοθεῖσα ἐν ἔτει αψβ΄. πρὸς τοῖς ῥηθεῖσι, καὶ τὴν παροῦσαν αὐτῷ ὁ Φαβρίκιος οἰόμενος προσαναλίθεται βίβλον. (κ) τὴν παρὰ Ῥοβέρτου Στεφάνου τοῦ κατ᾽ ἐκεῖνο καιροῦ βασιλικοῦ τυπογράφου, ἐν τῇ Λουτετίᾳ τῶν Παρισίων ἐκδοθεῖσαν, κατὰ τὸ κοσμοσωτήριον ἔτος τὸ αφμδ΄. καὶ τανῦν τὸ δεύτερον μεταλυπωθεῖσαν. περὶ ἧς κἀνταῦθά μοι ἔδοξε μικρὸν ὑπομνῆσαι τοὺς φιλολόγους τῆς ἐκδόσεως. ὡς ἐπιτραπέσης μοι παρὰ τοῦ ῥηθέντος ἐκλαμπροτάτου, τῆς κατὰ τύπον ἐπιδιορθώσεως τοῦ παρόντος Συντάγματος. οὐ μόνον ἐξ ὧν εἶχε προτέρων τυπικῶν σφαλμάτων, δι᾽ ἐπιμελείας ἐγένετό μοι ἀνακαθάραι τὴν βίβλον· ἀλλὰ δὴ καὶ ἐκ τῶν τυπωθεισῶν διαφορῶν, τῶν ἐν τῷ τέλει τῆς βίβλου τῆς πρώτης ἐκδόσεως κειμένων, (ἃς ὁ τότε ῥηθεὶς ἐκδότης ἐφεύ-

(κ) τόμ. ζ΄ βιβ΄ ε΄ Κεφ΄. ζ΄ σελ. 37.

ἐφεῦρεν ὡς γράφει, „ Διαφοραὶ ἃς εὕρο-
„ μεν ἔντινι παλαιοτάτῳ ἀντιγράφῳ, τυ-
„ πωθέντος ἤδη τοῦ βιβλίου, τυχόντες αὐ-
„ τοῦ ἐκ τῆς τοῦ βασιλέως βιβλιοθήκης.)
τὰ οἰκειότερα, καὶ προσφυέστερα, ἐς τὴν
τῆς ἐννοίας ἀνάπτυξιν ἀναλέξασθαι, καὶ
ἐν οἰκείῳ κατὰ τὴν σημείωσιν ἐκείνου προ-
σαρμόσασθαι τόπῳ. μηδὲν τοπαράπαν
προσθέντι, ἢ ἀφαιρήσαντι. (τοῦτο γὰρ
ἐσχάτης ἂν εἴη ἀνοίας, μετακινεῖν τὰ τῶν
ἄλλων, ἢ ἐπιδιορθοῦν, καὶ μὴ ὡς παρὰ τῶν
συγγραφέων συνεγέγραπτο ἐᾷν.) ὥστε ἀνε-
ρυθριάστως ἂν εἰπεῖν ἔχοιμι, πολλῷ τῷ
μέτρῳ ἡ δευτέρα τῆς πρώτης, καὶ κατὰ
τοῦτο ὑπερφέρει ἐκδόσεως. εἰ δέ τι τῇ ῥύ-
μῃ τῆς κατὰ τύπον ἐπιδιορθώσεως, κἀμὲ
διεκφυγὸν παρέδραμε, συγγνωστέος ἂν εἴη ὁ
τῶν πλειόνων πεφροντικὼς, καὶ τῶν
μικρῶν (τυχὸν) τὴν ἐπιδιόρθωσιν, τῇ
ἐπιεικείᾳ τοῦ ἀναγνώστου κα-
ταλιπών.

ὁ αὐτὸς Μ. Π. Γ. ὁ Σιατιστεύς.

ΕΥΧΑΡΙΣΤΟΥ ΓΝΩΜΗΣ ΥΠΟΜΝΗΜΑ
ΗΡΩΕΛΕΓΕΙΟΝ

Πρὸς τὸν ἐκλαμπρότατον, καὶ πολυμαθέστατον

Κύριον Κύριον

ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΑΛΕΞΑΝΔΡΟΝ ΦΙΛΙΠΠΙΔΗΝ

τὸν ΓΑΙΟΝ.

Τȣ̃ παναγίȣ καὶ ζωοδόχȣ τάφȣ τῆς Ἱερȣσαλὴμ Ἱππέα, Τῆς κραταιοτάτης καὶ γαληνοτάτης Αὐτοκράτορος τῶν Ῥωμάιων τῆς τε Οὐγγαρίας, καὶ Βοχεμίας Βασιλίσσης, τῆς Αὐστριακῆς Βȣλῆς Σύμβȣλον κ. τ.

Ἄρχεο Μȣ̃σα φίλη, Ζηνὸς τέκος ἀγλαόμορφον,
Ἄρχεο Καλλιόπη ἱμερόεσσα θεά,
Ἀνδρ᾽ ἀγακλειτὸν ὕδειν Ἑλλήνων πάμμεγα κῦδος,
Κ᾽εὖχος ἀπειρέσιον ἔξοχα Μακεδόνων.
Φαίδιμον Αὐστριακῆς Γαΐον συμφράδμονα βουλῆς,
Ἱππέα τῆς ἀρετῆς δεξάμενόντε γέρας.
Τοῦ πρῶτον στέψαν κορυφὴν πολύμητιν Ἀθῆναι,
Παμφαὲς ὄμμα Χάλη Γερμανίηστε κλέος.

Οὐδὲν

Οὐδὲν δ᾽ αὖ ἧττον Γγαιτίγξη, Πατάβιόντε,

Κόσμησαν σοφίης ἄνθεσ᾽ ἀκηρασίοις.

Κᾆτα μίνσε Θέμις τοῦτον πάντ᾽ ὀλβιοδαίμων,

Θέσκελα Εὐνομίης ὄργια ἠγαθέης.

Αὐτίκα γοῦν τοῖον πολυΐδμονα ἄξιον εὗρεν,

Ἧς ἐλέες, χάριτος Πότνια ΘΗΡΕΣΙΉ.

(ΘΗΡΕΣΙΉ θεόφρων, σκηπτοῦχος γ᾽ εὐρυάνασσα

Μήτηρ ΙΏΣΗΦ ΚΑΊΣΑΡΟΣ ἀθανάτε.

Παντοίης ἔμπνουν ἀρετῆς θεότευκτον ἄγαλμα,

Γνῶμα τὸ κοιρανίης χάρμα μέγ᾽ ἀρχομένων)

Καὶ γὰρ ὁ ἐμμαπέως ὡς ἐδεὶς δείγματα ἄλλος,

Οὐκ ὀπάσαι λήγει πιςοτάτοιο νόου.

Ἔργματα δὴ πάτρης δρῶν ἄξια κυδιανείρης,

Ὡς πολυΐδρις ἀεὶ δείκνυσιν εὐδοκιμῶν.

Ἦ ῥ ἐδ᾽ αὐτὸ δέδορκε πάλαι φάος ἠελίοιο,

Πολλὲς τοιέτες θαυμαλέες ἀνέρας.

Μεσάων Ἱερῶν θεράπων θαυμάζεται οἶος,

Πολλῆς κ᾽ ἀμφιλαφὲς Γάϊος ἰδμοσύνης.

Ὅς τῆς Ἑλλαδικῆς ἐχ ἧττον τ᾽ Αὐσονίωνγε,

Γαλλῶν, Γερμανικῆς τ᾽ εὐεπίης γλυκερῆς.

Τῆς Ἰταλῶν δ᾽ αὖ θελξινόε μάλα καλλιεπείης.

Τερκῶν, ἠδὲ Βλαχῶν, κ᾽ ἔμπλεος Ἰλλυρικῆς.

Μὲνος

Μοῦνος ἐν ἄςρασι λαμπετόει ὡς Ἡ'λιόστις,

Ποικιλομόρφῳ ἄγαν μαρμαρυγῇ σοφίης.

Τόνδε δ' ἀεὶ θάλλειν τ' ἐγκαλλώπισμα Βιέννης,

Κἄνθος πορφύρεον καλλιχόρου πόλεως.

Ε'στε φίλης πάτρης κλέος, ἔστ' ἀπερείσιον ἦθος

Μακεδόνων πάντων, εὔχεται ἐκ κραδίης.

Ε' Βιέννῃ τῆς Α'υςρίας

K. X. Γ. Τζεχάνη
Μακεδών.

ΤΟΥ̃ Α'ΥΤΟΥ̃ Ε'ΙΣ ΤΟ'Ν Α'ΝΑΓΝΩ'ΣΤΗΝ.

Γλῶτταν ἐς Ε'λλαδικὴν μεμαὼς φιλόμουσε ἀταρπὸν

Ῥηϊδίην ἴχειν, ἠδ' ἄμ ἑτοιμοτάτην,

Κτῶ, χρῶ τήνδε βίβλον, φάος ἀθροῦσαν παναρίςου

Ε'υδοκίῃ Γαΐου δεύτερον ἠελίου.

Καὶ γὰρ συντομίην δολιχῆς δείξει σοι ὁδοῖο,

Μουσῶν τὸ ζάθεον εἰς ἑλικῶνα ὄρος.

Δέλτος ἐπεὶ ἄυτη μίτον ὥσποτε τίςγ' Α'ριάδνη

Μὴ δείσειν δώσει τὸν λαβύρινθον ὅλον.

Γλῶττα γὰρ ἀτρεκέως, τοῖος οὖσ' Ε'λλάδος ἄλλος

Τῆς ἐράωσι δρόμον πουλύπλοκον παρέχει.

Αὐτὰρ ἁβρὸς λειμῶνγε τόσος τοῖος μέγας ἄυτη,

Α'νθεσιν οἷος, ὅσος πᾶσι κομῶν σοφίης.

** Ε'ΤΕ-

Ε῞ΤΕΡΟΝ ΤΟΥ͂ Α᾿ΥΤΟΥ͂ Ε᾿ΙΣ ΤΗ͂Ν ΓΡΑΜΜΑΤΙΚΗ΄Ν.

Τοῖον ἔμεν πεῖρας παντὸς, μέσον οἷον ἀείδει
Τῶν ἑλικωνιάδων πᾶσα χοροστασίη.
Οὐδεὶς ἐς ἰδμοσύνην τέχνην τε ἂν εἶχε δαῆναι
Μὴ δι᾿ ὅου εὑρὼν ῥηϊδίως τελέειν.
Ὢ πόποι! ἄρτιον αὐτοτελές τ᾿ οὐδὲν γ᾿ ἄτερ οὐδὲν
Γραμματικῆς τέχνης πουλυπόνου γλυκερῆς.
Οὐδὲ γὰρ Ἡρακλῆς δίχ᾿ ἀρωγοῦ Ἰόλεώγε,
Πεφνέμεν εἶχεν Ὕδρην τήν ποῖ ἀμαιμακέτην.
Οὐδέτις οὐλομένης ἀδαημονίης κεφαλάς γε
Τῆσδε ἄνευ ἕξει πολλαπλόας καθελεῖν.

ΤΟΥ

ΤΟΥ͂ ΣΟΦΩΤΑΤΟΥ ΚΑῚ ΛΟΓΙΩΤΑΤΟΥ ΜΑΝΟΥΗΛΟΥ ΜΟΣΧΟΠΟΥΛΟΥ, ΠΕΡῚ ΣΧΕΔΩ͂Ν.

Κύριε Ἰησοῦ Χριϛὲ, ὁ θεὸς ἡμῶν, ὁ ἀσπόρως εὐδοκήσας τεχθῆναι ἐκ τῆς ἁγίας θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ταῖς πρεσβείαις αὐτῆς, καὶ τοῦ χρυσοῤῥήμονος Ἰωάννου, φώτισον τὸν νοῦν τοῦ νέου, τοῦ νῦν ἀρξαμένου τοῦ σχεδογραφεῖν, καὶ τὴν καταρχὴν εὐλόγησον τοῦ σχέδους.

ΚΥΡΙΕ ἸΗΣΟΥ͂ ΧΡΙΣΤῈ Ὁ ΘΕῸΣ ἩΜΩ͂Ν. Πόσα μέρη λόγου εἰσί; Τρία. Κύριε, Ἰησοῦ, χριϛὲ, θεὸς· ὄνομα. Ὁ, Ἄρθρον. ἡμῶν, ἀντωνυμία. Τὰ γὰρ δύο ὀνόματα, ἢ καὶ πολλὰ, εἰς ἓν συνάγονται ὄνομα, καὶ ἕν εἰσι μέρος λόγου. ὡσαύτως καὶ τὰ πολλὰ ῥήματα εἰς ἓν συνάγονται, τὸ ῥῆμα, καὶ ἓν εἰσι μέρος λόγου. καὶ αἱ πολλαὶ Ἀντωνυμίαι εἰς ἓν, τὴν Ἀντωνυμίαν. καὶ ἐπὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν ὁ αὐτὸς λόγος.

ΚΥ΄ΡΙΕ. Ποίας πλώσεως; Κλητικῆς τῶν ἑνικῶν. Ἡ εὐθεῖα ὁ κύριος. Πόθεν γίνεται; Παρὰ τὸ κῦρος. ὃ γίνεται ἀπὸ τοῦ κυρόω, κυρῶ, τὸ βεβαιῶ, καὶ τάττω, ἤγουν τὸ βέβαιον καὶ στεργόμενον. κύριος γάρ ἐστιν, ὃς ἄρχει ἑκόντων τῶν ὑπηκόων. Πόσα σημαίνει τὸ κῦρος; Δύο, τὸ βέβαιον, καὶ τὴν στεργομένην ἀρχὴν ὑπὸ τῶν ὑπηκόων. καὶ κλίνεται τοῦ κύρεος καὶ κύρους, ὡς τείχεος καὶ τείχους. ἔστι δὲ καὶ Κῦρος ἀρσενικῶς, ὄνομα κύριον. Τὸ κῦ, ψιλόν. Τέσσαρές εἰσιν ἀκολουθίαι τῶν ἀντιστοίχων. Ἡ διὰ τοῦ ο μικροῦ, ᾗ ἀντίκειται ἡ διὰ τοῦ ω μεγάλου. Ἡ διὰ τοῦ ε ψιλοῦ, ᾗ ἀντίκειται ἡ διὰ τῆς αι Διφθόγγου. Ἡ διὰ τοῦ Ι, ᾗ ἀντίκειται ἡ διὰ τοῦ Η, ἢ ἡ διὰ τῆς Ε καὶ Ι Διφθόγγου. Καὶ ἡ διὰ τοῦ υ ψιλοῦ, ᾗ ἀντίκειται ἡ διὰ τῆς ο καὶ Ι Διφθόγγου. καὶ ἄλλαι μὲν οὖν λέξεις ἄλλαις ὑπόκεινται. Τὸ δὲ κύριος, τῇ διὰ τοῦ υ ψιλοῦ.

Τίνα ἀπὸ τῆς κυ συλλαβῆς ἀρχόμενα, ὑπὸ ταύτην τὴν ἀκολουθίαν εἰσί; Ταῦτα. Κύριος. Κῦμα. Κυμαίνει θάλαττα, ἀντὶ κύματα ἐγείρει. Κυλίω, ἀφ᾽ οὗ καὶ κύλινδρος. Κύκλος. Κυκλέω, κυκλῶ, τὸ στρέφω. Κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω. Κῦτος, πᾶν τὸ ἔχον κοιλότητα, καὶ χωροῦν τι· καὶ αὐτὴ ἡ κοιλότης, καὶ διαχώρησις. Κῦβος, πᾶν τετράγωνον κατὰ πλάτος καὶ κατὰ βάθος ἰσάκις ἴσον. ἐπεκράτησε δὲ ἰδίως λέγεσθαι κύβους, τὰ ἐστιγμένα ὀστᾶ, οἷς χρῶνται οἱ ταυλίζοντες. Κυβιστὴς καὶ κυβευτὴς, ὁ τούτοις χρώμενος. Κυβεύω. Κυβεία. Κυλλήνη, πόλις Ἀρκαδίας. ἀφ᾽ ἧς καὶ Κυλλήνιος ὁ Ἑρμῆς. Κυλλὸς, ὁ βεβλαμμένος τὶ μέλος.

λος. ἀφ' οὗ κυλλοπόδης, καὶ κυλλοποδίων ὁ Ἥφαιστος. Κύπρος, νῆσος. ἀφ' ἧς καὶ Κυπρογένεια ἡ Ἀφροδίτη. Κύπρις, ἡ αὐτή. Κύκνος, ζῶον πτηνόν. Κύαμος, εἶδος ὀσπρίου. Κύει ἡ γυνὴ, ἤγουν ἐγκυμονεῖ. Κύω, τὸ φιλῶ, ὡς παρ' Ἀριστοφάνει, Κῦσόν με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. καὶ προσέκυσα παρ' αὐτῷ, ἀντὶ προσεκύνησα. Κύμβαχος ποιητικῶς, ὁ ἐπὶ κεφαλὴν καὶ ὤμους κείμενος. Κύμβαλα, ὄργανά τινα κρουστά. Κύθηρα, πόλις. ἡ καὶ οὐδετέρως λέγεται πληθυντικῶς τὰ Κύθηρα. ἀφ' ἧς καὶ Κυθέρεια ἡ Ἀφροδίτη. Κυνῶ ποιητικῶς, τὸ προσκυνῶ. Κυρήνη, πόλις. καὶ ὁ ἀπὸ ταύτης, Κυρηναῖος. Κυάνεον, τὸ μέλαν. Κύων, ζῶον χερσαῖον καὶ θαλάττιον, καὶ ἐν οὐρανῷ ἄστρον, ἀπὸ τοῦ κυνὸς τοῦ χερσαίου. Κύνες, γένος φιλοσόφων, οἵτινες ἐλέγοντο καὶ Κυνικοὶ, διὰ τὸ σκώπτειν, καὶ οἱονεὶ δάκνειν ὥσπερ κύνες. Κῦδος, ἡ δόξα. κυδαίνω, τὸ δοξάζω. Κυρέω, κυρῶ, τὸ βεβαιῶ καὶ τάττω. Καὶ κυρέω, κυρῶ, τὸ περιτυγχάνω, καὶ τὸ ὑπάρχω κατὰ τοὺς τραγικούς. Κυδοιμὸς, ὁ θόρυβος. Κυβιστῶ, τὸ κολυμβῶ. Κυδώνιον, εἶδος ὀπώρας. Κυδωνία, πόλις κρήτης. Κυνῆ, ἡ περικεφαλαία. Κυνηδὸν, ἀντὶ δίκην κυνός. Κυαμοτρὼξ, ὁ τοὺς κυάμους ἐσθίων. Κυναίγειρος, ὄνομα κύριον. Κύαθος, τὸ ἀντλητήριον. Κύλιξ, θηλυκῶς τὸ ποτήριον. Κυανοχαίτης, ὁ Ποσειδῶν, ἤγουν μελανόθριξ. Κύζικος, πόλις. Κύμινον, ἀφ' οὗ κυμινοπρίστης, ὁ φειδωλός. Κυψέλη, ἀγγεῖόν τι διαπεπλεγμένον ἐκ σπάρτου, ὃ καθιᾶσιν οἱ ἁλιεῖς εἰς τὴν θάλασσαν δελεάσαντες. Κυψελὶς, ὁ ῥύπος τῶν ὠτίων. Κυνηγὸς, ὃς παρ' Ἀττικοῖς λέγεται κυνηγέτης. Κυφὸς, ὁ κυρτός. Κυρίττω, τὸ κερατίζω. Κυκεὼν,

εἶδος ποτοῦ. Κυλοιδιῶ, τὸ τοὺς ὀφθαλμοὺς ἐξογκοῦμαι. Κύσις, τὸ ὑπογάστριον μέρος τοῦ σώματος. Κύθνος, νῆσος μία τῶν κυκλάδων. ὁ ἀπὸ ταύτης, Κύθνιος. Κυνόσαργες, ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων. Κύρβεις ἀῤῥενικῶς, ἔστιν ὅπου καὶ θηλυκῶς, λίθοι. οὕτως ἐλέγοντο κυβοειδεῖς, ὀρθοὶ ἑστῶτες, ἐν ὕψει τοὺς νόμους ἔχοντες ἐγγεγραμμένους. καὶ ἕτερα.

Τίνα διὰ τῆς ο καὶ ι Διφθόγγου; Ταῦτα. Κοῖλον, ὃ λέγεται ἐπὶ τῶν κόλπους ἐχόντων. ᾧ ἐναντίον τὸ ναστόν. ἀφ' οὗ κοιλία, καὶ κοιλὰς, καὶ κοιλαίνω. Κοινὸν, οὗ μετέχουσι τοὐλάχιστον δύο. Κοινεῖον, τὸ καπηλεῖον. Κοιαίστωρ, ἀξίωμα ῥωμαϊκόν. ἔστι δὲ ὁ συζητῶν καὶ ἐρευνῶν ἐπὶ χρήμασι. Κοιαισίτωρ δὲ κατ' ἐπέκτασιν, οἱονεὶ ὁ ἐπ' ἐγκλήμασι τιμωρός. Κοίας, ὁ στρογγύλος λίθος. Κοιόλης, ὁ ἱερεύς. Κοίρανος, ὁ ἡγεμών. Κοισυρῶ, τὸ καλλωπίζω. Κοινωνός. Κοιμῶμαι. Κοίτη, ἡ στρωμνή. Κοιτάζω. Κοιτὼν, κυρίως μὲν ὁ οἶκος ὁ περιέχων κοίτας πολλὰς, ὡς οἱ ξενῶνες· καταχρηστικῶς δὲ τὸ κοινῶς λεγόμενον κελλίον. Κοινῶ, τῷ μολύνω. ὡς ἐν τῷ, Ἃ ὁ Θεὸς ἐκάθηρε, σὺ μὴ κοίνου. Κοιμίζω, τὸ καταπραΰνω. καὶ ἕτερα. Τὸ ει, ι. Τὰ διὰ τοῦ ιος ἐπίθετα, εἴτε κύρια, εἴτε ἀπὸ τόπου λαμβανόμενα, ὡς ἐπὶ τὸ πλεῖστον, ὑπὸ τὴν διὰ τοῦ ι ἀκολουθίαν εἰσιν. ἐπίθετα μὲν, οἷον Ἅγιος. Κύριος. Ὅσιος. Λόγιος. Ἄξιος. κύρια δὲ, οἷον Δημήτριος. Γεώργιος. Ἀλέξιος. Ἀθανάσιος. Ἀκάκιος. καὶ τὰ τῶν μηνῶν ὀνόματα, οἷον μάρτιος, ἀπρίλλιος. καὶ τὰ τῶν ἄλλων. Ἄρειος δὲ, καὶ Βασίλειος, καὶ Ἡράκλειος διὰ Διφθόγγου. ἀπὸ τόπου δὲ λαμβανόμενα, οἷον Οὐράνιος. Θαλάσσιος.

Κα-

Καταχθόνιος. Σαλαμίνιος. Α'ιγύπΊιος. Σάμιος. Κύπριος. Ρ'όδιος. καὶ ἕτερα. Ο'σα δὲ σύγκειται ἀπὸ τοῦ γέα, διὰ τῆς ι Διφθόγγȣ γράφεται, οἷον Ε'υγειος. ἐπίγειος. περίγειος. πρόσγειος, ὁ πλησίον τῆς γῆς. καὶ ἔγγειος, ὁ ἐν τῇ γῇ. ἔγγιον δὲ τὸ πλησίον, ι.

Ι'ΗΣΟ'Υ. Ποίας πλώσεως; Κλητικῆς τῶν ἑνικῶν. Η' ἐυθεῖα ὁ Ι'ησοῦς. ἔςι δὲ ἑβραϊκὸν, καὶ ἑρμηνέυεται σωτήρ. Τὸ ι πρῶτον, ι. Τὰ ἀπὸ τῆς ι συλλαβῆς ἀρχόμενα, ἔχοντα τὴν δευτέραν ἀυτῶν συλλαβὴν ἀπὸ Φωνήεντος ἀρχομένην, ἤγουν τοῦ α, ἢ τȣ̃ ε, ἢ τοῦ ι, ἢ τȣ̃ ο μικροῦ, ἢ τȣ̃ ω μεγάλου, ἢ τῆς ου Διφθόγγȣ, ὡς ἐπιτοπλεῖςον διὰ τοῦ ι τὴν προτέραν ἔχουσιν.

Τὰ ἀπὸ τȣ̃ α, οἷον Ι'ατρός. Ι'άειρος. Ι'άκωβος. Ι'ατταταὶ, καὶ ἰατταταιὰξ ἐπίῤῥημα, ἀντὶ Φεῦ. Ι'άλεμος, ὁ θρῆνος. Ι'άπτω, τὸ βλάπτω, καὶ λοιδορῶ. Ι'άσων. Ι'άμβλιχος. Ι'αννῆς καὶ Ι'αμβρῆς, ὀνόματα κύρια. Ι'αχὴ, ἡ κραυγή. Ι'αμβος. Ι'άλλω, τὸ πέμπω. καὶ ἕτερα.

Τὰ ἀπὸ τοῦ ε, οἷον Ι'ερεμίας. Ι'εζεκιήλ. Ι'ερουσαλήμ. Ι'εσσαί. Ι'εριχὼ, καὶ Ι'εριχοῦς, πόλις. ὁ ἀπὸ ταύτης, Ι'εριχούντιος. Ι'εζάβελ. Ι'εράτευμα. Ι'ερέυω, τὸ θύω. ἱερεῖον, τὸ θῦμα. καὶ ἕτερα.

Τὰ ἀπὸ τοῦ η, οἷον Ι'ησοῦς, καὶ γίνεται παρὰ τὸ ἰαὼ, ὃ δηλοῖ τὴν σωτηρίαν, ὅπερ ἐςὶν ἑβραϊκόν. κρειτἴόνως δὲ οἶμαι ἀποδίδοσθαι παρὰ τὸ ἰῶ, τὸ θεραπέυω.

πέυω. ου ὁ μέλλων ἰάσω, καὶ ἐξ αὐτοῦ, ἰασοῦς· καὶ τροπῇ τοῦ α εἰς η, Ἰησοῦς. Ἰητρὸς ποιητικῶς ὁ ἰατρός. Ἰήϊος, ἐπίθετον τοῦ Ἀπόλλωνος. καὶ ἕτερα.

Τὰ ἀπὸ τοῦ ο μικροῦ, οἷον Ἰοκάση. Ἰοβάτης. Ἰοβιανός. Ἰὸς, τὸ βέλος. Ἰοδόκη, ἡ βελοθήκη. Ἰοχέαιρα, ἐπίθετον τῆς Ἀρτέμιδος. Ἰόμορος, ὁ τοῖς βέλεσι μεμορημένος, ἤγουν ἀποκεκληρωμένος, καὶ ἐκ μοίρας δαίμονος κεκρατημένος. Ἰότης, ἡ βουλή. Ἰόλαος. καὶ Ἰὸς, ὁ γινόμενος ἐν σιδήρῳ καὶ χαλκῷ, καὶ δαπανῶν αὐτά. καὶ ἕτερα.

Τὰ ἀπὸ τοῦ ω μεγάλου, οἷον Ἰωσήφ. Ἰωήλ. Ἰώσηπος. Ἰωνᾶς. Ἰωάννης. Ἰωακείμ. Ἰώβ. Ἰωκὴ, ἡ δίωξις, καὶ ἡ κραυγή. Ἰωβηλαῖος, ἀφέσεως ἐνιαυτός. Ἰωνιὰ, ὁ περιέχων ἴα τόπος. Ἰωτάπατα, πόλις. Ἰῶτα, καὶ ἰὼ, ἀντὶ φεῦ. καὶ ἕτερα.

Τὰ ἀπὸ τῆς ου διφθόγγου, οἷον Ἰούνιος. Ἰούλιος. Ἰουλιανός. Ἰουστῖνος. Ἰούδας, καὶ Ἰοὺ, ἀντὶ φεῦ. καὶ ἕτερα.

Ἠεροφοῖτις δὲ ἐριννὺς, ἡ ἀοράτως φοιτῶσα. καὶ Ἠερόφωνοι κήρυκες, ὧν ἡ φωνὴ μέχρι τοῦ ἀφανοῦς διϊκνεῖται. ἃ γίνεται παρὰ τὸ ἀὴρ, τροπῇ τοῦ α εἰς η. Ὃ δηλοῖ παρὰ τοῖς ποιηταῖς τὸν παχὺν ἀέρα, καὶ ὁμιχλώδη, ὡς παρ' Ὁμήρῳ „Ἠέρα ἑσσάμενοι. ἤγουν ἀορασίαν. Ἠετίων, ὄνομα κύριον. Ἠέλιος, ὁ ἥλιος. Ἠὼν, ὁ αἰγιαλός. Ἠὺς, ὁ καλός. ὅθεν, ἠϋγένειος, ὁ μέγα τὸ γένειον ἔχων, ἢ ὁ εὐγενής. Ἠὼς, ἡ ἡμέρα, καὶ τὸ πρὸ ἡλίου πεφωτισμένον. καὶ ονομα

θεᾶς,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/28 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

θεᾶς, η. Εἶα δὲ ἐπίῤῥημα παρακελευσματικόν. καὶ Ἐιαρινὸς ποιητικῶς, ἀντὶ ἐαρινὸς, διὰ τῆς ε καὶ ι Διφθόγγου.

Τὸ η, τὸ δεύτερον, η. κατὰ τροπὴν τοῦ α εἰς η Ἰησοῦς. ἀπὸ γὰρ τοῦ ἰαῶ γίνεται, ὃ δηλοῖ παρ' ἑβραίοις τὴν σωτηρίαν. ἐπὶ τῷ ι, ψιλήν. τὸ α, ε, η, ι, ο μικρὸν, καὶ ω μέγα πρὸ φωνήεντος ὄντα κατὰ διάστασιν, ψιλοῦνται.

ΧΡΙΣΤΕ', Ποίας πλώσεως; Κλητικῆς τῶν ἑνικῶν. Πόθεν γίνεται; Ἐκ τοῦ χρίω, τὸ ἀλείφω. Τὸ χρι, ι. Τίνα διὰ τοῦ ιω ῥήματα καὶ ἐνεργητικῶς ἐκφερόμενα, καὶ παθητικῶς, διὰ τοῦ ι γράφεται; Ταῦτα. Κυλίω. Κονίομαι, τὸ εἰς μάχην ἑτοιμάζομαι. Μηνίω, τὸ μνησικακῶ. Ἐσθίω, τὸ τρώγω. Τίω, τὸ τιμῶ. ἐξ οὗ τιμή. Τίω, τὸ τιμωροῦμαι, ἐξ οὗ τιμωρία. Τίω, τὸ δίδωμι, καὶ μετὰ τῆς ἀπὸ, προθέσεω, ἀποτίω, τὸ ἀποδίδωμι, ὡς τὸ, „Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει. Χρίω, τὸ ἀλείφω. Χρείω δὲ τὸ μαντεύομαι, διὰ τῆς ε καὶ ι Διφθόγγου, καὶ τἄλλα ὅσα ἀπὸ ἐνεστῶτος ἢ μέλλοντός εἰσι παρηγμένα. οἷον Ὀψείω. Βρωσείω. Πολεμησείω. Ὁπλισείω. Θαυμασείω. κιχείω, καὶ ὅσα ἀπὸ πλεονασμοῦ ἔχουσι τὸ ι. οἷον Σέω, σείω. ἀφ' οὗ σεισμός. καὶ ὅσα ἔχουσι τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν, οἷον Κλείω, ὅτι κλοιός.

Καὶ ἄλλως, ἀπὸ τοῦ ἴσος. Τίνα διὰ τοῦ ισος ὀξύτονα, ἢ προπαροξύτονα διὰ τοῦ ι γράφεται;

Ταῦτα. Ὀξύτονα μὲν, Πιςός. Χριςός. Ὀϊςὸς, τὸ βέλος. Ἱςὸς, ὁ ὑφαινόμενος. Ἱςὸς, τὸ τῆς νηὸς κατάρτιον. Χρηςὸς δὲ, ὁ ἀγαθός. Ἡςὸς, ὁ εὐφραντός. καὶ Σηςὸς, πόλις Ἀβύδου, η. Σειςὸς δὲ, κόσμος γυναικεῖος, ὁ σειόμενος, διὰ τῆς ε καὶ ι διφθόγγου. Προπαροξύτονα δὲ, Κάλλιςος. Βέλτιςος. Ὕψιςος. Χείριςος. Ἐπονείδιςος. Κάκιςος. Αἴχιςος. Εὔπιςος, ὁ εὐκόλως πιςευόμενος. καὶ Δύσπιςος, ὁ δυσκόλως πιςευόμενος. καὶ ἕτερα. Εὔχρηςος δὲ, ὁ χρησιμεύων· καὶ ἄχρηςος, ὁ μὴ χρησιμεύων, διὰ τοῦ η. Εὔπειςος δὲ, ὁ εὐκόλως πειθόμενος. καὶ Δύσπειςος, ὁ δυσκόλως πειθόμενος, διὰ τῆς ε. καὶ ι. διφθόγγου.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς χρι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται; Ταῦτα. Χρίω, τὸ ἀλείφω. ἀφ᾽ οὗ Χρίσμα, καὶ χριςὸς, ὁ ἠλειμμένος. ἐχρίοντο δὲ τὸ παλαιὸν τῷ κέρατι τοῦ ἐλαίου οἱ βασιλεῖς, καὶ οἱ ἀρχιερεῖς. καὶ Χριςὸς, ὁ θεάνθρωπος λόγος, διότι θεὸς καὶ ἄνθρωπος ὢν, τὸ μὲν ἔχρισεν ἡ θεότης, τὸ δὲ ἐχρίσθη ἡ ἀνθρωπότης. Χριςοφόρος. Χρίπτομαι, τὸ πλησιάζω. Χριςιανός. Χριςώνυμος. Χριςίνα, κύριον. καὶ ἕτερα.

Τίνα διὰ τοῦ η; Ταῦτα. Χρῆμα, τὸ πρᾶγμα. χρήματα δὲ πληθυντικῶς, τὰ νομίσματα. Χρηματισμός. Χρηματίζω, τὸ χρηματισμὸς δίδωμι, καὶ τὸ ὑπάρχω. Χρησμὸς, ἡ ἐκ θεῶν μαντεία. Χρησμολόγος, ὁ τὰ δυσνόητα τῶν χρησμῶν ἑρμηνεύων. χρησμῳδῶ, χρησμῳδία. χρησμῴδημα. χρησμοδοτῶ. χρησμοδότημα. Χρηςηριάζω. χρηςήριον, τὸ ἐκ θεῶν

μαν-

μαντεῖον, καὶ ὁ χρησμὸς, καὶ τὸ ἱερεῖον. ὅθεν καὶ „ τὸ παρὰ Σοφοκλεῖ, Ἐκείνε χρηςήρια τ' ἀνδρός. ἤγουν σφάγια. Χρήσης, ὁ δανειςὴς, καὶ ὁ δεδανεισμένος. Χρῆναι, ἀντὶ πρέπειν, καὶ ἕτερα. Τίνα διὰ τῆς ε. καὶ ι. Διφθόγγε; Ταῦτα. Χρεία, ὅπέρ ἐςι τριγενὲς, ὁ χρεῖος, ἡ χρεία, καὶ τὸ χρεῖον. ἀπὸ τε οὐδετέρου χρεῖον τὸ χρήσιμον· ὡς παρὰ Σοφοκλεῖ, χρεῖ ἢ λέγειν· ἤγουν χρήσιμα, ἤτοι χρήσιμον ἢ λέγειν. ἐκ τούτε δὲ σύγκειται τὸ χρή. ἔςι καὶ μονογενὲς, ἡ χρεία, καὶ χρειὼ ποιητικῶς, τὸ αὐτό. Χρειῶδες. Χρείω, τὸ μαντεύω, ἀπὸ τοῦ χρῶ, κατὰ πλεονασμὸν τῆς ει. Διφθόγγε ποιητικῶς. σύνηθες γὰρ αὐτοῖς πλεονάζειν τὴν ει. Δίφθογγον, ἐν ὀνόμασι καὶ ἐν ῥήμασιν. οἷον Ἀδελφὸς, ἀδελφειός· Πολεμήσω, πολεμησείω· Θαυμάσω, θαυμασείω. καὶ ἕτερα.

Ὁ ΘΕΟΣ. Πόσα μέρη λόγου εἰσί; Δύο. Ὁ, ἄρθρον· θεὸς, ὄνομα. Πόθεν θεός; Παρὰ τὸ θεῖν. οἱ γὰρ ἕλληνες τὰ οὐράνια σώματα, θεοὺς ἔλεγον, ἃ θέουσιν ἀεί. ἀφ' ὧν ἡμεῖς εἰλήφαμεν τὰ ὀνόματα. ἢ θεὸς παρὰ τὸ θῶ, τὸ κατασκευάζω καὶ ποιῶ· ὁ πάντων ποιητὴς, καὶ τῆς τῶν πάντων κατασκευῆς αἴτιος.

Τὸ θε, ψιλὸν, ἐκ τοῦ θέω. Τὰ διὰ τε εω. ῥήματα, δυνάμενα ἐπὶ δευτέρου, καὶ τρίτου, προσώπου συναίρεσιν ἐπιδέξασθαι, διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον Θέω, θέεις, θεῖς. Χέω, χέεις, χεῖς. ῥέω, ῥέεις, ῥεῖς. ζέω τὸ βράζω, ζέεις, ζεῖς. πλέω τὸ μετὰ νεὼς θάλατταν περῶ, πλέεις, πλεῖς. νέω, τὸ χωρὶς νεὼς περῶ, ἤγεν κολυμβῶ. νέεις, νεῖς, καὶ ἕ-

τερα. Τὰ δὲ μὴ δυνάμενα ἐπὶ δευτέρου, καὶ τρίτου προσώπου συναίρεσιν ἐπιδέξαθαι, διὰ τῆς αι. Διφθόγγȣ, γράφεται. οἷον Παλαίω. Λιλαίομαι, τὸ ἐπιθυμῶ. Παίω, τὸ τύπτω. ἀφ' ȣ͂ εἰσπαίω, τὸ εἰσέρχομαι, καὶ ἐκπαίω, τὸ ἐξέρχομαι. παραπαίω, τὸ παρακρȣ́ω. καὶ συμπαίω, τὸ συγκρȣ́ω. Πταίω, κλαίω, καίω, ἃ κλάω, καὶ κάω ἄμεινον λέγειν. Κναίω, ἀποκναίω, καὶ διακναίω, τὸ φθείρω. Γαίω, τὸ διαχέομαι, καὶ λαμπρύνομαι. Δαίω, τὸ μανθάνω, καὶ εὐωχῶ, καὶ μερίζω καὶ καίω. ἀφ' ȣ͂ δᾷδες, καὶ διδάσκαλος, καὶ δαὶς ἡ εὐωχία, καὶ δασμὸς, καὶ ἀναδασμός. καὶ Ναίω τὸ οἰκῶ, ὡς τὸ, Ναίων ἰωνᾶς ἐν μυχοῖς θαλαττίοις. πλὴν τοῦ ξέω. τοῦτο γὰρ καὶ μὴ ἐπιδεχόμενον συναίρεσιν, ὅμως διὰ τȣ͂ ε ψιλȣ͂ γράφεσθαι παρελάβομεν. ξαίνω δὲ, διὰ τῆς αι Διφθόγγȣ. Καὶ ἄλλως. Τὰ ἀπὸ τῆς θε. συλλαβῆς ἀρχόμενα ὡς ἐπιτοπλεῖστον διὰ τȣ͂ ε ψιλοῦ γράφεται, τινὰ δὲ καὶ διὰ τῆς αι Διφθόγγȣ. Τίνα διὰ τȣ͂ ε ψιλοῦ; Ταῦτα. Θεός. Θέω, τὸ τρέχω. Θέα, ἀφ' οὗ καὶ θεατὴς, καὶ θεωρὸς, ὁ τῶν θείων φροντίζων, παρὰ τὴν ὥραν τὴν φροντίδα· καὶ θεωρεῖν, ἐπὶ τȣ͂ αὐτȣ͂· καὶ θεωρία, καὶ θεωρήμων. θεωρὸς, ὁ καὶ θεατὴς, ἀφ' οὗ θεωρεῖον, ὁ ἱππόδρομος· καὶ θεωρικὰ χρήματα, ἃ συνήγοντο ἐν τῷ κοινῷ τῶν Ἀθηναίων. ἐδίδουν δὲ αὐτὰ εἰς θέας, καὶ ἑορτὰς, καὶ θυσίας, ἵνα μὴ τῆς θεωρίας αὐτῶν ἀπολίπωνται. Θέογνις, ὄνομα κύριον. Θέοινος, ἐπίθετον τȣ͂ Διονύσου. καὶ Θεοίνια, ἑορτὴ τελουμένη αὐτῷ. Θερμοπύλαι, ὄνομα πόλεως, ἥτις ἐκαλεῖτο Πύλαι, ἐκλήθη δὲ Θερμοπύλαι, ἐπεὶ ἡ Ἀθηνᾶ ἐκεῖ θερμὰ λουτρὰ ἐποίησε τῷ Ἡρακλεῖ. Θεά. Θέαινα ποιητικῶς τὸ αὐτό. Θεωρήμων· Θεολόγος τὸ

αὐ-

αὐτό. Θέατρον. Θέσθαι, τὸ δέξασθαι καὶ κυρῶσαι. θεῖναι γὰρ λέγουσι τὸν νομοθέτην τὸν νόμον· θέσθαι δὲ τὸν δῆμον, ἤγουν δέξασθαι καὶ κυρῶσαι. Θέκλα, κύριον. Θεσσαλονίκη, πόλις. Θετταλία, τὰ περὶ αὐτὴν χωρία. Θέρος. Θερίζω. καὶ Ἐνθερίζω, τὸ, θέρους που διάγω. Θεσμὸς, ὁ ἄγραφος νόμος. νόμος δὲ, ὁ ἔγγραφος. Θεσμοθέτης, ὁ νομοθέτης. Θέμις, τὸ δίκαιον καὶ θεῖον, καὶ κλίνεται θέμιτος, καὶ πλεονασμῷ τοῦ ποιητικῶς θέμιστος. Θέτις, ὄνομα θεᾶς. Θέμα. Θεράπων· Θεράπαινα, καὶ Θεραπαινὶς, ἡ δούλη. Θεραπεύω. Θεραπεία. Θέναρ, τὸ κοῖλον τῆς χειρὸς, τὸ ἐντὸς τῶν δακτύλων. Θεαίτητον, τὸ ἐκ θεοῦ ζητούμενον. Θεήλατος ὀργὴ, ἡ ἐκ θεοῦ. Θεμέλιον, ἀττικῶς ὁ θεμέλιος. Θέλω, ὅπερ οἱ ἀττικοὶ ἐθέλω λέγουσι. Θερσίτης, κύριον. Θερσίτειον, εἴδωλον. Θέρμια, τὰ λυπηνάρια. Θέρω, τὸ θερμαίνω. Θεομηνία, ἣν ὁ θεὸς φυλάττει κατὰ ἀνθρώπων ὀργήν. Θέσβη, πόλις· ὁ ἀπὸ ταύτης, Θεσβίτης. Θεοκλητῶ, τὸ εὔχομαι. Θεόληπτος, ὁ ὑπὸ τοῦ θείου κεκρατημένος, καὶ ἕτερα. Διὰ δὲ τῆς αι Διφθόγγου, ταῦτα. Θαιρὸς, ὃ σημαίνει τὸν στρόφιγγα τῆς θύρας. καὶ Θαιμὰν, ἡ ἀνατολὴ, ἐξ οὗ καὶ θαιμανίτης, καὶ ἕτερα. Καὶ ἄλλως. Τὰ διὰ τοῦ εος. ὀξύτονα, τινὰ μὲν διὰ τοῦ ε. ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι Διφθόγγου. Τίνα διὰ τοῦ ε. ψιλοῦ; Ταῦτα. Θεός. Θυρεὸς, παρὰ μὲν Ὁμήρῳ καὶ τοῖς ἀρίστοις, λίθος ἀντὶ θύρας τὴν χρείαν παρέχων· παρὰ δὲ τῇ πολλῇ χρήσει, ἡ ἀσπίς. Συφεὸς, τὸ χειρομάνδριον. Ἐρινεὸς, ἡ ἀγρία συκή. Φωλεὸς, ἡ κατάδυσις τῶν ἀγρίων ζώων. Κουλεὸς, ἡ ξιφοθήκη. Ἐννεὸς, ὁ ἰσχνόφωνος, καὶ ἀπὸ τούτου ὁ ἐκπλαγεὶς, καὶ ἄφωνος μείνας. Κε-

νεὸς

νεὶς ποιητικῶς, ὁ κενός. Ὃ λέγεται ἐπὶ τῶν ἀγγείων τῶν μὴ ἐχόντων ἐντὸς τί ᾧ ἐναντίον τὸ πλῆρες. ἀπὸ τούτου καὶ ἐπ' ἀνθρώπων, ὅταν μὴ κατέχωσί τι, καὶ ἐπὶ τοῦ ματαίου. Στερεός. Κηλεός. Γαλεὸς, ὄνομα ἰχθύος, καὶ ἕτερα.

Τίνα διὰ τῆς αι. Διφθόγγου; Ταῦτα. Ἀχαιοὶ δέ εἰσιν ἔθνος ἑλληνικόν. Παλαιὸς, Δηναιὸς, ὁ πολυχρόνιος. Φαιὸν, χρῶμα τὸ μετὰ λευκοῦ καὶ μέλανος. Σκαιὸς, ὁ κακὸς, καὶ ἀπαίδευτος. καὶ σκαιὸν, τὸ ἀριστερόν. Ἀραιός. Κραταιός. Χαιὸς, ὁ ἀγαθός. καὶ χαῖον, ἡ ποιμενικὴ ῥάβδος. Βαιὸς, ὁ μικρός. ὃ καὶ ἠβαιὸς γράφεται. Λαιὸς, ὁ ἀριστερός. Λεὼς δὲ ὁ λαὸς, ψιλὸν καὶ μέγα, καὶ ἕτερα.

Περὶ ἀντωνυμιῶν.

ΗΜΩΝ. Ποίου μέρους λόγου ἐστίν; Ἀντωνυμίας. Ποίου προσώπου; Πρώτου. Ποίου εἴδους; Πρωτοτύπου. Ἰστέον ὅτι αἱ πρωτότυποι ἀντωνυμίαι γένος οὐ διακρίνουσιν. ἐξαίρετον δὲ αὐτῶν ἐστὶν, ἡ ἀντιδιαστολὴ τῶν προσώπων. τοῦτο δὲ δηλοῦσιν ὀρθοτονούμεναι. οἷον, ἐγὼ ἔγραψα, καὶ οὐκ ἄλλος δηλονότι. ἐμοῦ κατηγόρηκας, καὶ οὐκ ἄλλου δηλονότι. ἐπενοήθησαν οὖν αὗται, ἵνα τόπον μὲν ἐπέχωσιν ὀνόματος, καὶ ἀντὶ τούτου λαμβανόμεναι ἀναπληρῶσι δὲ ἐν ταὐτῷ, καὶ τὸ λεῖπον τοῦ ῥήματος. ἤγουν τὴν ἀντιδιαστολὴν τῶν προσώπων, ἧς ἐδεῖτο τὸ ῥῆμα περὶ πρόσωπα καταγινόμενον. εἰσὶ δὲ τρεῖς ἐξ ἀνάγκης, ἐπεὶ τρία πρόσωπα.

Περὶ

Περὶ τῦ Α' Προσώπῦ, ἤτοι Πρωτοπρόσωποι ἀντωνυμίαι.

Τοῦ πρώτου προσώπου ἡ εὐθεῖα ἐγώ. ὅπερ ἀττικῶς λέγεται ἔγωγε. σύνηθες γὰρ τοῖς ἀττικοῖς προσλαμβάνειν παραπληρωματικοὺς, καὶ ἐπαίρειν τὰς λέξεις ἀπὸ τοῦ κοινοῦ καὶ χθαμαλοῦ. Καὶ δωρικῶς, ἐγὼν, καὶ ἐγώνη. Ἡ γενικὴ τούτου, κοινῶς μὲν, ἐμοῦ. ὅπερ ἐγκλινόμενον, οὔτε εἰς ἀντιδιαστολὴν προσώπων λαμβάνεται, καὶ τὸ ε. ἀποβάλλει. οἷον Εἶπον τῇ ψυχῇ μου, σωτηρία σῦ εἰμὶ ἐγώ. καὶ ἐπὶ τῆς δοτικῆς αὐτὸ τοῦτο συμβαίνει, καὶ ἐπὶ τῆς αἰτιατικῆς. Ἰωνικῶς δὲ, ἐμέο. ὅπερ ποτὲ μὲν προσλαμβάνει τὸ ι, καὶ γίνεται ἐμεῖο! ποτὲ δὲ προστίθεται αὐτῇ τὸ θεν. ἀττικῶς, καὶ γίνεται ἐμέοθεν, καὶ κατὰ συγκοπὴν ἐμέθεν. δωρικῶς δὲ καὶ αἰολικῶς ἐμεῦ. Ἡ δοτικὴ, ἐμοί. Ἡ αἰτιατικὴ, ἐμέ. Κλητικὰς δὲ αἱ πρωτότυποι ἀντωνυμίαι οὐθ᾽ ἔχουσιν. Ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν, νῶϊ, καὶ νώ. Ἡ γενικὴ καὶ δοτικὴ, νῶϊν καὶ νῷν. Ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἡμέες, ἡμεῖς. δωρικῶς καὶ αἰολικῶς ἄμμες κατ᾽ ἀναλογίαν ταύτης τῆς εὐθείας. ἔστι καὶ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν ἄμμε. Ἡ γενικὴ τῶν πληθυντικῶν ἡμέων, ἡμῶν. Ἡ δοτικὴ, ἡμῖν μόνως. ὅπερ φύσει μὲν βραχὺ θέλει ἔχειν τὸ δίχρονον, ὡς οὐκ ἀπὸ συναιρέσεως γινόμενον. καθόλου γὰρ τῆς δοτικῆς τὸ ι, βραχύ ἐστιν, εἰμὴ ἀπὸ συναιρέσεως εἴη. πρὸς ἀναλογίαν δὲ τοῦ ἡμεῖς καὶ ἡμῶν καὶ ἡμᾶς μακρὰν ἐχόντων τὴν λήγουσαν, μακρὸν καὶ αὐτὸ γίνεται. ὅπερ καὶ ἐπεκράτησε παρὰ τοῖς μεταγενεστέροις· παρὰ δὲ τοῖς ποιηταῖς, ποτὲ μὲν ὡς μακρὸν λαμβάνεται καὶ περι-

σπα-

σπᾶται, ποτὲ δὲ ὡς βραχὺ καὶ ὀξύνεται. καὶ δωρικῶς καὶ αἰολικῶς ἄμμιν. Ἡ αἰτιατικὴ, ἡμέας, ἡμᾶς.

Περὶ τοῦ β' Προσώπου, ἤτοι Δευτεροπρόσωποι.

Τοῦ δευτέρου προσώπου ἡ εὐθεῖα, σὺ, καὶ δωρικῶς τύ. ὅπερ ἐστὶν ὅτε ἐγκλίνεται καὶ μεταπίπτει εἰς αἰτιατικὴν, καὶ προσλήψει τοῦ ν. καὶ η. τύνη. ὅπερ ἐκτείνει καὶ τὸ υ., βραχὺ ὂν ἐπὶ τοῦ σύ. Ἡ γενικὴ, κοινῶς μὲν σοῦ· ἰωνικῶς δὲ σέο, καὶ σεῖο. ἀττικῶς δὲ σέθεν, κατὰ τὴν ἀκολουθίαν τοῦ πρώτου προσώπου. δωρικῶς, σεῦ. Ἡ δοτικὴ, σοί. Ἡ αἰτιατικὴ, σέ. Ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν, σφῶϊ, καὶ σφώ. Ἡ γενικὴ καὶ δοτικὴ σφῶϊν, καὶ σφῶν. Ἡ εὐθεῖα τῶν πληθυντικῶν, ὑμέες, ὑμεῖς. καὶ δωρικῶς καὶ αἰολικῶς ὕμμες. ἀφ' οὗ ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν, ὕμμε. Ἡ γενικὴ, ὑμέων, ὑμῶν. Ἡ δοτικὴ, ὑμῖν μόνως. ποτὲ μὲν ὀξυνομένη, ποτὲ δὲ περισπωμένη κατὰ τὴν ἀναλογίαν τοῦ πρώτου προσώπου. καὶ δωρικῶς καὶ αἰολικῶς, ὕμμιν. Ἡ αἰτιατικὴ, ὑμέας, ὑμᾶς.

Περὶ τοῦ γ. Προσώπου, ἤτοι Τριπρόσωποι.

Τοῦ τρίτου προσώπου, Ἡ εὐθεῖα, ὅς. Ἡ γενικὴ, κοινῶς μὲν οὗ, ἰωνικῶς δὲ ἕο καὶ εἷο, ἀττικῶς δὲ, ἕθεν. καὶ δωρικῶς καὶ αἰολικῶς, εὗ. Ἡ δοτικὴ, οἷ. Ἡ αἰτιατικὴ, ἕ. ἅπερ προσλαμβάνουσι τὸ ε, καὶ λέγονται ἕοι, καὶ ἕε. Τὰ δυϊκὰ, σφῶε, καὶ σφὲ, ἐπὶ αἰτιατικῆς, καὶ οὐδέποτε

ποτε ἐπ' εὐθείας. ἀεὶ γὰρ ἐγκλίνονται. οἷον, Τίς τ' ἄρσφωε θεῶν. καὶ ἐγώ σφ' ἀπείρξω. Καὶ σφὶν ἐπὶ γενικῆς καὶ δοτικῆς. Ἡ εὐθεῖα τῶν πληθυντικῶν, σφέες, σφεῖς. Ἡ γενικὴ τῶν πληθυντικῶν, σφέων, σφῶν. Ἡ δοτικὴ, σφίσιν. Ἡ αἰτιατικὴ, σφέας, σφᾶς. Καὶ αὗται μὲν εἰσὶν αἱ πρωτότυποι. ἀπὸ τούτων δὲ παράγονται τέσσαρες καὶ εἴκοσι κτητικαί.

Περὶ κτητικῶν.

Ἀπὸ τῆς γενικῆς τῶν ἑνικῶν τοῦ πρώτου προσώπου τρεῖς αὗται. Ὁ ἐμὸς, ἡ ἐμὴ, τὸ ἐμόν. αἳ δὴ πᾶσαι τὸ ἄρθρον οὐκ ἴδιον ἔχουσιν, ἀλλὰ τοῦ συνυπακουομένου αὐταῖς κτήματος. συγκλίνονται δὲ τοῖς κτήμασιν, οἷον ὁ ἐμὸς οἶκος, τοῦ ἐμοῦ οἴκου, καὶ ἐμοῖο ἰωνικῶς. καὶ συνακολουθοῦσιν αὐτοῖς κατὰ τοὺς ἀριθμοὺς καὶ τὰς πτώσεις ἁπάσας. ὥστε ὅταν μὲν ᾖ παρὰ τοῖς ποιηταῖς τοῦ ἐμοῖο πράγματος, ἐξ ἀνάγκης κτητική ἐστιν ἡ ἀντωνυμία. ὅταν δὲ τῶν πραγμάτων ἐμοῖο, πρωτότυπος. οὐ γὰρ τοῦ αὐτοῦ εἰσὶν ἀριθμοῦ, εἰ καὶ τῆς αὐτῆς πτώσεως ἡ ἀντωνυμία καὶ τὰ πράγματα. Ἀπὸ τῆς γενικῆς τοῦ δευτέρου προσώπου, αὗται. Ὁ σὸς, ἡ σὴ, τὸ σόν. ἃ καὶ ποιητικῶς λέγονται ὁ τεὸς, ἡ τεὴ, τὸ τεόν. Ἀπὸ τῆς γενικῆς τοῦ τρίτου προσώπου, αὗται. Ὁ ὃς ἡ ἣ, τὸ ὅν. αἳ καὶ ποιητικῶς λέγονται, ὁ ἑὸς, ἡ ἑὴ, τὸ ἑόν. αἱ δὲ λοιπαὶ παράγονται ἀπὸ τῶν εὐθειῶν τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν. Ἀπὸ τῆς εὐθείας τῶν δυϊκῶν τοῦ πρώτου προσώπου, Ὁ νωΐτερος, ἡ νωϊτέρα, τὸ νωΐτερον. αὗται δὲ λέγονται, ὅταν δύο μόνοι μετέχωσι τοῦ κτήματος, καὶ οὐ πλείους. Ἀπὸ

τῆς

τῆς εὐθείας τῶν Δυϊκῶν τοῦ δευτέρου προσώπου, ὁ σφωΐτερος, ἡ σφωϊτέρα, τὸ σφωΐτερον. Ἀπὸ τοῦ τρίτου προσώπου οὐ παράγεται κτητικὴ ἀντωνυμία. τὸ γὰρ τρίτον πρόσωπον εὐθεῖαν οὐκ ἔχει ἐν τοῖς δυϊκοῖς. Ἀπὸ τῆς εὐθείας τῶν πληθυντικῶν τοῦ πρώτου προσώπου, Ὁ ἡμέτερος, ἡ ἡμετέρα, τὸ ἡμέτερον. αὗται δὲ λέγονται ὅταν πολλοὶ μετέχωσι τοῦ κτήματος. Ἀπὸ τῆς εὐθείας τοῦ δευτέρου, Ὁ ὑμέτερος, ἡ ὑμετέρα, τὸ ὑμέτερον. Ἀπὸ τοῦ τρίτου, Ὁ σφέτερος, ἡ σφετέρα, τὸ σφέτερον. καὶ παρὰ τοῖς ποιηταῖς ἕτεραι κτητικαὶ κατὰ τὴν ἀκολουθίαν τούτων, τῶν, ἀπὸ τῶν εὐθειῶν τῶν πληθυντικῶν, Ὁ ἁμὸς, ἡ ἁμὴ, τὸ ἁμόν, ἀντὶ Ὁ ἡμέτερος, ἡ ἡμετέρα, τὸ ἡμέτερον. καὶ ὁ ὑμὸς, ἡ ὑμὴ, τὸ ὑμόν, ἀντὶ Ὁ ὑμέτερος, ἡ ὑμετέρα, τὸ ὑμέτερον. ὡς
" παρ' ὁμήρῳ, οἶδε, τάχ' ἐκπέρσωσ' εὐναιομένην
" πόλιν ὑμῖν. Ὁ σφὸς, ἡ σφὴ, τὸ σφόν. ἀντὶ Ὁ σφέτερος, ἡ σφετέρα, τὸ σφέτερον. Ὅθεν καὶ τὸ σφῆσι διὰ τοῦ η. καὶ τὸ παρ' Ἡσιόδῳ, Σὺν σφῆσι παισί. καὶ αὗται μέν εἰσι κτητικαί.

Περὶ δεικτικῶν.

Εἰσὶ δὲ καὶ δεικτικαί τινες ἕτεραι παρὰ ταύτας, αἵ τινές εἰσιν αὗται. οὗτος, αὕτη, τοῦτο. ἐκεῖνος, ἐκείνη, ἐκεῖνο. καὶ κλίνονται οὕτως· οὗτος, τούτου, τούτῳ, τοῦτον, ὦ οὗτος. Τὰ δυϊκὰ, τούτω, τούτοιν, ὦ τούτω. Τὰ πληθυντικὰ, οὗτοι, τούτων, τούτοις, τούτους, ὦ οὗτοι. Τὸ Θηλυκὸν, αὕτη, ταύτης, ταύτῃ, ταύτην, ὦ αὕτη. Τὰ δυϊκὰ, ταύτα, ταύταιν, ὦ ταύτα. Τὰ πληθυντικὰ, Ἡ εὐθεῖα, αὗται.

αὗται. Ἡ γενικὴ, τούτων, ἑτεροκλίτως. ἀκολουθεῖ γὰρ τῷ ἀρσενικῷ. Ἡ δοτικὴ, ταύταις. Ἡ αἰτιατικὴ, ταύτας. Ἡ κλητικὴ, ὦ αὗται. Τὸ οὐδέτερον, τοῦτο, τούτου, τούτῳ, τοῦτο, ὦ τοῦτο. Τὰ δυϊκὰ, τούτω, τούτοιν, ὦ τοῦτο. Τὰ πληθυντικὰ, Ἡ εὐθεῖα, ταῦτα, ἑτεροκλίτως. Ἡ γενικὴ, τούτων. Ἡ δοτικὴ, τούτοις. Ἡ αἰτιατικὴ ταῦτα. Ἡ κλητικὴ, ὦ ταῦτα. Αὗται αἱ δεικτικαὶ προσλαμβάνουσι τὸ ι, ἵνα πλείονα τὴν δεῖξιν ἐργάσωνται, οἷον ὁυτοσὶ, αὑτηὶ, τουτοὶ καὶ τουτὶ, καὶ ἐπὶ τῶν ἄλλων πτώσεων.

Ἀναφορικαί.

Εἰσὶ δὲ καὶ ἕτεραι ἕτερόν τι δηλοῦσαι, οἷον αὐτὸς, αὐτή, αὐτό. αἵτινες ἀναφορὰν δηλοῦσι, καὶ ἐπιταγματικαὶ λέγονται. λαμβάνονται δὲ ἐπὶ τῶν τριῶν προσώπων. οἷον αὐτὸς ἐγὼ, αὐτὸς σὺ, αὐτὸς ἐκεῖνος.

Σύνθετοι.

Εἰσὶ δὲ καὶ ἕτεραι σύνθετοι ἐπὶ αὐτοπαθείας λαμβανόμεναι, ὅταν δηλαδὴ τὸ αὐτὸ πρόσωπον ἐνεργῇ καὶ πάσχῃ. εἰσὶ δὲ αὗται ἐμαυτοῦ, σαυτοῦ, καὶ ἑαυτοῦ. αἵ τινες εὐθείας οὐκ ἔχουσιν. αἱ τοῦ πρώτου δὲ καὶ δευτέρου προσώπου, οὐδὲ πληθυντικὰ ἔχουσιν. ὅθεν ἡ τοῦ τρίτου χώραν ἔχει ἐν τοῖς πληθυντικοῖς καὶ ἐπὶ τῶν τριῶν λέγεσθαι προσώπων. οἷον Ἑαυτοὺς ἡμεῖς βλάπτομεν, καὶ Ἑαυτοῖς ὑμεῖς βοηθεῖτε, καὶ Ἑαυτοὺς ἐκεῖνοι ὠφέλησαν. Ἰστέον δὲ ὅτι ἡ ἐκεῖνος,

καὶ χωρὶς τοῦ ε γράφεται. καὶ ἔστιν ἡ χρῆσις αὐτοῦ οὐ μόνον ἐν τῷ ποιητικῷ, ἀλλὰ καὶ ἐν κοινῷ καὶ πεζῷ λόγῳ. ὅτι ταύτην οἱ δωριεῖς τῆνος λέγουσι, τὸ κ τρέποντες εἰς τ, καὶ τὴν Δίφθογγον διαιροῦντες. εἶτα τὸ μὲν ε εἰς η τρέποντες, τὸ δὲ ι ἐκβάλλοντες. Ὅτι παρὰ τοῖς ποιηταῖς καὶ ἕτεραί εἰσιν ἀντωνυμίαι μονόπτωτοι. λέγουσι γὰρ ἔτοι ἐμὶν, ἀντὶ ἐμοί. καὶ τὶν ἀντὶ σοί. καὶ νὶν ἐπὶ τρίτου, ἀντὶ αὐτὸν, ἢ αὐτὴν, ἢ αὐτό. καὶ μὶν ὁμοίως, ὃ καὶ ἐπὶ τῶν πληθυντικῶν λέγεται.

ἩΜΩ͂Ν. Τὸ η, η. τὰ πληθυντικὰ τοῦ πρώτου προσώπου τῆς πρωτοτύπου ἀντωνυμίας διὰ τοῦ η τὴν ἀρχὴν ἔχουσιν. τοῦ δὲ δευτέρου, διὰ τοῦ υ ψιλοῦ. Καὶ ἄλλως. Τὰ εἰωθότα δωρικῶς τρέπεσθαι εἰς α, διὰ τοῦ η γράφεται. οἷον ἡμῶν, ὅτι ἁμῶν. σήμερον, ὅτι σάμερον. πηγὴ, ὅτι παγά. ἡμέρα ὅτι ἁμέρα. Καὶ ἄλλως. Τὰ ἀπὸ τῆς η ἀρχόμενα, ἔχοντα ἐν τῇ ἐπαγομένῃ συλλαβῇ τὸ μ, σπανιώτατα ὑπὸ τὴν διὰ τοῦ υ ψιλοῦ ἀκολουθίαν εἰσί. μάλιστα δὲ ὑπὸ τὴν διὰ τοῦ η εἰσὶν, καὶ τὰς ἀντιστοιχούσας αὐτῇ.

Τίνα διὰ τοῦ η; Ταῦτα. Ἡμεῖς, καὶ τὰ ἀπ' αὐτοῦ. ἡμέτερος. Ἡμεδαπὸς, ὁ τῆς αὐτῆς ἐμοὶ πατρίδος. Ἥμερος, ὁ πρᾶος. Ἡμερὶς, ὁ ἥμερος ἀμπελών· ὁ δὲ ἄγριος, ἀγρία λέγεται. Ἡμύω, τὸ κλίνω. Ἡμερότης, ἡ πρᾳότης. Ἦμος ποιητικῶς, ἀντὶ ὁπηνίκα, ἀνταποδοτικὸν τοῦ τῆμος. ὡς παρὰ τοῖς κοινοῖς, τὸ ὅτε, τοῦ τότε. Ἥμενος ποιητικῶς, ὁ καθήμενος. Ἡμέρα, ἀφ' οὗ ἡμερήσιον διάστημα. καὶ ἡμερισία ὁδὸς, ἣν ἄντις διέλθῃ δι' ὅλης τῆς ἡμέρας.

ρας. Ἡμερόκοιτος, ὄνομα ἰχθύος, ὃς καὶ νυκτερὶς λέγεται. οὕτως ὠνομασμένος διὰ τὸ τὴν μὲν ἡμέραν καθεύδειν, τὴν νύκτα δὲ ἀγρυπνεῖν ἐπὶ ζητήσει τροφῆς. Ἡμεροδρόμος. Ἦμαρ, ἡ ἡμέρα. ἀφ' οὗ ἐννῆμαρ ἐπίῤῥημα, ἀντὶ ἐν ἡμέραις ἐννέα. καὶ αὐτῆμαρ, ἐπίῤῥημα καὶ αὐτὸ, ἀντὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ. Ἠμάτιον, τὸ ἡμερήσιον. Ἡμμένος, ἐπὶ ἀφῆς, καὶ ἐπὶ ἀνάψεως πυρὸς, καὶ ἐπὶ βρόχου. ἀφ' οὗ τὸ ἐνῆπται, ἀντὶ ἐνδέδυται, ὡς παρὰ Λουκιανῷ, Καὶ τὴν διφθέραν ἐνῆπται τοῦ λέοντος. Ἥμισυ, καὶ ὅσα ἀπ' αὐτοῦ. Ἡμίονος, τὸ ἐξ ἵππου καὶ ὄνου σύνθετον ζῶον. Ἡμιδαὴς, ὁ ἡμίφλεκτος. Ἡμιόλιον, ὃ συμμετρούμενον ἑτέρῳ, ἔχει μὲν ὅλον αὐτὸ, ἔχει δὲ καὶ τὸ ἥμισυ αὐτοῦ. ἔστι δὲ καὶ τῶν πρόσι, καὶ λέγεται πρὸς γενικήν. ὡς γὰρ διπλάσιον τόδε τοῦδε, οὕτω καὶ ἡμιόλιον τόδε τοῦδε. ἐκεῖνο δὲ πρὸς ὃ τοῦτο, ὑφημιόλιον λέγεται τούτου. οἷον ὁ ἓξ μὲν ἀριθμὸς, τοῦ τέτταρα ἡμιόλιος. ὁ τέτταρα δὲ, τούτου, ὑφημιόλιος. Ἡμιμέδιμνον, τὸ χωροῦν τέσσαρας καὶ εἴκοσι χοίνικας. ὁ γὰρ μέδιμνος ὀκτὼ χωρεῖ καὶ τεσσαράκοντα. Ἡμίεκτον, τὸ ἥμισυ τοῦ ἕκτου τοῦ μεδίμνου· ἤγουν τὸ τέσσαρας χωροῦν χοίνικας. Ἥμων ὁ ἀκοντιστής. Ἠμαθία, πόλις. Ἡμωδὸν, ὄνομα ὄρους. ἠμὶ, ἀντὶ φημί. Ἠμαθόεις, ὁ ψαμμώδης, καὶ ἕτερα. Τίνα διὰ τοῦ ι; Ταῦτα. Ἱμείρομαι, τὸ ἐπιθυμῶ, ποιητικῶς δὲ καὶ ἱμείρω. Ἵμερος, ἡ ἐπιθυμία. Ἱμερτὸς, ὁ ἐπιθυμητός. Ἱμερόεις, τὸ αὐτὸ ποιητικῶς. Ἱμὰς, ὁ λῶρος. καὶ κλίνεται ἱμάντος. ἀφ' οὗ ἱμάσθλη, ἡ μάστιξ. Ἱμωνιὰ, τὸ τῶν ἀντλημάτων χοινίον, ἀπὸ τοῦ ἀνιμῶμαι. ἀφ' οὗ καὶ ἱμαῖον ᾆσμα, ὃ ᾄδουσιν οἱ ἀντλητικοί· ὡς Καλλίμαχος, Καὶ πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον ἀείδει. καὶ ἱμονιοστρόφος,

ὁ χοινιοςρόφος. Ἱμέρα πόλις κὴ Ἱμέριος, ὁ ἀπ' αὐτῆς. Ἱμάτιον. Ἱματίζω. Ἱματισμός. Ἴμβρος, ὄνομα νήσȣ, ἐξ ἧς Ἰμβριώτης· καὶ ἕτερα. Τίνα διὰ Διφθόγγȣ; Ταῦτα. Εἶμα, τὸ ἱμάτιον, ἀφ' ȣ̃ λευχείμων, κὴ δυσείμων· Εἱμένος, ὁ ἐνδεδυμένος. Εἶμι, ἀντὶ πορεύομαι, ἐνεςῶς σημασίαν ἔχων μέλλοντος, ὡς παρ' Ὁμήρῳ, Νῦν δ' εἶμι φθίηνδε. ȣ̓ γὰρ ἀπερχόμενος ὁ Ἀχιλλεὺς τȣ̃το λέγει, ἀλλὰ καθήμενος, κὴ ἔκέτι τὴν πορείαν ἐνεργῶν. Εἱμαρμένη. Ἡ πεπρωμένη. Εἰμὶ, ἀντὶ ὑπάρχω. εἵμαρτο, ἀντὶ πέπρωτο. Εἰμὲν ποιητικῶς, ἀντὶ ἐσμέν. Εἱμένος, ὃ μετὰ προθέσεως ἀεὶ γράφεται, οἷον ἀνειμένος, ὁ ἀπολελυμένος κὴ παρειμένος, ὁ παραλελυμένος, ἃ γίνεται ἀπὸ τȣ̃ ἀνίημι, παρίημι, κὴ ἕτερα.

ἩΜΩ͂Ν. Ἐπὶ τὸ η, δασεῖαν. τὸ η, πρὸ τȣ̃ μ δασύνεται. πλὴν τῶν τροχαϊκῶν τȣ̃ ἦμαρ, κὴ ἦμος, κὴ τȣ̃ ἠμαθόεις, ὁ ἀμμώδης. κὴ ἠμαθὸν, κὴ ἠμὶ, ἀντὶ φημὶ, κὴ ἠμύω, τὸ κλίνω, ὡς παρ' Ὁμήρῳ, Ἐπί τ' ἠμύει ἀσαχύεσσιν.

Ὁ ἈΣΠΌΡΩΣ ἘΥΔΟΚΉΣΑΣ ΤΕΧΘΗ͂ΝΑΙ. Πόσα μέρη λόγȣ εἰσί; Τέσσαρα. Ὁ, ἄρθρον. ἀσπόρως, ἐπίρρημα. εὐδοκήσας, μετοχή. τεχθῆναι, ῥῆμα. Τὸ ο, πόσα σημαίνει; Ἕξ. ἔςι γὰρ ἄρθρον ἀρσενικὸν προτακτικὸν χωρὶς τόνου, κὴ ὑποτακτικὸν ȣ̓δέτερον μετὰ τόνου. λαμβάνεται κὴ ἀντὶ ὑποτακτικȣ̃ τȣ̃ ὃς, ὀξυνούμενον ὡσαύτως, ὡς παρ' Ὁμήρῳ, Καὶ θώρηχ' ὃ γὰρ ἦν οἱ ἀπώλεσε πιςὸς ἑταῖρος. κὴ ἀντὶ τῆς δεικτικῆς ἀντωνυμίας τῆς οὗτος. πάντα γὰρ τὰ προτακτικὰ ἄρθρα χωρισθέντα τῶν ὀνομάτων κὴ ὀξυνθέντα, εἰς ἀντωνυμίας οἰκείως μεταπίπτει.

ὡς

ὡς παρ' Ὁμήρῳ, Ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν. λέγεται καὶ ἀντὶ ὅτι· ὡς ἐν τῷ, Λεύσσετε γὰρ τόγε πάντες ὅ μοι γέρας ἔρχεται ἄλλη. καὶ ἀντὶ διὸ, ὡς παρ' Εὐριπίδῃ, Νεώτατος δ' ἦν Πριαμιδῶν, ὃ, καὶ με γῆς ὑπεξέπεμψε. σύνηθες γὰρ τοῖς ποιηταῖς πολλὰ λέγειν ἐλλείποντα προθέσεσιν· οἷον ἥμενος, ἀντὶ καθήμενος, ὄχα, ἀντὶ ἔξοχα.

Ἰστέον ὅτι τὰ ἄρθρα ποτὲ μὲν καθ' ἐξοχὴν λαμβάνονται. ὡς ὅταν εἴπω, ὁ ποιητὴς, εὐθὺς γὰρ τὸν Ὅμηρον ἐξόχως νοεῖν δίδωμι. ποτὲ δὲ ἀναπόλησιν ποιοῦσι, προεγνωσμένου τινός. ὥσπερ ἂν εἴτις προσιὼν τινι βιβλίον ἀπολέσαντι, τὸ βιβλίον εὑρηκέναι λέγοι. εὐθὺς γὰρ οὗτος ἀναπολήσει κατὰ νοῦν τὸ βιβλίον ὅπερ ἀπώλεσεν. εἰ δὲ χωρὶς ἄρθρου λέγει βιβλίον εὑρεῖν, οὐκ ἔτι οὗτος ὅπερ ἀπώλεσεν, ἀναπολήσει κατὰ νοῦν. ποτὲ δὲ μοναδικὴν κτῆσιν δηλοῖ. εἰ γὰρ εἴπω ὁ υἱός σου τόδε ἐποίησεν, ἕνα σοι υἱὸν εἶναι διὰ τοῦ λόγου δηλῶ. Εἰ δὲ χωρὶς ἄρθρου εἴπω, υἱός σου κακῶς ἐμὲ ἔδρασε, πλειόνων υἱέων ἔμφασιν ὁ λόγος ἔχει. ἔστι δὲ ὅτε καὶ ἀοριστίαν δηλοῦσι. τὸ γὰρ ὁ τυραννοκτονήσας τιμάσθω, εἰ μὴ περὶ τυραννοκτονήσαντος ἤδη ὁ λόγος ἐστὶ καὶ τὸ πρᾶγμα εἰργασμένου, ἀοριστίαν ἔχει, τίς ποτ' ἄρ' ἂν εἴη ὁ τυραννοκτονήσων.

ἈΣΠΌΡΩΣ. Πόθεν γίνεται; ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ σπόρος. τὸ δὲ σπόρος, ἀπὸ τοῦ σπείρω.

Ἰστέον ὅτι τὸ α μόριον πολύσημόν ἐστι. δηλοῖ γὰρ στέρησιν, ὡς ἐν τῷ Ἄφρων, ὁ ἐστερημένος φρονή-

σεως. τὸ πολὺ, ὡς ἐν τῷ, Ἀχανὲς πέλαγος, τὸ ἐπιπολὺ κεχηνός. καὶ Ἀφήτωρ, ὁ ἐν δελφοῖς θεὸς, ὁ πολλὰς δηλαδὴ φήμας ἀφιείς. τὸ ἅμα, ὡς ἐν τῷ, Ἀκόλουθος, ὁ ὁμοκέλευθος. καὶ Ἀνιάχη, ἤγουν ἅμα ἰαχῇ. τὸ κακὸν, ὡς ἐν τῷ Ἀβάκχευτον, τὸ κακοβάκχευ-
„ τον. ὡς παρ' Εὐριπίδῃ, Ποτνιάδες θεαὶ, ἀβάκχευτον αὖ
„ θίασον ἐλάχετε. τὸ ἴσον, ὡς ἐν τῷ, Ἀτάλαντος, ὁ ἰσοστάσιος. ὡς παρ' Ὁμήρῳ, Ἀτάλαντος Ἄρηϊ. ποτὲ δὲ τὸ ὀλίγον, ὡς ἐν τῷ ἀμαθὴς ἐνίοτε, ποιητικῶς, ἀντὶ ὀλιγομαθής. ἐνίοτε δὲ προστίθεται ἀττικῶς μηδὲν πλέον δηλοῦν. ὡς ἐν τῷ, στάχυς, ἄσταχυς. σπαίρειν, ἀσπαίρειν. σταφὶς, ἀσταφίς. Τὸ α, μακρὸν ἐστιν, ἢ βραχύ; Μακρὸν μὲν θέσει ὑπὸ τοῦ σ καὶ π ἐκτεινόμενον. Φύσει δὲ βραχύ. τὸ γὰρ στερητικὸν α φύσει βραχύ ἐστιν ἀεὶ, εἰ μὴ δι' ἀνάγκην μέτρου ἐκταθείη. ὡς ἐν τῷ Ἀκάματος. Ἀπάλαμνος. Ἀθάνατος. καὶ ὅσα ἐν δακτυλικῷ μέτρῳ λαμβανόμενα, ἔχουσι μετὰ τοῦτο δύο ἐφεξῆς βραχέα. ἐν τούτοις γὰρ διὰ τὴν ἐπαλληλίαν τῶν τριῶν βραχέων, τὸ α ἐξ ἀνάγκης μακρὸν γίνεται.

Ἀσπόρως, ποίου τῶν ἐπιῤῥημάτων; Μεσότητος. Ποῖα λέγονται τὰ τῆς μεσότητος ἐπιῤῥήματα; Ὅσα ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν γίνονται. καὶ ὅσα δὲ ἀφ' ἑτέρας μὲν πτώσεως γίνονται. ἔχουσι δὲ τὴν αὐτὴν σημασίαν τοῖς ἀπὸ τῶν πληθυντικῶν Γενικῶν γινομένοις, καὶ ταῦτα μεσότητος λέγονται καταχρηστικῶς. ἐπὶ τὸ α, ψιλήν. Τὸ στερητικὸν α ψιλοῦται, πλὴν τοῦ ἅλυσις, καὶ ᾅδης. Ἐκ πόσων δὴ πτώσεων γίνεται ἐπιῤῥήματα, ἢ
„ σημασία ἐπιῤῥημάτων; Ἐκ πασῶν. Ἀπὸ γὰρ εὐ-
„ θείας, ὡς ἐν τῷ, Πρόφρων δὴ δαναοῖσι ποσειδάων
„ ἐπάμεινον. ἀντὶ προφρόνως. Ἀπὸ γενικῆς, ὡς τὸ
„ προι-

προικὸς, ἀπὸ τῆς προικὸς γενικῆς, ἧς ἡ εὐθεῖα, ἡ
" πρόιξ. Ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι.
Ἀπὸ δοτικῆς, ὡς τὸ ἰδίᾳ, ἀπὸ τῆς ἰδίᾳ δοτικῆς. ἧς
ἡ εὐθεῖα ἡ ἰδία. καὶ κλίνεται τῆς ἰδίας. ἰδίᾳ ἦλθον. δη-
μοσίᾳ ἐλάλησα. ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ.
Ἀπριάτην ἀπὸ τῆς ἀπριάτην Αἰτιατικῆς, ἧς ἡ εὐ-
θεῖα, ἀπριάτη, καὶ κλίνεται τῆς ἀπριάτης. ἀπριά-
την, ἀνάποινον. χωρὶς ἀποίνων, ἤγουν λύτρων. καὶ
Πέραν τοῦ χειμάῤῥου τῶν κέδρων. Ἀπὸ κλητικῆς, ὡς
ἐν τῷ, Ἡράκλεις ἀλεξίκακε. καὶ Ἄπολλον ἀποτρό-
παιε. ἀμφότερα ἐπὶ θαυμασμοῦ καὶ ἐκπλήξεως.
Ταῦτα μὲν οὖν τὰ ἀπὸ τῶν ἄλλων πτώσεων ἐπιῤῥήμα-
τα, καὶ αἱ σημασίαι τῶν ἐπιῤῥημάτων, τὴν σημασίαν
ἔχουσι δυνάμει τῶν τῆς μεσότητος ἐπιῤῥημάτων. αἱ δὲ
ἀπὸ τῆς κλητικῆς σημασίαι, οὐδέποτε. ἀλλ' εἰσὶν αὗ-
ται θαυμαστικαὶ, καὶ ἐκπληκτικαί. ὅθεν καὶ πρὸς
γενικὴν λέγονται. ὡς τὸ βαβαὶ καὶ φεῦ. ὡς παρ'
„ Ἀριστοφάνει, Ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν
„ φρενῶν. ἀντὶ βαβαὶ τῆς λεπτότητος. Τὸ ῥῶς,
ὢ μέγα. Τὰ εἰς ως ἐπιῤῥήματα, τινὰ μὲν διὰ τοῦ
ω μεγάλου γράφεται, τινὰ δὲ διὰ τοῦ ο μικροῦ. Τί-
να διὰ τοῦ ω μεγάλου; Ταῦτα. Καλῶς. δικαίως.
εὐσεβῶς. ὁσίως. ἀσπόρως. καὶ ἁπλῶς πάντα τὰ τῆς
μεσότητος ἐπιῤῥήματα, ὅσα ἀπὸ τῆς γενικῆς τῶν πλη-
θυντικῶν γίνονται. Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα.
Πάρος, ἀντὶ ἔμπροσθεν, τοπικὸν, καὶ χρονικόν. ἦμος.
τῆμος. ἔναγχος, ἀντὶ πρὸ ὀλίγου. ἐντὸς, ἀντὶ ἔσω.
ἐκτὸς, ἀντὶ ἔξω. κῆχος, ἀντὶ δὴ παρ' ἀττικοῖς. ἀ-
νακράτος, ἀντὶ λίαν. κατακράτος, ἐπὶ τοῦ κατὰ πολ-
λὴν ἐξουσίαν καὶ δύναμιν πράττειν τι μηδενὸς ἀντιτατ-
τομένου. διὰ βραχέος. διαταχέος. διαπαντός. εἰκός.

ἀπεικός. καὶ παρεικὸς καὶ ἐτὸς, ἀντὶ μάτην. ἐτώσιον δὲ, τὸ μάταιον, ὦ μέγα.

Ε'ΥΔΟΚΗ'ΣΑΣ. Ποίου μέρους λόγου ἐστίν; Μετοχῆς. Κανόνισον. εὐδοκέω εὐδοκῶ. ὁ μέλλων, εὐδοκήσω. ὁ Α'όριστος, ηὐδόκησα. ἡ μετοχὴ, ὁ εὐδοκήσας. Πόθεν γίνεται; ἀπὸ τοῦ ευ μορίου, καὶ τοῦ δοκῶ. Τὸ ευ, πόσα σημαίνει; Δύο, τὸ καλὸν, ὡς ἐν τῷ εὖ πράττειν, καὶ εὖ λέγειν, καὶ τὸ εὔκολον, ὡς ἐν τῷ παρ' Ι'πποκράτει, Ε'υφόρως φορέουσιν. ἀντὶ εὐκόλως. ἀντίκειται δὲ αὐτῷ τὸ δυς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα. δηλοῖ γὰρ τὸ δυς ἐνίοτε μὲν δυσκολίαν, ὡς ἐν τῷ δυσφορεῖν, δυστοκεῖν· ἐνίοτε δὲ κακὸν, ὡς ἐν τῷ δυσπραγεῖν, δυσειμονεῖν. Ι'στέον ὅτι τῶν διφθόγγων αἱ μὲν τρέπονται ἐν τοῖς παρῳχημένοις. αἱ δὲ ἄτρεπτοι μένουσι. τρέπονται μὲν οὖν αἱ τρεῖς αὗται, Ἡ αι δίφθογγος, οἷον αἰκάλλω τὸ θέλγω, ᾔκαλλον. Ἡ αυ, οἷον αὐξάνω ηὔξανον. Ἡ οι δίφθογγος ἡ διὰ τοῦ ο καὶ ι, οἷον διοικέω διοικῶ, διῴκηκα. αἱ δὲ λοιπαὶ πᾶσαι, ἀναύξητοι μένουσιν. οἷον εὐδοκέω, εὐδόκουν. εὐλογῶ, εὐλόγουν. ἥτις παρὰ τοῖς ἀττικοῖς ἐνίοτε τρέπεται· ὅμως ἄμεινόν ἐστι τὸ κοινόν. ἡ ει ἡ διὰ τοῦ ε καὶ ι διφθόγγου. οἷον εἰκάζω, εἴκαζον. Καὶ ἡ ου, οἷον οὐρῶ, οὔρουν.

Ε'ΥΔΟΚΗ'ΣΑΣ. Τὸ δο, μικρόν. Τὰ ἀπὸ τῆς δο συλλαβῆς ἀρχόμενα, τὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τὰ δὲ διὰ τοῦ ω μεγάλου. Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Δοκῶ, τὸ νομίζω, καὶ τὸ φαίνομαι, καὶ νομίζομαι, ἐπὶ τῆς παθητικῆς σημασίας, καὶ ὅσα ἀπ' αὐτοῦ. Δόκησις, ὡς παρὰ Σοφοκλεῖ, Κέμψευε τὴν δόκησιν. δόξα, ἐπὶ τοῦ παρ' ἑκάστης

ψυχῆς δοξαζομένȣ καλȣ̃. δόγμα. δοξάριον, ἡ μικρὰ δόξα. δόκιμος. δοκιμάζω, τὸ δόκιμον κρίνω. ἀφ᾽ οὗ τὸ ἀποδοκιμάζω, τὸ ἀδόκιμον κρίνας ἀποῤῥίπλω. καὶ εὐδοκιμῶ, τὸ δόκιμος κρίνομαι. καὶ παρευδοκιμῶ, τὸ νικῶ· ἀπὸ μεταφορᾶς τῶν δρομέων. ὧν τὸν νικήσαντα παραδραμεῖν λέγομεν. δοκεύω ποιητικῶς, τὸ ςοχάζομαι. Δόρυ τὸ κοντάριον, καὶ ὅσα ἀπ᾽ αὐτοῦ. δορυάλωτος, ὁ δορὶ ἁλωτός· ἤγουν ὁ αἰχμάλωτος. δορυφόρος. δορυφορῶ, τὸ μεθ᾽ ὅπλων προπέμπω τινά. Δοχμὴ, ἡ σπιθαμή. Δόχμιον, τὸ πλάγιον. Δόλος. Δολερός. Δόλοψ, κύριον. Δόλιος. Δονῶ, τὸ ταράσσω. Δόναξ, κάλαμος ἁρμόδιος εἰς αὐλόν. Δοκὸς, τὸ μέγα ξύλον τȣ̃ οἰκήματος. Δολιχὸν, τὸ μακρόν. ὅθεν καὶ δολιχόσκιον ἔγχος, τὸ μακρὰν σκιὰν ἀποτελοῦν. καὶ δολιχόδειρος γέρανος, ἡ μακροτράχηλος. Δόμος, ὁ οἶκος. Δοσίθεος. καὶ Δοσικλῆς, κύρια. Δόρπος, ὁ δεῖπνος. Δόσις, ἡ δωρεά. Δόμα, τὸ δῶρον. Δορκὰς, ἡ ἔλαφος. Δοτὴρ, ὁ χορηγός. Δότωρ, ὁ διδοὺς δωρεὰν, καὶ ἕτερα. Τίνα διὰ τȣ̃ ω μεγάλου; Ταῦτα. Δῶρον. Δωροῦμαι. Δωρόθεος. Δωροδόκος. δωροδοκῶ, τὸ δῶρα δέχομαι. Δώδεκα. δωδεκαέτης χρόνος, ὁ τῶν δώδεκα ἐτῶν. δωδεκαετὴς δὲ ὀξυτόνως, πᾶς ὁ τῶν δώδεκα ἐτῶν. Δῶμα, τὸ οἴκημα. Δωδώνη, πόλις. ὁ ἀπὸ ταύτης, Δωδωναῖος. Δωριεῖς. ἔθνος ἑλληνικόν. Δώριος, εἶδος ἁρμονίας. τῶν γὰρ ἁρμονιῶν, ἡ μὲν δώριος, ἡδὲ λύδιος, ἡδὲ φρύγιος, ἡδὲ βοιώτιος. Δωρὶς, ὄνομα Νηρηΐδος. Δωτίνη, ἡ δωρεά. Δὼς, τὸ αὐτό. Δώη, ἐπὶ ὑποτακτικȣ̃, ἀπὸ τȣ̃ δίδωμι, καὶ ἕτερα.

Τὸ κη, η, ἐκ τοῦ εὐδοκήσω μέλλοντος, ἐπὶ τῷ κη ὀξεῖαν. διὰ τί; μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται. Τὸ σας, μακρόν. Τὰ εἰς ας ἀρσενικὰ βαρύτονα, εἴτε ὀνόματα, εἴτε μετοχαὶ, ἐκτείνονται. ὀνόματα μὲν, οἷον Αἰνείας. μετοχαὶ δὲ, οἷον τύψας, ποιήσας.

ΤΕΧΘΗ͂ΝΑΙ. Ποίου μέρους λόγου ἐστίν; Ῥήματος. Κανόνισον. Τίκτω, ὁ μέλλων τέξω ἑτεροκλίτως. ὁ παρακείμενος τέτεχα, ἄχρηστος, ἐν χρήσει δὲ ὁ μέσος τέτοκα. ὁ παθητικὸς, τέτεγμαι, ὁ Ἀόριστος ἐτέχθην, ἐτέχθης, ἐτέχθη. καὶ τὸ ἀπαρέμφατον, τεχθῆναι. Ἰστέον ὅτι τὸ μὲν γεννᾷν ἐπὶ ἀνδρῶν κυρίως λέγεται, τὸ δὲ τίκτειν, ἐπὶ γυναικῶν. Ὅμηρος δὲ πολλάκις τὸ τίκτειν ἐπὶ ἀνδρῶν τάττει. ὡς ἐν τῷ, Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς. καὶ Τίκτει μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων. Τὸ τε, ψιλόν. Τὰ ἀπὸ τῆς τε συλλαβῆς ἀρχόμενα, τὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τὰ δὲ διὰ τῆς αι διφθόγγου. Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Τέγος, ποιητικῶς, τὸ στέγος. Τέτταρα. Τέθριππον, τὸ ἐκ τεσσάρων ἵππων ἅρμα. Τέτρωρον, τὸ αὐτό. Τέκος, τὸ τέκνον ποιητικῶς. Τέμνω, τὸ κόπτω. καὶ τέμνει τὶς ἀμπέλους, ἀντὶ τοῦ κλαδεύει. ἐκτέμνει δὲ, ἀντὶ τοῦ ἀφανίζει. Τέμαχος, καὶ τεμάχιον, τὸ κόμμα. Τέμενος, ὁ ἀποκεκομμένος καὶ ἀφιερωμένος τόπος τινί. Τέρας, τὸ παρὰ φύσιν σημεῖον. τεράστιον, τὸ αὐτό. Τερέβινθος, ὄνομα δένδρου. Τέρετρον, τὸ τρυπάνιον. Τέμπος, τὸ τοῦ ὄρους κοίλωμα. Τένεδος, ὄνομα νήσου. Τεὸν, τὸ σόν. Τερθρεία, ἡ μαγεία. Τέχνη. τεχνίτης. τεχνησάμενος, ὁ κατὰ τέχνης

κα-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/48 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

κατασκευάσας τί. τεχνάζομαι, τὸ πονηρεύομαι. τεχνητὸν, τὸ μετὰ τέχνης κατεσκευασμένον. Τέρεν, τὸ ἁπαλὸν. καὶ τρυφερόν. Τετρεμαίνω, τὸ τρέμω ποιητικῶς. Τελχὶν, ὁ φθονερὸς δαίμων. Τελαμὼν, ὄνομα κύριον, καὶ ὁ λῶρος τοῦ ξίφους, ἢ τῆς ἀσπίδος. Τετυφωμένος, ὁ ἐπηρμένος καὶ ἀλαζών. καὶ ὁ ἐμβεβροντημένος, καὶ ἔξω φρενῶν. ἀπὸ τῶν ἐπὶ τὸν τυφῶνα καταφερομένων σκηπτῶν. Τέλος, τὸ πέρας. καὶ τέλη, τὰ τελώνια, καὶ αἱ ἀρχαὶ, ὡς παρ᾽ „ Ἀριστοφάνει, Τοῦ σοῦ θράσους πᾶσα γῆ μὲν πλέα, „ πᾶσα δ᾽ ἐκκλησία, καὶ τέλη, καὶ γραφαί. τέλος καὶ ὃ ἐτέλουν. Τελώνης, ὁ τὰ τέλη ὠνούμενος, οἷοι εἰσιν οἱ τὰ τῆς θαλάσσης, καὶ τὰ τοῦ ἀντιναύλου διενεργοῦντες νῦν. Τελῶ, τὸ ποιῶ, καὶ τὸ ὑπάρχω. Τελευτῶ, τὸ τέλος λαμβάνω. καὶ τελευτῶ τὸ ἔργον. Τελεταὶ, τὰ μυστήρια. τελούμενοι, οἱ τὰ μυστήρια διδασκόμενοι. Τερσαίνω, τὸ ξηραίνω. Τέλμα, ὁ πηλώδης τόπος. Τεκταίνω, τὸ κατασκευάζω. τέκτων, πᾶς τεχνίτης. Ἰδίως δὲ τέκτονες λέγονται οἱ ξυλουργοί. Τένδω, τὸ ἐσθίω, καὶ ἕτερα. Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Ταινία, εἶδος στεφάνου. ἢ ἡ στηθοδεσμίς. Ταινιῶ, τὸ στεφανῶ. Ταίναρον, τὸ τῆς Λακωνικῆς ἀκρωτήριον. Τὸ χθη, η. Διατὶ τὰ εἰς θι προστακτικὰ, καὶ τὰ εἰς ναι ἀπαρέμφατα, ἀόριστα ὄντα, φύσει μακρᾷ παραλήγοντα, καὶ διὰ τοῦ η γράφονται. οἷον τεχθῆναι, φῆναι, ἀντὶ δεῖξαι καὶ ἀντὶ εἰπεῖν. κῆναι, ἀντὶ κόψαι. διῆναι, ἀντὶ βρέξαι. ὑφῆναι, ἀντὶ ὑφᾶναι. παρῆναι, ἀντὶ σουβλισθῆναι. τὸ δὲ ὀνῖναι ὡς κατὰ συγκοπὴν ἀπὸ τοῦ ὀνινῆναι γινόμενον διὰ τοῦ ι γράφεται. θεῖναι δὲ διὰ τῆς ε καὶ ι διφθόγγου. καὶ εἶναι, ἀντὶ πέμψαι, ἀπὸ τοῦ ἵημι. ἀφ᾽

ȣ̓ τὸ καθεῖναι, καὶ ἀφεῖναι, καὶ ἱφεῖναι. καὶ ὅσα ἀπὸ τῆς πέμπλης συζυγίας τῶν βαρυτόνων. ὧν οἱ ἐνεςῶτες τῷ ε ψιλῷ παραλήγονλαι, ἢ τῇ ει Διφθόγγῳ. οἷον μεῖναι, ὅτι μένω. ἀλεεῖναι, ὅτι ἀλεείνω. ἐρεεῖναι, ὅτι ἐρεείνω. κτεῖναι, ὅτι κλείνω. κρῖναι δὲ καὶ κλῖναι, καὶ ὅσα ἐπὶ τȣ̃ ἐνεςῶτος ἔχουσι τὸ ι, ϗ ἐπὶ τȣ̃ ἀορίςȣ τοῦτο φυλάτλουσιν.

Ἐ'Κ ΤΗ͂Σ Α'ΓΙ'ΑΣ ΘΕΟΤΟ'ΚΟΥ, ΚΑΙ' Α'ΕΙΠΑΡΘΕ'ΝΟΥ ΜΑΡΙ'ΑΣ. Πόσα μέρη λόγου εἰσίν; Τέσσαρα. Ἐκ, πρόθεσις. τῆς, ἄρθρον. ἁγίας Θεοτόκου, ϗ ἀειπαρθένου Μαρίας, ὄνομα. καὶ σύνδεσμος.

Περὶ συνλάξεως τῶν προθέσεων.

Ἰςέον ὅτι ἡ ἐξ, ἥτις καὶ ἐκ λέγεται, καὶ ἡ ἀπὸ καὶ ἡ πρὸ, ϗ ἡ ἀντὶ, ἀεὶ γενικῇ συντάσσονλαι. σημείωσαι δὲ καὶ περὶ τῶν λοιπῶν ἁπασῶν προθέσεων. Ὅτι ἡ ἐν, ἀεὶ δοτικῇ συντάσσεται. ὡς Ἐν τῷ ναῷ ἑςῶτες τῆς δόξης σȣ, ἐν οὐρανῷ ἑςάναι νομίζομεν. ἀτλικῶς δὲ καὶ γενικῇ ἐλλειπλικῶς. οἷον Ἐν ᾅδου, ἀντὶ ἐν τῷ τόπῳ τȣ̃ ᾅδου. καὶ παρ' Ἀριςοφάνει ἐν Ἱππεῦσι. τὼ χεῖρ' ἐν αἰτωλοῖς, ὁ νοῦς δ' ἐν κλωπιδῶν. δηλοῖ δὲ καὶ σχέσιν ἔντινι, καὶ ςάσιν, ἐνίοτε καὶ κίνησιν ἔντινι. ȣ̓ μέντοι τὴν ἀπό τινος εἴς τι. δηλοῖ καὶ τὸ ἐντὸς, καὶ ἐπάνω. ἀπὸ τούτȣ γίνεται τὸ ἔνι, ὅπερ ἔχει σημασίαν ῥήματος. καὶ τὸ ἐντὸς ἐπίῤῥημα καὶ ἔνδον, καὶ ἐνδοῖ, ἀντὶ ἐντός. ὡς παρὰ Θεοκρίτῳ, Ἐνδοῖ πραξινόα. Ἡ εἰς, ἥτις καὶ ἐς λέγελαι, αἰτιαλικῇ συνλάσσελαι. ὡς ἐν τῷ, Ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς. καὶ Ἀτενίσαι τὸ ὄμμα

εις οὐρανοὺς οὐ τολμῶ ὁ τάλας ἐγώ. συντάσσεται δὲ παρ' ἀττικοῖς καὶ Γενικῇ ἐλλειπτικῶς. οἷον εἰς ᾅδου, καὶ εἰς μυσταγωγοῦ. ὥστε εἶναι εἰς τὴν τοῦ ᾅδου, καὶ εἰς τὴν τοῦ μυσταγωγοῦ. σημαίνει δὲ καὶ κίνησιν ἀπό τινος εἴς τι ἄψυχον κυρίως. οἷον Πορεύομαι εἰς ἀγρόν. καὶ τὸ ἐντὸς, καὶ τὸ ἕως. ὡς ἐν τῷ εἰσόκεν παρὰ ποιηταῖς, ἀντὶ ἕως οὗ ἄν. λέγεται καὶ ἐπὶ διαιρέσεως. οἷον Τὸ ὂν διαιρεῖται εἰς οὐσίαν, καὶ εἰς συμβεβηκός. καὶ τὸ χρῶμα, εἰς τὸ λευκὸν, καὶ τὸ μέλαν. Ἡ ἐξ, ἥτις καὶ ἐκ λέγεται, ἀεὶ γενικῇ συντάσσεται. καὶ τὸ ξ μὲν ἔχει, ὅταν ἡ ἐπαγομένη λέξις ἀπὸ φωνήεντος ἄρχηται. οἷον Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος. τὸ δὲ κ, ὅταν ἡ ἐπαγομένη λέξις ἀπὸ συμφώνου ἄρχηται. οἷον Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν. σημαίνει δὲ καὶ κίνησιν ἔκ τινος καὶ τὸ ἕνεκεν, ὡς παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Ἡγούμεθα γὰρ ἐπειδὴ πεσόντας ἡμᾶς ἐκ τῆς ἁμαρτίας τὸ ἀπαρχῆς· ἤγουν διὰ τὴν ἁμαρτίαν. δηλοῖ δὲ καὶ τὸ ὕστερον, ὡς παρὰ Σοφοκλεῖ, Ἃ δ' ἐκ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ· ἤγουν, μετὰ ταῦτα. λέγεται καὶ ἐπὶ τοῦ ὑλικοῦ αἰτίου. οἷον Ἐκ τῶν τεσσάρων στοιχείων, τὰ σώματα. καὶ Ἐξ ὑάλου ἥδε ἡ κύλιξ. Ἡ σὺν, ἀεὶ δοτικῇ συντάσσεται. ὡς ἐν τῷ, Σὺν σοὶ ἀποθανοῦμαι. καὶ Σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων. σημαίνει δὲ τὴν μετά τινος συνάφειαν. οἷον συνέμπορος, συνέκδημος. τὸ καὶ ὅμοιον μέντοι ποιεῖν τινὶ, ἢ πάσχειν, οὐ μὴν ἐξ ἀνάγκης ἐν τῷ αὐτῷ χρόνῳ. ὡς ἐν τῷ Σὺν τῷ Ἰωνᾷ βοῶμέν σοι κύριε· ἤγουν ὁμοίως τῷ Ἰωνᾷ. καὶ Χθὲς συνεσταυρούμην σοι Χριστέ. ὅτι ταύτην οἱ ἀττικοὶ ξὺν φασὶν, οἷον Ἦλθεν ἀργυρότοξος Ἀρτέμιδι ξύν. ἀπὸ δὲ ταύτης γίνεται καὶ τὸ ξυνὸν ποιητικῶς, ὃ δηλοῖ τὸ κοινόν.

Ἡ

Ἡ πρὸς, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ, συντάσσεται.
καὶ γενικῇ μὲν, ὅτε ἀντὶ τῆς παρὰ κεῖται, ὡς πα-
ρὰ Σοφοκλεῖ, Ἐπεὶ τὰς ἡδονὰς πρὸς σοῦ λαβοῦσα,
κ' οὐκ ἐμὰς ἐκτησάμην· ἀντὶ παρὰ σοῦ. καὶ ὅτε κεῖ-
ται ἀντὶ τῆς ἐξ, οἷον Ἔπεσε πῦρ πρὸς οὐρανῶν, ἀν-
τὶ ἐξ οὐρανῶν. καὶ ὅταν ἐπὶ ὅρκου τεθῇ· ὡς ἐν τῷ,
Εἶξον ὦ Θεμιστοκλῆς πρὸς θεῶν ἐμοὶ τῷ πατρί σου. καὶ
Πρὸς θεῶν ὦ ἄνδρες δικασταὶ, δότε μοι κώνειον. καὶ
παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Καὶ πρὸς αὐτῆς
τῆς τριάδος. καὶ ὅτε ἀντὶ ἐνώπιον καὶ ἔμπροσθεν λαμ-
" βάνεται. ὡς παρὰ τῷ Ὁμήρῳ, Τὼ δ' αὐτὼ μάρ-
" τυροι ἔστων, Πρόστε θεῶν μακάρων, πρόστε θνη-
" τῶν ἀνθρώπων. ἀντὶ μάρτυρες ὑπαρχέτωσαν ἐνώ-
πιόν τε θεῶν μακάρων, ἐνώπιόν τε θνητῶν ἀνθρώπων.
Ἐνίοτε δὲ μετὰ γενικῆς μὲν λέγεται οὐδὲν δὲ πλέον
" δηλοῖ. ὡς παρὰ Σοφοκλεῖ, Πρὸς γὰρ κακοῦ τε καὶ
" βαρυψύχου, γόους τοιούς δ' ἀεὶ πότ' ἀνδρὸς ἐξη-
" γεῖ τ' ἔχειν. ἐνταῦθα γὰρ καὶ μὴ οὔσης τῆς προ-
θέσεως, ὁ λόγος ὁμοίως σώζεται, τὸ ἴδιον προσλαμ-
βάνων. ἤγουν τοὺς τοιούσδε γόους ἰδίους ἐξηγεῖτο δειλοῦ
καὶ βαρυψύχου. καὶ ἐπὶ πάντων δὲ ἐφ' ὧν τὸ ἴδιον συ-
νυπακούεται, δύναται κεῖσθαι ἡ πρὸς οὐδὲν πλέον δηλοῦ-
σα. Δοτικῇ δὲ συντάσσεται, ὅτε ἀντὶ τῆς σὺν νοεῖται.
ὡς ἐν τῷ, Πρὸς τῷ προσεύχεσθαι, καὶ τῷ νηστεύειν, ἄσπα-
σαι. ἀντὶ σὺν τῷ προσεύχεσθαι. Καὶ ὅτε σχέσιν ἔν τινι
δηλοῖ. οἷον Εἰμὶ πρὸς τῷδε. καὶ γίνομαι πρὸς τῷδε. καὶ
" παρὰ Σοφοκλεῖ, Οὐ γὰρ πρὸς ἰατροῦ σοφοῦ θροεῖν
ἐπῳδὰς πρὸς τομῶντι τραύματι. Ὅτε δὲ κίνησιν δη-
λοῖ, αἰτιατικῇ συντάσσεται. οἷον Κινῶ τὰς χεῖρας
πρὸς τὸ γράφειν. καὶ Πρὸς τὸ πλεῖν ἑτοιμάζω τὸ
πλοῖον. καὶ Εἰμὶ πρὸς τόδε ἱκανὸς, ἢ σύντομος, ἢ
" ὀξύς.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/52 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

" ὀξύς. καὶ παρὰ Σοφοκλεῖ, Ὅπως τὶν παῖδα τῆνδε " πρὸς δόμους ἐμοὺς ἄγων Τελαμῶνι δείξῃ. Καὶ ὅτε δηλοῖ τὸ ἕτερόν τι ποιεῖν τινὰ, εἰς ἕτερον ἀφορῶντα. οἷον Πρὸς ἀργύριόν τις διαλέγεται. Καὶ ὅτε δηλοῖ τὸ ποιεῖν τι πρὸς ἕτερον ἀφορῶντα, ὡς πρὸς παράδειγμα. οἷον ᾄδω πρὸς αὐλόν. Καὶ ὅτε ἕνωσιν δηλοῖ, παρὰ τῇ συνηθείᾳ τῆς θείας γραφῆς. ὡς ἐν τῷ, Οὐχὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ αἱ ἀδελφαὶ αὐτοῦ πρὸς ἡμᾶς εἰσίν; ἀντὶ μεθ' ἡμῶν. καὶ ἐν τῷ, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. ἀντὶ μετὰ θεοῦ. Δηλοῖ δὲ ἐγγύτητα πρός τι. ὡς ἐν τῷ, Προσέρχεται γάρ τις κακῶς πράσσων ἀνήρ. Καὶ ἐγγύτητα δουλικήν. οἷον προστρέχω σοι. προσπίπτω σοι. Καὶ καταφυγήν. οἷον προσφεύγω σοι. Καὶ σχέσιν ἔν τινι. Λέγεται καὶ ἐπὶ τῶν ἔν τισι τὴν ὁρμὴν στηριζόντων, καὶ ἐν αὐτοῖς ἐνεργέντων. ὡς ἐν τῷ, Προσβαλὼν γάρ σοι ὡς θνητῷ. καὶ προσβάλλει ἡ ἀκτὶς τῷ ἀγάλματι. τοῦτο δὲ καὶ πρὸς γενικὴν, καὶ αἰτιατικὴν λέγεται ἐνίοτε. ὡς ἐν τῷ, ἢ Οὐ προσβάλλει σε κρόταλα. δηλοῖ καὶ ἐλάττωσιν· ὡς ἐν τῷ προσψαύω. προσάπτομαι. ἃ δηλοῖ τὸ μὴ ἀκριβῶς ταῦτα ποιεῖν, ἀλλὰ πεφειδημένως, καὶ οἱονεὶ ἄκροις δακτύλοις. Καὶ κίνησιν ἀπό τινος πρός τι ἔμψυχον κυρίως. πολλάκις δὲ καταχρηστικῶς. Ἡ μὲν εἰς, ἐπὶ ἐμψύχων λαμβάνεται. ὡς παρ' Ἀριστοφάνει, Ἴωμεν εἰς τὸν δῆμον. Ἡ δὲ πρὸς, ἐπὶ ἀψύχων. ὡς παρ' Ὁμήρῳ, Πρὸς ῥα πλατάνιστον ὄρουσεν, ἀντὶ εἰς τὴν πλάτανον ὥρμησεν.

Ἡ πρὸ, ἀεὶ γενικῇ συντάσσεται. οἷον Πρὸ τοῦ τιμίου σου σταυροῦ Χριστέ. καὶ παρ' Ἀριστοφάνει, Πρὸ τοῦ γὰρ ἀπίω. Δηλοῖ δὲ τὴν ἔμπροσθέν τινος ὁρμήν.

οἷον προέρχομαι. ἢ στάσιν. οἷον προΐσταμαι. προασπίζω. ἃ κυρίως λέγεται ἐπὶ τῶν ἔμπροσθεν ἱσταμένων ἐν πολέμῳ, καὶ βοηθούντων τοῖς ὄπισθεν. καὶ τὸ πρότερον, ἐπί τε χρόνου. ὡς ἐν τῷ, Πρὸ πάντων βουνῶν γεννᾷ με. καὶ ἐπὶ ἀξίας. ὡς ἐν τῷ, προὔργου. ὃ δηλοῖ τὸ ἐν προτιμήσει παντὸς ἄλλου ἔργου. καὶ τὴν εἰς τοὐμφανὲς πρόοδον. ὡς ἐν τῷ προῆλθεν, ἀντὶ ἐγεννήθη, καὶ ἀντὶ ἐξῆλθε. ἐνίοτε δὲ κεῖται μηδὲν πλέον δηλοῦσα. ὡς παρ' Εὐριπίδῃ, Τὰς δεσποσύνους σκηνὰς προλιποῦσα. ἀπὸ ταύτης δὲ γίνεται τὸ πρότερον, καὶ τὸ πρόσθεν.

Ἡ ἀνὰ, αἰτιατικῇ συντάσσεται. οἷον Ἀνὰ πᾶσαν τὴν οἰκουμένην, καὶ Ἀνὰ συλλαμὸν ἀνδρῶν. Ὅτε δὲ πρόσκειται τὸ μέσον, αἰτιατικῇ μὲν καὶ τότε ὡς ἐπιτοπλεῖστον. οἷον Ἀνὰ μέσην τὴν πόλιν, καὶ Ἀνὰ μέσον τὸν στρατόν. σπανιάκις δὲ καὶ Γενικῇ, ὡς ἐν τῷ ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Δηλοῖ δὲ καὶ σχέσιν ἔν τινι, ὡς ἐν τῷ, Τέσσαρές εἰσιν ἀγῶνες ἀν' ἑλλάδα. ἤγουν ἐν τῇ ἑλλάδι. καὶ κίνησιν εἰς τὸ ἄνω. ὡς ἐν τῷ ἀνέδραμεν, ἀνῆλθεν, ἀνέβη. καὶ τὴν εἰς τοὐπίσω ἐπιστροφὴν, ἢ κάμψιν. ὡς ἐν τῷ, ἀνακεφαλαιῶ. ἀναποδίζω. ἀνακλίνομαι, κυρίως τὸ ὕπτιος πίπτω, καὶ ἐπὶ τὰ μετάφρενα. ἀπὸ ταύτης γίνεται τὸ ἄνω.

Ἡ κατὰ, ὅτε τὸ ἐπάνω δηλοῖ, γενικῇ συντάσσεται. οἷον Καθ' ὑγρῶν γράφω. καὶ Οἱ παῖδες κατὰ ψάμμου ἀθύρουσιν. ἤγουν ἐπάνω τῆς ψάμμου. καὶ
„ παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Πέτρον δὲ ὅταν εἴ-
„ πω, τίνα λέγω; τὸν κατὰ κυμάτων πεζεύσαντα. ἤγουν τὸν ἐπάνω τῶν κυμάτων περιπατήσαντα. καὶ

ὅτε

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/54
gefördert von der Deutschen Forschungsgemeinschaft DFG

ὅτε κίνησιν δηλοῖ εἰς τὰ κάτω. οἷον Φέρεταί τις κατὰ κρημνῶν. καὶ Κατὰ σπλάγχνων ὠθεῖ τὸ ξίφος. καὶ „ παρ᾽ Ὁμήρῳ, Βῆ δὲ κατ᾽ οὐλύμποιο καρήνων χωό-„ μενος κῆρ. ὃ δηλοῖ ἀπὸ τῆς κορυφῆς τοῦ ὀλύμπου κίνησιν εἰς τὰ κάτω. Ἐνίοτε δὲ μετὰ γενικῆς μὲν λέγεται, καὶ τὸ κάτω δηλοῖ. κίνησιν δὲ οὐκ ἔχει. καθὸ λέγεταί τι εἶναι καθ᾽ ᾅδου. ἤγουν κάτω ἐν τῷ ᾅδῃ. καὶ κατὰ γῆς κολαστήρια. ἤγουν ὑπὸ γῆν κάτω. Ὁμοίως γενικῇ συντάσσεται, καὶ ὅτε λαμβάνεται ἐπὶ τῶν λεγομένων κατά τινων, ὡς καθολικωτέρων. ὡς τὸ, Γένος λέγεται κατὰ τῶν ὑπ᾽ αὐτὸ εἰδῶν, καὶ τὸ εἶδος κατὰ τῶν ἀτόμων. καὶ ἐπὶ τῶν κατασκευαζομένων καὶ μελετωμένων εἰς καταβολὴν ἑτέρου. ὡς ἐν τῷ, Κατ᾽ ἐμοῦ διελογίζοντο κακά. καὶ ἐν τῷ, Καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.. Καὶ ἐπὶ τῶν λεγομένων κατά τινων. λέγεται δὲ κατά τινος ἐνίοτε μὲν φαῦλα καὶ ὑβριστικὰ, ἐνίοτε δὲ χρηστά. Ὅτε δὲ ὁμοιότητα δηλοῖ, αἰτιατικῇ συντάσσεται. ὡς ἐν τῷ δι᾽ ἐμὲ κατ᾽ ἐμὲ γεγονὼς, ἀντὶ ὅμοιος ἐμοί. καὶ Ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. καὶ ὁ ἀφορῶν εἰς ἐμὲ, γενήσεται κατ᾽ ἐμέ. καὶ ὅτε σχέσιν ἔντινι δηλοῖ, ἢ χρόνῳ, οἷον Κατὰ τὸν χρόνον τοῦ δεῖνος ἐγένετο τόδε. καὶ παρὰ Σοφοκλεῖ,
„ Σὺ δ᾽ ἀνὴρ καθ᾽ ἡμᾶς ἐσθλὸς ὢν, ἐπίστασο. ἤγουν
„ κατὰ τὸν χρόνον τῆς ἡμετέρας γενεᾶς. ἢ τόπῳ,
„ ὡς παρὰ Θεοκρίτῳ, Δάφνιδι τῷ χαρίεντι συνήν-
„ τετο βουκολέοντι Μᾶλα νέμων, ὡς φαντὶ κατ᾽
„ ὤρεα μακρὰ Μενάλκας. ἢ πράγματι, ὡς παρὰ
„ Σοφοκλεῖ, Οὐ κατὰ σφαγὰς ἐκκομπάσας, ἔπος τι τυγχάνει βαλών. Καὶ ὅτε τὸ εὐθὺ δηλοῖ. οἷον

Κατὰ σκοπὸν διώκω. καὶ Κατὰ σκοπὸν τρέχω. καὶ ἐφ' ἑτέρας ἐννοίας πολλοὺς λέγομεν ἐργάσασθαί τι καθ' ἕνα. Καὶ ἔτι ἐφ' ἑτέρας, οὐκ ἀΐδιος ὁ οὐρανὸς λέγομεν κατὰ Πλάτωνα. ἤγουν ὡς ὁ Πλάτων νομίζει. Δηλοῖ δὲ καὶ κίνησιν ἐνίοτε εἰς τόπον μετὰ αἰτιατικῆς. ὡς ἐν τῷ, Βῆ δὲ κατὰ νῆας Ἀχαιῶν. καὶ παρὰ Φιλοστράτῳ, Ὅτε κατὰ τοὺς Ἀχαιοὺς ἀπὸ αἰγῶν στέλλεται. Ἐν δὲ τῇ συνθέσει δηλοῖ καὶ πλείονα ἔμφασιν. οἷον κατεσθίω. καταπίνω.

Ἡ διὰ, γενικῇ συντάσσεται, καὶ αἰτιατικῇ. γενικῇ μὲν, ὅτε ἐνέργειαν δηλοῖ τινὸς, μεσιτεύοντος ἄλλου, ἢ ὡς ὀργάνου, ὡς ἐν τῷ, Διὰ καλῶν γὰρ ὀμμάτων αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα. ἢ ὡς δούλου καὶ ὑπουργοῦντος. ὡς ἐν τῷ, Διὰ μωσέως ὁ νόμος ἐδόθη. ἢ ὡς μεσιτεύοντος μόνον ἀλλὰ καὶ ἐνεργοῦντος, οὐ μὴν ὡς ὀργάνου, ἢ δούλου. ὡς ἐν τῷ παρ' Εὐριπίδῃ, Μάλιστα διὰ σοῦ γ', εἰ γὰρ εὐσεβὴς ἀνήρ. ἐπὶ δὲ τῆς ἁγίας τριάδος τὸν πατέρα λέγομεν πάντα ὅσα ποιεῖ, διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ ποιεῖν, καθ' ἕτερόν τινα τρόπον. οὐ γὰρ ὡς δι' ὀργάνου, ἢ δούλου, ἢ τοιούτου τινός· ἀλλ' ὡς φυσικῆς καὶ ἐνυποστάτου αὐτοῦ δυνάμεως. Γενικῇ συντάσσεται καὶ ὅτε δηλοῖ κίνησιν κατὰ τὰ ἐν μέσῳ εἰς τὸ τέλος ἀφορῶσαν. τῆς γὰρ κινήσεως, τὸ μὲν ἐστιν ἀρχὴ, τὸ δὲ τέλος. τὸ δὲ ἐν τοῖς μέσοις θεωρεῖται. ἡ μὲν οὖν ἀρχὴ, διὰ τῆς ἀπὸ δηλοῦται, ἢ τῆς ἐξ, ἢ τινὸς τῶν τοιούτων. οἷον ἀπὸ Ἀλεξανδρείας. τὸ δὲ τέλος, διὰ τῆς εἰς, ἢ τῆς ἐπὶ ἢ τῆς πρὸς, ἢ τινὸς τῶν τοιούτων. οἷον Εἰς ῥώμην. τὸ δ' ἐν τοῖς μέσοις, διὰ τῆς διὰ. οἷον Διὰ τῆς Κρήτης. Διὰ τῆς Σικελίας. καὶ Διὰ τῶν ἄλλων

τῶν

τῶν ἐν μέσῳ. ἀπὸ τούτου λέγεται καὶ τὸ, Διὰ σπουδῆς ἔχειν τί. καὶ Δι' οἴκτου. καὶ Διὰ πολλοῦ χρόνου τόδε γενέσθαι. καὶ διὰ ὀλίγου· καὶ τὰ παραπλήσια τούτοις. Ὅμηρος δὲ ἐπὶ ταύτης τῆς ἐννοίας αἰτιατικῇ ταύτην συντάττει. ὡς ἐν τῷ, „ Διὰ τ' ἔντεα καὶ μέλαν αἷμα. Ὅταν δὲ τῷ ῥήματι τῆς κινήσεως συντεθῇ, πρὸς αἰτιατικὴν ἀεὶ λέγεται. οἷον Ἀδύνατον τὴν ἄπειρον γραμμὴν ἐν πεπερασμένῳ διελθεῖν χρόνῳ. καὶ παρ' Ὁμήρῳ, „ Ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν φεύγοντες. „ ἤγουν διέβησαν. Ὅτε δὲ αἰτίαν δηλοῖ, μετὰ αἰτιατικῆς λέγεται ἀεί. ὡς ἐν τῷ, Δι' ἐμὲ καὶ ἐμὲ γεγονώς. καὶ παρ' Ἀριστοφάνει, Ὁρᾶτε „ τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον. Σημαίνει δὲ ἐν ταῖς συνθέσεσι μερισμὸν, καὶ πλείονα ἔμφασιν. μερισμὸν, οἷον διαίρεσις. διαστολή. διανομή. πλείονα ἔμφασιν, οἷον διανίσταμαι. διεγείρομαι.

Ἡ μετὰ, ὅτε ἐπὶ ἑνώσεως τίθεται, γενικῇ συντάσσεται. οἷον Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἰστέον δὲ ὅτι ἐνίοτε μὲν ἕνωσιν δηλοῖ ἐν τῷ αὐτῷ χρόνῳ· ἐνίοτε δὲ ἕνωσιν μὲν τινῶν κατ' ἐνέργειάν τινα ἢ πάθος, οὐμὴν ἐν τῷ αὐτῷ χρόνῳ. ὡς παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Τὴν ἐρημίαν ἀσπάζεται μετὰ Ἠλιοῦ καὶ Ἰωάννου. Ὅτε δὲ ὑστεροχρονίαν δηλοῖ, αἰτιατικῇ συντάσσεται. οἷον Μετὰ τὸν κατακλυσμὸν ὁ οἶνος. καὶ μετὰ τὸν θάνατον ἡ ζωή. Καὶ ὅτε τὸ δεύτερον δηλοῖ, ἐπὶ τάξεως καὶ ἀξίας. ὡς παρ' Ὁ„ μήρῳ, Πρώτῳ τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θή„ σω. καὶ παρὰ Θεοκρίτῳ, Μετὰ πάντα τὸ δεύ„ τερον ἆθλον ἀποισῇ. Παρ' Ὁμήρῳ καὶ δοτικῇ συντάσσεται, ἀντὶ τῆς σὺν κειμένη. οἷον Μετὰ τοῖσιν

ἔϐη. ἀντὶ σὺν τούτοις. Δηλοῖ δὲ ἐν συνθέσει καὶ τὴν ἀπὸ τόπου εἰς τόπον μετάϐασιν. οἷον μέτοικος. μετανάστης. Καὶ τὸ μέρος τι λαμϐάνειν τινός. οἷον Μετέχε τοῦ ὕδατος. Ἐνίοτε δὲ οὐ μέρος, ἀλλὰ τὸ πᾶν λαμϐάνειν δηλοῖ. ὡς ἐν τῷ, Μετέλαϐον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα. καὶ Μεταλαμϐάνει τῆς ἐμῆς σαρκός.

Ἡ παρὰ, ὅτε μὲν ἐνέργειαν δηλοῖ ὑπότινος, „ γενικῇ συντάσσεται. ὡς παρὰ τῷ Θεολόγῳ Γρηγο„ ρίῳ, Οὐδὲ θρᾳκῶν ὄργια ταῦτα, παρ᾽ ὧν καὶ τὸ „ θρησκεύειν, ὡς λόγος. Ὅτε δὲ δηλοῖ τὸ ὑπάρχειν τινὶ περιγραφόμενον ἐν αὐτῷ, ἢ φυλαττόμενον ὑπ᾽ αὐτοῦ, καὶ τὸ διατρίϐειν ἐν πατρίδι τινὸς, ἢ οἰκίᾳ, ἢ τοιούτῳ τινὶ, δοτικῇ συντάσσεται. οἷον Παρὰ τῷ κυρίῳ τὸ ἔλεος. καὶ Παρά σοι μενέτω τὰ γράμματα. ἤγουν φυλαττέσθω ὑπὸ σοῦ, καὶ μὴ διαδιδόσθω. καὶ Παρ᾽ ἡμῖν ἐστιν ὁ δεῖνα. ἤγουν ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ. Ὁμοίως καὶ ὅτε πλησιότητα δηλοῖ μετὰ στάσεως. οἷον Παρὰ τῷ βασιλεῖ κάθηται. Ὅτε δὲ πλησιότητα δηλοῖ μετὰ κινήσεως, αἰτιατικῇ συντάσσεται. ὡς παρ᾽ Ἀριστοτέλει. διαφέρει δὲ οὐδὲν, ἢ τὴν πεπερασμένην γραμμὴν φέρεσθαι παρὰ τὴν ἄπειρον, ἢ τὴν ἄπειρον παρ᾽ ἐκείνην. Ἐνίοτε δὲ καὶ στάσιν δηλοῖ μετὰ αἰτιατικῆς. Καὶ ὅτε κίνησιν εἴς τι δηλοῖ. οἷον Παρὰ σὲ ἦλθον. ἀντὶ εἰς σέ. καὶ Οἱ πολέμιοι παρὰ τὰ τείχη ἔϐλεπον τῆς πόλεως. κίνησιν γὰρ ἔχει τὸ βλέμμα πρὸς ἐκεῖνο, ὃ βλέπει. Καὶ ὅτε κεῖται ἀντὶ ἔξω. οἷον Παρὰ τὸν τοῦ δικαίου λόγον, καὶ παρὰ τὸν νόμον πράττεις. ἀντὶ ἔξω τοῦ δικαίου, καὶ ἔξω τοῦ νόμου. Καὶ ὅτε ἐπὶ συγκρίσεως λαμϐάνεται.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/58
gefördert von der Deutschen Forschungsgemeinschaft

ὡς ἐν τῷ, Ἠλάτ]ωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους. Καὶ ὅτε ἀντὶ τῆς διὰ λαμβάνεται. οἷον Παρὰ τὸ μὴ εἶναι μνήματα ἐν αἰγύπ]ῳ, ἐξήγαγες ἡμᾶς θανατῶσαι εἰς τὴν ἔρημον; ἀντὶ διὰ τὸ μὴ εἶναι. Δηλοῖ δ᾽ ἐν ταῖς συνθέσεσι σύγκρισιν. ὡς ἐν τῷ παραβάλλω. παρεξετάζω. παρατίθημι. Καὶ ϛάσιν ἔν τινι. ὡς ἐν τῷ πάρεσιν, ἀντὶ παρόν ἐϛιν. καὶ τὸ ἀπαλλαγῆναί τινος, παρ᾽ αὐτὸ ἐρχόμενον. ὡς ἐν τῷ παρελθεῖν. ὃ δηλοῖ καὶ τὸ παραγενέϑαι. ὡς παρὰ
„ Λεκιανῷ, Νύκτωρ εἰς τὸ ἱερὸν παρῆλθε, καὶ κα-
„ τέσπασε τὰ ἀναθήματα. Καὶ ἐν τῷ παραμεῖ-
„ ψαι. ὡς παρὰ Φιλοϛράτῳ, Παραμείψαν]ι δὲ τὴν
„ γῆν, καὶ τὰ ἐν αὐτῇ ταῦτα συμπόσια. Καὶ ἐν τῷ παραλλάξαι. ὡς παρὰ Συνεσίῳ, Τὸν φάριον μύρμηκα παρηλλάξαμεν. Καὶ παρατρέχει τὶς τινὰ ἐν διαύλῳ, καὶ παραμείβει. ἀφ᾽ οὗ μεταφορικῶς λέγεται ταῦτα, καὶ ἐπὶ τῶν νικώντων ὁποιανοῦν νίκην. Δηλοῖ δὲ καὶ ἐλάτ]ωσιν. ὡς ἐν τῷ παραπολύ. καὶ τὸ μετάτινος ποιεῖν τὶ, ἢ πάχειν. οἷον παραπολαύω, ἀντὶ συναπολαύω. καὶ παραδυναϛεύω, ἀντὶ συνάρχω. καὶ παρεδρεύω, ἀντὶ συγκάθημαι. καὶ τὸ ἔξω τȣ͂ πρέποντος ποιεῖν τι. οἷον παραπαίω, ἤγουν τὴν ὁρμὴν ἔξω τȣ͂ πρέπον]ος ποιοῦμαι. καὶ παραπόλλυμι τὸ ναῦλον, ἤγουν ἔξω τȣ͂ πρέποντος ἀναλίσκω.

Ἡ ἀντὶ, ἀεὶ γενικῇ συντάσσεται. οἷον Ἀντὶ τῶν πατέρων σȣ, ἐγεννήθησαν οἱ υἱοίσου. Δηλοῖ δὲ τὸ ἐᾷν τι, ὅπερ ὤφειλε ληφθῆναι, εἶτα λαμβάνειν ἕτερον. οἷον Ἀντὶ τοῦ ἀγαπᾷν με, διέβαλλόν με. Λέγεται καὶ ὅτε εἰς τόπον ἄλλȣ τάτ]εται ἕτερον. ὡς ἐν τῷ, Ἡ δ᾽ ἀντὶ πάντων ἐϛὶ μοι παραψυχή. Καὶ

ἐπὶ τοῦ λαμβάνειν ἕτερον, εἶτα ἕτερον ἀποδιδόναι. ὡς ἐν τῷ, Ἀντὶ ἀγαθῶν ὧν ἐποίησας Χριστὲ τῷ γένει τῶν ἑβραίων, σαυρῷ σε προσήλωσαν. Δηλοῖ καὶ τὸ ἴσον. ὡς ἐν τῷ, ἀντίςαθμον, τὸ ἰσόςαθμον. ἀντίῤῥοπον ἄχθος παρὰ Σοφοκλεῖ, τὸ ἰσόῤῥοπον. ἀντίθεος πολύφημος, Ὁ ἰσόθεον ἑαυτὸν νομίζων δι' ἄνοιαν. Δηλοῖ καὶ τὸ ἐναντίον. οἷον Ἀντίθεον δόγμα. καὶ αἰτίαν. ὡς παρὰ „ Σοφοκλεῖ, Ἀνθ' ὅτου τὰ νῦν αἴσχιςα πάντων ἔργα „ δρῶσα τυγχάνεις; ἀντὶ ἕνεκεν τίνος.

Ἡ ἐπὶ, γενικῇ συντάσσεται καὶ δοτικῇ, καὶ αἰτιατικῇ. καὶ γενικῇ μὲν συντατλομένη, δηλοῖ ςάσιν ἔντινι, ἢ τόπῳ, ἢ χρόνῳ, ἢ τοιούτῳ τινί. ὡς ἐν τῷ, Ἐπὶ τῶν ποταμῶν βαβυλῶνος, ἐκεῖ ἐκαθήσαμεν „ καὶ ἐκλαύσαμεν. καὶ παρ' Ἡσιόδῳ, Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν. ἤγουν ἐπὶ τῶν καιρῶν ἐκείνου. καὶ Ἐπὶ τῶν ἡμερῶν μου ἐγένετο τόδε, ἐπὶ χρόνον δὲ ὀλίγον διήρκεσεν. καὶ Ἐπὶ πλεῖςον καιρὸν ἐμίσησέ με. μετὰ Αἰτιατικῆς. Καὶ ὅταν δηλοῖ τὴν ἐπάνω σχέσιν. ὡς τὸ, Ὁ ἐπὶ πάντων θεός. καὶ Ἐπὶ τῶν ὤμων ἀράμενος τὸν σαυρόν. καὶ Ὁ λαγωὸς, τῷ μαλθακοὺς ἔχειν τοὺς πόδας, θεῖ ἐπὶ τῶν πάγων ἀσφαλῶς. Καὶ τὸ ἐνώπιον καὶ ἔμπροσθεν. ὡς τὸ, Οὐκ αἰδῇ ἐπὶ τοσούτων ἀσχημονεῖν; ὅ ἐςιν ἐνώπιον καὶ ἔμπροσθεν τοσούτων. Καὶ κίνησιν εἴς τι. οἷον Πορεύομαι ἐπ' οἴκου. καὶ Ἐςείλατό τις τὴν ἐπὶ Θετλαλίας. δοτικῇ δὲ συντατλομένη, δηλοῖ σχέσιν ἔντινι. ὡς παρ' Ἀριςο„ φάνει, Ὃς ἐπὶ πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ. καὶ „ τὸ ἐπάνω. οἷον Ἐπὶ τῷ θεμελίῳ τῶν ἀποςό„ λων καὶ προφητῶν ᾠκοδόμησαν οἱ μάρτυρες, καὶ οἱ διδάσκαλοι. Καὶ δευτέραν σχέσιν. οἷον Τί τὸ ἐπὶ τού-

τοις;

τοις; ἀντὶ μετὰ ταῦτα. Καὶ ἐξεσίαν. ὡς παρὰ „ Φιλοςράτῳ, Καὶ τοὺς Ἀχαιοὺς ἐπ' αὐτῷ εἶναι. ἤγουν ἐπὶ τῇ ἐξεσίᾳ αὐτε. Καὶ αἰτίαν. ὡς τὸ, Ἑταῖρε, ἐφ' ᾧ πάρει; ἀντὶ διό. Καὶ ἔτω συντάσσεται καὶ ὅτε ἐπάγεται πεποιθήσεως ῥῆμα. ὡς ἐν τῷ, Ἐπὶ τῷ κυρίῳ πέποιθα. Δηλοῖ καὶ δόλον, ἢ ἐπιβουλὴν, ἢ ὀργὴν, ἢ τοιοῦτόν τι κατάτινος. ὡς παρ' Ἀ„ ριςοφάνει. Οὗτοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσε„ τον, ὅτιὴ ἐπὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι. ἤγουν κατὰ τε δήμε. Μετὰ αἰτιατικῆς δὲ λεγομένη, δηλοῖ κίνησιν εἴς τι. ὡς παρὰ Σοφοκλεῖ, Ἦ, καὶ παρέςη, κἀπὶ τέρμ' ἀφίκετο. Οὕτω συντάσσεται καὶ ὅτε προηγεῖται πεποιθήσεως ῥῆμα. ὡς ἐν τῷ, Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Δηλοῖ δὲ καὶ δόλον, ἢ ἐπιβουλὴν, ἢ τοιετόντι κατά τινος. ὡς παρὰ Σοφοκλεῖ, Νύκτωρ ἐφ' ἡμᾶς δόλιος „ ὁρμᾶται μόνος. ἀντὶ καθ' ἡμῶν. Δηλοῖ δὲ ἐν ταῖς συνθέσεσι καὶ τάδε, καὶ πρὸς τούτοις, ἐπίτασιν. ὡς ἐν τῷ ἐπίψογος. ἐπιμωμητή. Καὶ ἀκολέθησιν. ὡς ἐν τῷ ἔπωσις. ἄπωσις γὰρ λέγεται, ὅτε ὠθεῖ τὶς ἀφ' ἑαυτε τί. ἔπωσις δὲ, ὅτε ὠθῶν ἕπεται. Δηλοῖ καὶ ςάσιν ἀπὸ κινήσεως. ὡς ἐν τῷ ἐπέςη. ἐφειςήκει.

Ἡ περὶ, ὅταν σημαίνῃ τὸ ἕνεκεν, γενικῇ συντάσσεται. οἷον Μάχομαι περὶ τῶν καταλελειμμένων μοι κλήρων. ἀντὶ τε ἕνεκεν τῶν καταλειφθέντων μοι κλήρων. καὶ παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Ταῦτά μοι περὶ θεε πεφιλοσοφήσθω τανῦν. Ὅτε δὲ πρόσκειται τὸ δέδοικα, καὶ τὰ ἰσοδυναμοῦντα τούτῳ, δοτι„ κῇ. ὡς παρ' Ὁμήρῳ, Δέδοικα περὶ ξανθῷ Μενελάῳ. ὅπερ ποιητικὸν ὂν, ἐπεκράτησε καὶ παρὰ τοῖς

κοινοῖς. ὅτε δὲ τὴν κύκλω χέσιν δηλοῖ πρὸς αἰτιαλικὴν λέγελαι. οἷον Τῶν περὶ αὐτὸν σωμαλοφυλάκων. καὶ Ἕνα τῶν περὶ τὸν Ἀντίγονον. Καὶ ὅτε πλησιότηλα δηλοῖ. οἷον Περί που τὴν Ἀλεξάνδρειαν. Καὶ ὅτε ἐνέργειαν εἴς τι δηλοῖ. οἷον Τί τὸ περὶ ἐμὲ τοῦτο γέγονε μυςήριον; Καὶ ὅτε τὴν ἐπὶ τόπου διαγωγὴν δηλοῖ. οἷον Περὶ τὸν τοῦ σεμνείου τύπον διῆγεν. Δηλοῖ δὲ ἐν ταῖς συνθέσεσι τὴν κύκλω χέσιν. ὡς ἐν τῷ, περιδινεῖν. περιςρέφειν. Καὶ τὸ κρεῖτλον. ὡς Περιεγένετο ὁ δεῖνα τοῦ δεῖνος. ἀντὶ κρείτλων ἐγένετο. καὶ Περὶ παντὸς τόδε ποιοῦμαι. Δηλοῖ καὶ πλῆθος, οἷον Περίεςί μοι πλούτου. ἤγουν περιουσία καὶ πλῆθός ἐςί μοι. ἀπὸ ταύτης γίνελαι τὸ πέριξ.

Ἡ ἀμφὶ, ἰσοδύναμός ἐςι ταύτῃ τῇ περὶ, μηδὲν ἕτερον διαλλάτλουσα, πλὴν ὅτι ἡ μὲν περὶ, παρὰ τοῖς κοινοῖς ἐν χρήσει. ἡ δὲ ἀμφὶ, παρὰ τοῖς ποιηλαῖς. ἐνίοτε δὲ καὶ παρὰ τοῖς κοινοῖς.

Ἡ ἀπὸ, ἀεὶ γενικῇ συντάσσελαι. οἷον Ἀπὸ καρποῦ, σίτου, οἴνου, καὶ ἐλαίου. Δηλοῖ δὲ τὸ λαμβάνειν μέρος ἀπό τινος. καὶ κίνησιν ἀπὸ τόπου, καὶ χωρισμόν. οἷον Ἀπέχω. ἀφίςαμαι. Λέγελαι δὲ καὶ ἐπὶ τοῦ διδόναι χρέος, ἢ λαμβάνειν. οἷον Ἀποδίδωμι. ἀπολαμβάνω. ἀπέχω τὰ τροφεῖα. ἀντὶ ἀπολαβὼν ἔχω. Ἀπὸ τούτου λέγελαι καὶ ἐπὶ ἀπανλήσεως λόγου, καὶ ἑρμηνείας. οἷον Ἐρωτώμενος ἀποκρίνομαι. καὶ Κατηγορούμενος ἀπολογοῦμαι. καὶ Ἀποδίδωμι τόδε τὸ ῥητὸν οὕτως. ἤγουν ἑρμηνεύω. ἢ τήνδε τὴν λέξιν, οἷον τὴν λώβην, ἀντὶ ὕβρεως. καὶ τὸ προΐαψεν. ἀντὶ

βλά-

βλάψασα ἔπεμψεν. Ἐνίοτε δὲ κεῖται μηδὲν πλέον δηλοῦσα. ὡς ἐν τῷ ἀπιχυρίζεσθαι. ἀποδειλιᾷν.

Ἡ ὑπὸ, γενικῇ συντάσσεται, καὶ δοτικῇ, καὶ αἰτιατικῇ. καὶ γενικῇ μὲν συνταττομένη, δηλοῖ ἐνέργειάν τινος, ἢ ὡς ποιητοῦ. οἷον Ὑπὸ τοῦ θεοῦ πάντα παρήχθη. ἢ ὡς νικῶντος, ἢ ἄλλο τι ἐνεργοῦντος. οἷον Ἡττήθησαν οἱ Ἄραβες ὑπὸ τῶν Μήδων. καὶ ὑπὸ τῶν Ῥωμαίων οἱ Σκύθαι. καὶ Ὑπὸ σοῦ τύπτομαι, ἢ ὑβρίζομαι, ἢ ἐπαινοῦμαι. Μετὰ δοτικῆς δὲ λεγομένη, δηλοῖ τὴν ὑποκάτω σχέσιν, ἢ καθ' ὑποταγὴν καὶ διδασκαλίαν. οἷον Ὑπὸ τῷ μεγάλῳ πατρὶ σπαργανοῦται καὶ διαπλάττεται. ἢ κατὰ τόπον, οἷον Ὑπὸ δένδρῳ κάθημαι. ἀττικὴ δὲ ἐστὶν αὕτη ἡ σύνταξις. παρὰ δὲ τοῖς κοινοῖς αἰτιατικῇ συντάσσεται, ὅτε τὴν ὑποκάτω σχέσιν δηλοῖ ἐν τόπῳ. οἷον Ὑπὸ τὴν γῆν ὁ ἥλιος δίεισι. καὶ Ἄγε, ὕμνει τὸν θεὸν πᾶσα ἡ ὑφ' ἥλιον κτῆσις. Δηλοῖ δὲ μετὰ αἰτιατικῆς καὶ τὸ ὑποκάτω τινὸς εἶναί τινα, καθ' ὑποταγὴν καὶ ἀξίαν. οἷον Στρατιώτης ὢν ὑπὸ τὸν στρατηγὸν ἴσθι. Δηλοῖ δὲ ἐν ταῖς συνθέσεσι ποτὲ μὲν τὸ λάθρα. ὡς ἐν τῷ ὑφείλετο. ἀντὶ ἔκλεψεν. ποτὲ δὲ ἐλάττωσιν. ὡς ἐν τῷ ὑποβέβηκε. ποτὲ δὲ μετριότητα, ὡς ἐν τῷ ὑπόχρυσον, τὸ μετρίως χρυσοῦν. ποτὲ δὲ κεῖται μηδὲν πλέον δηλοῦσα. ὡς ἐν τῷ ὑπέδειξεν. ὑπέφηνεν. ἀπὸ ταύτης γίνεται τὸ ὕστερον.

Ἡ ὑπὲρ, ὅτε σημαίνει βοήθειαν καὶ αἰτίαν, γενικῇ συντάσσεται. οἷον Ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἀπέθανεν. ἀντὶ δι' ἡμᾶς. Καὶ ὅτε τὴν ἐπάνω σχέσιν δηλοῖ. οἷον Ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. Ὅτε δὲ τὴν

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/63 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

ἐν συγκρίσει ὑπεροχὴν δηλοῖ, αἰτιατικῇ. οἷον Εἶδον τὸν Παῦλον ὑπὲρ τοὺς ποταμοὺς ῥέοντα. καὶ Ὑπέρ σοῦ εἰμι· τουτέστι κρείττων σου εἰμί. Αὐτὰ ταῦτα δηλοῖ καὶ ἐν ταῖς συνθέσεσιν ὡς ἐν τῷ Ὑπερέχειν τῆς κεφαλῆς τὴν χεῖρα. ἀντὶ ὑπεράνω τῆς κεφαλῆς ἔχειν. καὶ ὑπερμαχεῖν τινός. ἀντὶ μάχεσθαι ὑπὲρ αὐτοῦ. καὶ ὑπερακοντίζειν τὸ πλέον ἀκοντίζειν. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται καὶ τὸ ὑπερούσιος. ὑπέρθεος. ὑπεράγαθος. ἃ ἐπὶ θεοῦ λέγεται. καὶ σημαίνουσιν αὐτὸν εἶναι ὑπὲρ πᾶν ὄνομα οὐσίας, ἢ ἐνεργείας, ἢ τοιούτου τινός, δηλωτικόν.

Ἰστέον δὲ ὅτι αἱ προθέσεις μετὰ μὲν τῶν εὐθειῶν τῶν ὀνομάτων, ἢ τῶν ῥημάτων λεγόμεναι, ἐν συνθέσει εἰσί. μετὰ δὲ τῶν πλαγίων, ἐν παραθέσει. καὶ ὅτι συντεθειμέναι τοῖς ῥήμασιν, ἐνίοτε μὲν ὡς συλλαβαὶ κεῖνται μηδὲν πλέον δηλοῦσαι τοῦ ῥήματος. ὡς τὸ ἐνέπω. καμμύω. ἐνίοτε δὲ μεταβάλλουσι τὸ ῥῆμα, καὶ εἰς ἄκραν ἕνωσιν μίγνυνται αὐτῷ, μηδέποτε αὐτοῦ χωριζόμεναι. ὡς μηκέτι χωριζομένων δηλοῦντος αὐτοῦ τι. ὡς ἐν τῷ καθαίρομαι. ἀντιβολῶ. ἐν οἷς καὶ κατὰ τὰς προθέσεις γίνονται αἱ αὐξήσεις κατὰ τοὺς παρῳχημένους. οἷον ἤνεπον. ἐκάμμυον. ἐκαθαιρόμην. ἠντιβόλουν· σεσημειωμένων τοῦ ἐνοχλῶ, ἠνώχλουν. ἀνορθῶ, ἠνώρθουν, καὶ κατὰ τὸ ῥῆμα καὶ τὴν πρόθεσιν ηὐξημένων. Ἐνίοτε δὲ συντεθεῖσαι τὴν ἑαυτῶν δύαμιν κεχωρισμένην ἐμφαίνουσι. καὶ τοῦ ῥήματος τὴν ἑαυτοῦ κινουμένου καὶ αὐξανομένου κατὰ τοὺς ἑαυτοῦ χρόνους, αὗται ἐπάγονται καὶ ἁρμόττονται ἐφ' ἑκάστῳ τῶν χρόνων. οἷον τρέχω, κατατρέχω. ἔτρεχον, κατέτρεχον. τίθημι, ἀποτίθημι. ἐθέμην, ἀπεθέμην. Ὅτι ἀπὸ τούτων γίνονται ἐπιῤῥήματα, κατὰ τὰς σημασίας αὐτῶν. ὡς

ἀπὸ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/64 gefördert von der Deutschen Forschungsgemeinschaft

ἀπὸ τῆς ἐξ καὶ ἐκ, τὸ ἔξω, καὶ ἐκτός. καὶ ἔκτοσθεν. καὶ ἀπὸ τῆ περὶ, τὸ πέριξ, καὶ ἀπὸ τῶν ἄλλων ἕτερα. Ὅτι τὰ γινόμενα ἀπ' αὐτῶν ἐπιῤῥήματα παρὰ τοῖς ποιηταῖς, ἀντὶ τούτων λαμβάνονται, καὶ τὴν σύνταξιν ἀναδέχονται αὐτῶν. ὡς παρ' Ὁμήρῳ, Ἴλιον εἴσω. „ ἀντὶ εἰς τὴν Ἴλιον. καὶ παρὰ Θεοκρίτῳ, Ἔκτοσθεν λιπαρῆς παλαίστρας. ἀντὶ ἐκ τῆς παλαίστρας. Ὅτι αἱ μονοσύλλαβοι ἀναστρέφονται, ὅταν ἐν τέλει λόγου ὦσι. καὶ ὀρθοῦσι τὴν ὀξεῖαν τάσιν, ἵνα ἡ ἀνα- „ στροφὴ καταλαμβάνηται. οἷον Οὐ μέν μοι κακὸς εἴδε- „ ται, οὐδὲ κακῶν ἔξ. καὶ Ἦλθεν ἀργυρότοξος ἀρτέμιδι ξύν. Τῶν δὲ δισυλλάβων αἱ μὲν δίχρονοι ἔντελοῖς πεζοῖς, καὶ ἐν τοῖς ἐμμέτροις ἀναστρέφονται. πλὴν τῆς διά. ἵνα μὴ συνεμπέσῃ τῷ Δία, οὗ ἡ εὐθεῖα, ὁ Ζεύς. αἱ δὲ τρίχρονοι, οὐδαμῶς. Ὅθεν καὶ τῷ ι πλεονάζουσιν. οἷον καταὶ, παραὶ, ὑπείρ. αἵτε τρίχρονοι γινόμεναι οὐκ ἀναστρέφονται. ἡ δὲ ἐν δισυλλαβήσασα καὶ διχρονήσασα, ἀναστρέφεται. οἷον Ἡμετέρῳ ἔνι οἴκῳ. Ἔτι ἰστέον ὅτι αἱ δισύλλαβοι καὶ διχρονοῦσαι ὅμως ἐστὶν ὅτε οὐκ ἀναστρέφονται. εἰ γὰρ μεταξὺ πέσοιεν ὀνόματος καὶ ῥήματος ἢ μετοχῆς, πρὸς διάφορον σημασίαν ἀναστρέφονται καὶ οὐκ ἀναστρέφονται. οἷον Ἰθάκην κατακοιρανέουσιν. Εἰ μὲν κατὰ τὴν ἰθάκην, ἤγουν ἐν τῇ Ἰθάκῃ, ἀναστρέφεται. εἰ δὲ πρὸς τὸ κοιρανέουσιν ἡ πρόθεσις λέγεται, ἵνα πλείονα δηλώσῃ ἔμφασιν τῆς τῶν μνηστήρων ἐπικρατείας, ὃ καὶ μᾶλλον δοκεῖ, οὐκ ἀναστρέφεται. Εἰ δὲ μεταξὺ πέσοι δύο ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου ὄντος, τοῦ δὲ ἑτέρου προσηγορικοῦ ἢ ἐπιθετικοῦ, ἐν πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν, ἵνα τῆς ὅλης συντάξεως προηγήσαιτο. οἷον Πο- „ ταμοῦ ἄπο σελλήεντος. Ξάνθῳ ἔπι δινήεντι, Μά-

χῃ ἔνι κυδιανείρῃ. Ὁμοίως κἂν μεταξὺ πέσῃ δύο κυρίων, ἢ δύο προσηγορικῶν, ἀναστρέφεται, συνδέσμου παραλαμβανομένου μετὰ τὴν πρόθεσιν. οἷον Νηῶν ἄπο καὶ κλισιάων. Ἀγαμέμνονος πέρι καὶ Ἀχιλλέως. Εἰ δὲ μεταξὺ πέσοι, ὑποταγῇ δὲ τούτῳ οὗπερ ἔδει αὐτὴν προηγεῖσθαι, μηδενὸς ἑτέρου μέρους λόγου με-
„ ταξὺ πίπτοντος, πάλιν ἀναστρέφεται. Ὦ ἔπι πόλλ' ἐμόγησ' Ἰθάκῃ ἔνι οἰκία ναίων. Εἰ δὲ ὄπισθεν τῆς προθέσεως, μετὰ τὸ προηγούμενον αὐτῆς ῥῆμα ἢ ὄνομα, ἕτερον μέρος λόγου πέσοι, οὐκ ἀναστρέφεται. οἷον
„ Τῷ δ' ἐπὶ τυδείδης ὦρτο. καὶ Ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος. εἰ μέντοι ἐν τέλει στίχου εἴη, ἢ ἁπλῶς ἐν τέλει νοήματος, μεθ' ἣν τίθεται σιγμὴ, ἀναστρέφεται πάντως. οἷον Πάντων δ' ἔπλυσε πουλὺ κάτα. ἤγουν κατέπλυσε. σημειοῦνται τῷ παρὰ Πλάτωνι, Ἀρε-
„ τῆς δ' αὖ πέρι. διότι ἀναστρέφεται, μεσοσυλλαβοῦντος τοῦ δε συνδέσμου, καὶ τοῦ αυ. Αἱ συνειλημμέναι οὐκ ἀναστρέφονται, εἰμὴ σιγμῆς ἐπιφέροιντο ἀνάπαυσιν. ἢ κινδυνεύοι τὸ σημαινόμενον λυμαίνεσθαι. οἷον
„ Τοῖσι παρ' εἰναέταις. ἐν μέντοι τῷ, Ἄστυ κάτ'.
„ αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες, ἀναστρέφεται
„ ἡ κατὰ, διότι μετ' αὐτὴν κεῖται σιγμή. καὶ ἐν
„ τῷ, Στεῦτο δ' ἄρ Ἡφαίστοιο πάρ οἰσέμεν ἔντεα
„ καλά ἵν' ᾖ παρὰ τοῦ Ἡφαίστου οἰσέμεν. καὶ μὴ νομίζηται τοῦ Ἡφαίστου ὅπλα παροισέμεν.

ΤΗ͂Σ ΑʹΓΙʹΑΣ ΘΕΟΤΟʹΚΟΥ. Πόσα μέρη λόγου εἰσίν; Δύο. Τῆς, ἄρθρον. ἁγίας θεοτόκου, ὄνομα.

Α'ΓΙ'ΑΣ. Η' εὐθεῖα, ἡ ἁγία. Πόθεν γίνεται; Παρὰ τὸ ἄζομαι ποιητικῶς, τὸ σέβομαι. τὸν γὰρ ἁγνὸν καὶ ἅγιον ἅπαντες σεβόμεθα.

Ε'πὶ τὸ α, δασεῖαν, ἀπὸ τοῦ ἅζομαι. ἄζω μὲν τὸ ξηραίνω. ἀφ' οὗ παρ' Ο'μήρῳ, βοῦς ἀζαλέη, ἤγουν βύρσα, ψιλοῦται. ἅζομαι δὲ τὸ σέβομαι, δασύνεται.

ΘΕΟΤΟ'ΚΟΥ. Η' εὐθεῖα, Η' Θεοτόκος. Πόθεν γίνεται; Α'πὸ τοῦ Θεὸς, καὶ τοῦ τόκος. τὸ δὲ τόκος, ἀπὸ τοῦ τεκεῖν.

ΚΑΙ' Α'ΕΙΠΑΡΘΕ'ΝΟΥ ΜΑΡΙ'ΑΣ. Πόσα μέρη λόγου εἰσί; Δύο. Καὶ, σύνδεσμος. ἀειπαρθένου Μαρίας, ὄνομα. Τὸ καὶ, ποίου τῶν συνδέσμων; Συμπλεκτικοῦ.

Ε'πὶ τῷ καί, ὀξεῖαν. Οἱ συμπλεκτικοὶ σύνδεσμοι σχεδὸν πάντες ὀξύνονται. ἐν δὲ τῇ συνεπείᾳ τὴν ὀξεῖαν εἰς βαρεῖαν τρέπουσι· ἤγουν βαρύνονται, κατὰ τὴν τῶν ἄλλων ἁπάντων ἀκολουθίαν.

Τὸ καὶ, δίφθογγος. Τὰ ἀπὸ τῆς και συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγου.

Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Κέαρ, ἡ ψυχή. Ο' κατὰ συναίρεσιν λέγεται κῆρ. Κεβριόνης, ὄνομα κύριον. Κέβρην, πόλις τῆς τρῳάδος. Κέγ-
„ χρος, ἀφ' οὗ κεγχρεὼν, ὡς παρὰ Δημοσθένει, Κά-

„πειτ

„ πειτ' ἔπεισε τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν κεγχρεῶνα. Κεδνὸν, τὸ καλὸν καὶ τίμιον. Κεκράκτης, ὁ λάλος. Κεκροπὶς, μία τῶν δέκα φυλῶν ἐν Ἀθήναις. Κεκρύφαλον, μία τῶν κοιλιῶν, ἃς ἔχει τὰ μηρυκάζοντα τῶν ζώων. τρεῖς δὲ ἔχει. καὶ ἡ μὲν οὕτω λέγεται. ἡ δ' ἤνυστρον. ἡ δὲ, ἐχῖνος. Κεκρύφαλος, κόσμος γυναικεῖος. Κελαδεῖ, τὰ ὄρνεα. ἀφ' οὗ κελάδημα, ἐπὶ τῆς φωνῆς αὐτῶν. καὶ κελαδεινὸς, καὶ κελαρίζειν, ἐπὶ τοῦ ἤχου τοῦ ὕδατος. Κέλης, ὁ ἵππος, καὶ ὁ ἱππαστής. κελλητίζω, τὸ καββαλικεύω. Κέλυφος, τὸ τοῦ ὠοῦ λέπος, Κελαινὸν, τὸ σκοτεινόν. Κεμὰς, ἡ ἔλαφος. Κενὸν, τὸ μάταιον. ὃ ποιητικῶς λέγεται κενεόν. κενῶ τὸ ἀγγεῖον, ἤγουν κενὸν ποιῶ, οὗπερ ἔχει ἐντός. ἀπὸ τούτου λέγεται καὶ ἐπὶ θεοῦ τὸ, Ἐκένωσεν ἑαυτόν. ἤγουν ἐταπείνωσε. Κενεὸν, τὸ κοίλωμα ἢ τῆς γῆς, ἢ ἄλλου τινός. Κενάσιμον φάρμακον, τὸ κένωσιν ἐργαζόμενον. Κενήριον, τὸ κενοτάφιον. Κεντῶ, τὸ τιτρώσκω, καὶ σφάττω. ἀπὸ τούτου καὶ ἐπὶ τῶν ποικιλλόντων τὶ μετὰ μετάξης, ἢ τοιούτου τινός. Κέπφος, ὁ λάρος. Κέρας, τὸ τῶν ζώων. ἀφ' οὗ κέρας, καὶ ἡ ἰσχὺς, καὶ τὸ πτερύγιον ἐν παρατάξει, καὶ τὸ κοινῶς κερατάριον, ὃ καὶ κεραία λέγεται παρ' ἀττικοῖς. Λέγεται κέρας, καὶ ὁ ἐπιμήκης λιμὴν, καὶ κέρατι ζώου ἐοικὼς, οἷος ἐστιν ὁ τῆς Κωνσταντινουπόλεως. Κερόιαξ ἀρσενικῶς, καὶ κλίνεται κεροίακος, τὸ κοινῶς κάροιον. Κερώκοπον ξίφος, τὸ ἀπὸ κέρατος ἔχον τὴν κώπην, ἤτοι τὴν λαβήν. Κερῶ, τὸ μιγνύω ἄλλο ὑγρὸν ἄλλῳ, καὶ τὸ „ ἁπλῶς ἐγχέω. ὡς ἐν τῷ, Κέρασσε δὲ νέκταρ ἐρυ„ θρόν. οὐ γὰρ μεμιγμένον οἱ θεοὶ τὸ νέκταρ πίνουσι. Κερεάλιος, ὄνομα κύριον. Κεραΐζω, τὸ φθείρω. Κέρα-

ραμος. ἀφ' οὗ κεραμεοῦν σκεῦος ἀτ]ικᾶς, τὸ παρὰ τοῖς ἄλλοις ἕλλησιν ὀςράκινον. κεραμικὴ τέχνη. ἀφ' οὗ Κεραμεῖς, δῆμος ἐν Ἀθήναις. Κεραμεικὸς τόπος καὶ οὗτος ἐν Ἀθήναις. δύο δὲ ἦσαν κεραμεικοὶ, ὁ μὲν, ἔνδον ἐν τῇ πόλει. ὁ δὲ, ἐκτὸς τῆς πόλεως, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπ]ον δημοσίᾳ, καὶ ἐπιταφίους ἔλεγον. Κέρκωπες, ἐξαπα]ητῆρές τινες οὗτοι, φασὶν, ἦσαν καὶ ψεῦσαι. Κερδὼ, ἡ ἀλώπηξ. ἀφ' οὗ κερδαλέος, ὁ πανοῦργος. Κέρδος, ἀφ' οὗ κερδαλέος ὁ ἐπικερδής. κερδῷος, ἐπίθετον τοῦ Ἑρμοῦ. Κερκίδες, ἀπὸ τοῦ κέρκω, τὸ ἠχῶ, αἷς αἱ γυναῖκες χρῶνται ἐν τοῖς ὑφάσμασι. Κέρασος, φυτόν. ἀφ' οὗ κεράσια, ὁ καρπὸς αὐτοῦ. Κεσρεὺς, ὄνομα ἰχθύος. Κεσὸς, ὁ κεντητὸς λῶρος. Κέφαλος, ὄνομα ἰχθύος. Κεφαλή. ἐλέγετο δὲ καὶ δῆμος ἐν Ἀθήναις κεφαλὴ, ἀφ' ἧς ὁ δημότης, κεφαλῆθεν. Κέως, μία τῶν κυκλάδων νήσων, παρακειμένη τῇ ἀτ]ικῇ. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Καὶ, σύνδεσμος. Καικίας, ἄνεμος. Καινὸν, τὸ νέον καὶ παράδοξον. ἀφ' οὗ ἐγκαινίζω, καὶ ἐγκαίνιον, καὶ ἐγκαινισμός. Καινοτομῶ, καινοτόμημα καινουργῶ καίνω, τὸ τέμνω, καὶ καὶ τὸ φονεύω. Καινὶς, ἡ μάχαιρα. Καινεὺς, κύριον. Καιρὸς, ὁ ἐπιτήδειος χρόνος. Καιρεία, ἡ θανατηφόρος, πληγή. Καῖσαρ. Καισάρεια, πόλις. ὁ ἀπὸ ταύτης, καισαρεύς. Καισάριος, ὄνομα κύριον. Καίω, τὸ πυρὶ ἀναλίσκω. ὅπερ ἄμεινον λέγεσθαι κάω. καὶ ἕτερα.

Α'ΕΙΠΑΡΘΕ'ΝΟΥ. Η' εὐθεῖα, ἡ ἀειπαρθένος Τὸ α, βραχύ. καὶ δῆλον ἀπὸ τοῦ τοὺς ποιητὰς προσλαμβάνειν ἐν αὐτῷ τὸ ι, καὶ λέγειν αἰεί. ὃ σύνηθες αὐτοῖς ἐπὶ τῶν βραχέων ποιεῖν, ἵνα ἐκτείνωσιν αὐτά. ὡς τὴν παρὰ πρόθεσιν λέγουσι παραί. καὶ τὴν κατὰ, καταί. καὶ τὸν ἀετὸν, αἰετὸν, καὶ ἕτερα.

Τὸ ει, δίφθογγον ε καὶ ι. καὶ ὅσα ἀπ' αὐτοῦ. Α'είζωος. Α'είμνηστος. Α'ειμακάριστος. Α'ειθαλής. Α'εισέβαστος. Α'είῤῥυτος, καὶ Α'είῤῥους τὸ αὐτό. Α'ειδίνητος, ὁ ἀεὶ συστρεφόμενος.

Διὰ δὲ τοῦ ι, ταῦτα ὅσα ἀπὸ τοῦ στερητικοῦ α, καὶ τοῦ ἴδω γίνονται. οἷον Α'ΐδης, ὁ ᾅδης. Α'ϊδωνεὺς, τὸ αὐτό. Α'ΐδηλον πῦρ, τὸ ἀφανιστικόν. καὶ ὅσα ἀφ' ἑτέρου τινὸς γίνονται τὸ ι ἔχοντος. οἷον Α'ΐδρις Α'ΐδιος, καὶ ἕτερα.

Τὸ θε, ψιλόν. Τὰ διὰ τοῦ ενος ὀνόματα, τινὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγου. Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Παρθένος. Γένος. Ξένος. Σθένος. Μένος, τὸ σθένος, καὶ τὸ ἔμμονον ἔργον, καὶ ἡ μνησικακία. Τέμενος, ὁ ἀποκεκομμένος καὶ ἀφιερωμένος τόπος τινί. Βλένος, εἶδος ἰχθύος. Ε'βενος, ξύλον τί. Ε'νος, ὁ χρόνος. Α'φενος, ὁ πλοῦτος, ὃ καὶ οὐδετέρως λέγεται τὸ ἄφενος. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Αἶνος, ὁ ἔπαινος. καὶ ὅσα ἀπ' αὐτοῦ.

ΜΑ-

ΜΑΡΊΑΣ. Ἡ εὐθεῖα, ἡ Μαρία. ἔστι δὲ ἑβραϊκόν, καὶ ἑρμηνεύεται κυρία.

ΤΑΙ͂Σ ΠΡΕΣΒΕΊΑΙΣ ΑὐΤΗ͂Σ. Πόσα μέρη λόγου εἰσίν; Τρία. Ταῖς, ἄρθρον. πρεσβείαις, ὄνομα. αὐτῆς, ἀντωνυμία. γίνεται δὲ πρεσβεία παρὰ τὸ πρέσβις ὁ ἀποκρισιάριος. τὸ δὲ πρέσβις, ἀπὸ τοῦ πρέσβυς ὁ γηραιός. τοῦτο δέ, ἀπὸ τοῦ προβεβηκέναι τοῖς χρόνοις.

Τὸ πρε, ψιλόν. Τὰ ἀπὸ τῆς πρε συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγου. Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Πρέπων, πρεπώδης. Πρέσβις, ὁ ἀποκρισιάριος, διὰ τοῦ ι. καὶ κλίνεται πρέσβεος. Πρεσβεύω, τὸ τιμῶ, καὶ τὸ ἀποκρισιάριος πέμπομαι, καὶ τὸ μεσιτεύω. πρεσβεύομαι δέ, τὸ ἀποκρισιάριον πέμπω. πρεσβεία· πρέσβυς, ὁ γηραιός, διὰ τοῦ υ ψιλοῦ. πρέσβειρα δέ, ἡ γηραιά, καὶ ἡ μεσίτρια, διὰ τῆς ε καὶ ι διφθόγγου. Πρέμνος, ὁ κλάδος. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Πραίνετος, ὄνομα τόπου κατὰ τὸν Ἀστακηνὸν κόλπον. Πραιδεύω. Πραῖδα, ἡ γινομένη βλάβη ἐν ἀμπελῶσι καὶ ἀγροῖς, καὶ τοιούτοις τισί. Πραίτωρ, ἀξίωμα ῥωμαϊκόν. πραιτώριον. Πραιπόσιτος, ἀξίωμα. Πραιτοῦρα, τόπος. Πραίσιδος, ὄνομα κύριον, καὶ ἕτερα.

Τὸ, βει, δίφθογγος ε καὶ ι. Τὰ διὰ τοῦ εια παροξύτονα θηλυκά, ἔχοντα ῥήματα ἀντιπαρακείμενα

διὰ τοῦ ευω, διὰ τῆς ει διφθόγγȣ γράφονται. ἢ ἀπὸ ἄλλης τινὸς καταλήξεως ὀνομάτων γίνονται, καὶ μὴ ἀπὸ τῶν εἰς μων ὀξυτόνων, καὶ τῶν εἰς ος. οἷον Εἴρων, εἰρωνεύομαι, εἰρωνεία. Θὼψ, ὁ κόλαξ, θωπεύω, θωπεία. Κόλαξ, κολακεύω, κολακεία. Βασιλεὺς, βασιλεύω, βασιλεία. Α'ριστεὺς, ἀριστεύω, ἀριστεία. Υ"δωρ, ὑδρεύω, ὑδρεία, ἡ ὕδρευσις. ὑδρία δὲ τὸ ἀγγεῖον δἰ οὗ τὸ ὕδωρ κομίζεται, ι. ἐπεὶ οὐκ ἔχει ῥῆμα διὰ τοῦ ευω. Ρ'ήτωρ, ῥητορεύω, ῥητορεία. Ληστὴς, ληστεύω, ληστεία. Ξένος, ξενιτεύω, ξενιτεία. Πένης, πενητεύω, πενητεία. πενία δὲ καὶ ξενία, ι. ἐπεὶ οὐκ ἔχουσι ῥῆμα διὰ τȣ ευω. Προφήτης, προφητεύω, προφητεία. Υ'ποφήτης, ὑποφητεύω, ὑποφητεία. Νῆσις, νηστεύω, νηστεία. Πρέσβις, πρεσβεύω, πρεσβεία. Ι'κέτης, ὁ πρακλήτωρ, ἱκετεύω ἱκετεία. ἱκεσία δὲ ι. ἐπεὶ οὐκ ἔχει ῥῆμα διὰ τȣ ευω. δεσπότης, δεσποτεύω, δεσποτεία. Α'υθέντια δὲ ι, ἐπεὶ ȣκ ἔχει ῥῆμα διὰ τȣ ευω. Λιτὴ ἡ παράκλησις. λιτανεύω, λιτανεία, καὶ ἕτερα. Πρόσκειται, Μὴ ἀπὸ τῶν εἰς μων ὀξυτόνων, διὰ τὸ Κηδεμὼν, κηδεμονεύω, κηδεμονία. καὶ Η'γεμὼν, ἡγεμονεύω, ἡγεμονία. ἡγουμενεία δὲ, δίφθογγος ε καὶ ι. ἐπεὶ ἀπὸ τȣ ἡγούμενος γίνεται. Καὶ, Τῶν εἰς ος, ἐπεὶ ταῦτα διαιροῦνται. καὶ τινὰ μὲν αὐτῶν διὰ διφθόγγȣ γράφεται. τινὰ δὲ διὰ τȣ ι. καὶ διὰ διφθόγγȣ μὲν ταῦτα. Μοιχὸς, μοιχεύω, μοιχεία. Δȣλος, δουλεύω, δουλεία. αἰδουλία δὲ, ι. Πόρνος, πορνεύω, πορνεία. κομψὸς, κομψεύω, καὶ κομψεύομαι, κομψεία. Πόρος, πορεύομαι, πορεία. ἀπορία, ι. ἐπεὶ ȣκ ἔχει ῥῆμα διὰ τȣ ευω. Λίχνος, ὁ λαίμαργος, λιχνεύομαι, λιχνεία, παρὰ τὸ λίαν χαίνειν. Λιμβὸς τὸ αὐτὸ, λιμβεύομαι,

μαι, λιμβεία, παρὰ τὸ λίαν βαίνειν. Χωλὸς, χωλεύω, χωλεία. Πτωχὸς, πτωχεύω, πτωχεία. φιλοπτωχία δὲ, ι. Ε῾φέσπερος, ἐφεσπερεύω, ἐφεσπερεία. Μέθοδος, μεθοδεύω, μεθοδεία. Οἰνοχόος, οἰνοχοεύω, οἰνοχοεία. Ε῎φηβος, ἐφηβεύω, ἐφηβεία. Μαστροπὸς, μαστροπεύω, μαστροπεία. Προαγωγὸς, προαγωγεύω, προαγωγεία. Πετλὸς πετλεύω, πετλεία. Παῖς, παιδὸς, παιδεύω, παιδεία, ἡ παίδευσις. παιδιὰ δὲ ὀξυτόνως, τὸ παίγνιον, ι. Λωβὸς, λωβεύω, λωβεία. Α῾γνὸς, ἁγνεύω, ἁγνεία. Εὔφορος, εὐφορεύω, εὐφορεία. εὐφορία δὲ ἡ εὐκαρπία, ι. Φόνος, φονεύω, φονεία, ἡ φόνευσις. φονία δὲ, χεὶρ, ἢ γνώμη, ἢ τοιοῦτόν τι, ι. Μάγος, μαγεύω, μαγεία. Ι῞ππος, ἱππεύω, ἱππεία. Πῶλος, πολεύω, τὸ πωλοδαμνῶ, πωλεία. Υ῞παλος, ὑπαλεύω, ὑπαλεία. Υ῾πατία δὲ ὄνομα κύριον, ι.

Διὰ δὲ τοῦ ι, ταῦτα. Πονηρὸς, πονηρεύομαι, πονηρία. Φιλάνθρωπος, φιλανθρωπεύομαι, φιλανθρωπία. Πρόεδρος, προεδρεύω, προεδρία. προσεδρεία δὲ, ἡ ἐπίμονος, καὶ διηνεκὴς ἀσχολία, διὰ διφθόγγου. Α῎σωτος, ἀσωτεύομαι, ἀσωτία. ἀσωτεῖα δὲ, οἶκοι ἐν οἷς αἱ ἀσωτίαι γίνονται, δίφθογγος. Ε῎μπορος, ἐμπορεύομαι, ἐμπορία. Παρθένος, παρθενεύω, παρθενία. παρθενεῖα δὲ, τὰ μοναστήρια, δίφθογγος. Σύμβουλος, συμβουλεύομαι, συμβουλία. καὶ ἕτερα.

ΚΑΙ῀ ΤΟΥ῀ ΧΡΥΣΟΡ῾Ρ῾Η΄ΜΟΝΟΣ Ι῾ΩΑ΄ΝΝΟΥ. Πόσα μέρη λόγου εἰσί; Τρία. Καὶ, σύνδεσμος. τοῦ, ἄρθρον. χρυσοῤῥήμονος Ι῾ωάννου, ὄνομα. Χρυσοῤῥήμονος, Η῾ εὐθεία ὁ χρυσοῤῥήμων, καὶ κλίνεται

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/73 gefördert von der Deutschen Forschungsgemeinschaft

ται τοῦ χρυσοῤῥήμονος. καὶ γίνεται ἀπὸ τοῦ χρυσὸς, καὶ τοῦ ῥῆμα. ἀποβάλλει δὲ τὸ σ, καὶ προσλαμβάνει ἕτερον ρ. πᾶσα γὰρ λέξις ἀπὸ τοῦ ρ ἀρχομένη, εἰ προσλάβοι ὄπιθεν αὐτῆς ἢ συλλαβὴν, ἢ λέξιν εἰς φωνῆεν λήγουσαν, διπλασιάζει τὸ ρ. οἷον ῥηγνύω, ἐῤῥήγνυον. ῥοῦς, κατάῤῥους. ῥῆμα, ἐπίῤῥημα. πλὴν τῆς ευ διφθόγγου. οἷον ῥοῦς, εὔρους. ἐπεὶ ἐκφώνησιν ἔχει αὕτη ἐν τῇ συνθέσει τοῦ β συμφώνου. προσλαμβάνεται δὲ τὸ ρ ἐν τοῖς φωνήεσι, διὰ τὸ ἀπόντος αὐτοῦ, χασμῳδίαν συμβαίνειν γίνεσθαι ἐν τῇ λέξει, μὴ δυναμένου τοῦ ἑνὸς ἐξ ἡμισείας ὄντος φωνήεντος, ἐῤῥωμένου ποιεῖν τὸν λόγον.

Τὸ χρυ, ψιλόν. Τίνα ἀπὸ τῆς χρυ συλλαβῆς ἀρχόμενα, διὰ τοῦ υ ψιλοῦ γράφεται, Ταῦτα. Χρυσὸς, ἡ οὐσία τοῦ χρυσοῦ. χρυσίον, τὰ ἐξ αὐτοῦ νομίσματα. χρυσοῦν σκεῦος. καὶ χρύσειον ἔκπωμα. ἢ τοιοῦτόν τι ἐκ χρυσοῦ κατεσκευασμένον. χρυσῆτις γῆ, ἡ ψῆγμα χρυσοῦ ἔχουσα. χρυσόγεως. χρυσόροφος οἶκος. χρυσόσημον ὕφασμα. χρυσορύκτης. χρύσοφρυς, ὄνομα ἰχθύος. χρυσαόριος, ὄνομα κύριον. χρυσοχοῶ, χρυσοχόος. χρυσοχοεῖον. καὶ παροιμία, Σὺ δὲ ᾤου χρυσοχοήσειν. ἀρξαμένη ἀπὸ Ἀθηνῶν. φήμης γὰρ Ἀθηναίοις γενομένης, ὡς ἐν τῷ ὑμηττῷ φανείη ψῆγμα χρυσοῦ, ἐξέθεον ἐπ' αὐτό. ἄπρακτοι δὲ ὑποστρέφοντες, ἔσκωπτον ἀλλήλους λέγοντες, Σὺ δὲ ᾤου χρυσοχοήσειν. Χρύσα, πόλις. χρύσης, ὄνομα κύριον. χρυσηΐς, ἡ τούτου θυγάτηρ. καὶ ἕτερα.

Διὰ δὲ τῆς οι διφθόγγου, ἡ χροιὰ μόνη.

ΙΩΑΝ-

Ι'ΩΑ'ΝΝΗΣ. Ε'βραϊκόν ἐστιν ὄνομα, καὶ ἑρμηνεύεται χάρις. γράφεται δὲ διὰ δύο νν, διὰ καλλιφωνίαν. καὶ κλίνεται ὡς ἑλληνικὸν διὰ τῆς ου διφθόγγου. τὰ γὰρ εἰς νης βαρύτονα, ἢ τῷ α παραληγόμενα, ἢ τῷ ω μεγάλῳ, εἰς ου ἔχει τὴν γενικήν. οἷον Ι'ορδάνης, ἰορδάνου. Ι'ωάννης, ἰωάννου. Τελώνης, τελώνου.

ΦΩ'ΤΙΣΟΝ. Κανόνισον. Φωτίζω. ὁ μέλλων Φωτίσω. ὁ ἀόριστος ἐφώτισα, ἐφώτισας, ἐφώτισε. καὶ τὸ προστακτικὸν, φώτισον. πόθεν γίνεται; παρὰ τὸ φῶς.

Τὸ Φω, μέγα. Τὰ ἀπὸ τῆς Φω συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ω μεγάλου γράφεται, τινὰ δὲ διὰ τοῦ ο μικροῦ. Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Φωκᾶς, Φωκίων, Φωκυλίδης, ὀνόματα κύρια. Φώκη, ζῶον θαλάττιον. Φωκὶς, ὄνομα τόπου, ἢ καὶ Φώκαια. ὁ ἀπὸ ταύτης, φωκεύς. Φώσσων, τὸ ἄρμενον. καὶ κλίνεται φώσσωνος. Φωριαμὸς, τὸ κιβώτιον. Φωλεὼς, ἡ κατάδυσις τῶν ἀγρίων ζώων. Φὼρ, ὁ κλέπτης. Φώριον, τὸ κλέμμα. Φωρῶ, τὸ κλέπτοντα καταλαμβάνω. ἀφ' οὗ τὸ, ἐπαυτοφώρῳ, ἤγουν ἐπ' αὐτῇ τῇ κλεψία. Φῶς. φωτίζω. Φώσκω, τὸ λάμπω. Φωσφόρος, ὁ ἥλιος. Φωσσάτον, ὁ στρατὸς. Φωτινὸς, ὄνομα κύριον. καὶ ὄνομα τόπου. Φωταύγεια. Φῶσαι, ἀντὶ λάμψαι. Φὼς, ὁ ἀνήρ. Φωνῶ, τὸ βοῶ, Φωνασκῶ ῥῆμα, τὸ τὴν φωνὴν ἐκπαιδεύομαι ἴσην ἔχειν. Φωνῆεν. Φῶκος, ὄνομα κύριον. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Φονὴ, ἡ φόνευσις. Φονῶ, τὸ φόνου ἐφίεμαι. Φόνος, τὸ ἔργον τῶν φονευόντων, καὶ τὸ ἀπὸ τοῦ φόνου αἷμα· καὶ ὁ τόπος, ἐν ᾧ οἱ φονευθέντες. Φονέυω. Φονεία, ἡ φόνευσις. Φόνιον αἷμα, καὶ ὄμμα. Φόβη, ἡ θρὶξ τῆς κεφαλῆς. Φορυτὸς, τὸ πλῆθος. Φορητὸς, ὁ ὑπομονητὸς. Φόρος, τὸ τέλος. Φορολόγος, ὁ τοὺς φόρους συνάγων. Φορῶ, τὸ ἐνδύομαι. Φορμὸς, πᾶν πλέγμα, εἴτε εἰς καλαθίσκον ἐστὶ κατεσκευασμένον, εἴτε εἰς ψιάθιον, εἴτε εἰς ἑτερόντι τοιοῦτον. Φορτίον. Φορβειὰ, ἣ δεσμοῦσι τὸν ἵππον ἐν τῇ φάτνῃ, ἣ ὅτε βόσκεται. ἀπὸ τῆς φορβῆς. ἤγουν τὸ κοινῶς καπίστριον. Φολὶς, ἡ λεπὶς τοῦ ἰχθύος. ἐξ οὗ φολιδωτὸς χιτὼν. Φόλις δὲ παροξυτόνως, ὁ ὀβολός. Φοξὸς, ὁ ὀξυκέφαλος. Φολκὸς, ὁ παραβλώψ. Φορβὴ, ἡ τροφή. ἐξ οὗ συφορβὸς, ὁ χοιροβοσκός. καὶ ἱπποφορβὸς, ὁ τοὺς ἵππους βόσκων. Φορὰ, ἡ κίνησις, καὶ ἡ εὐφορία. Φορύνω, τὸ μολύνω. Φόρμιγξ, εἶδος μουσικοῦ ὀργάνου. Φορμίζω, τὸ, τῇ φόρμιγγι χρῶμαι. Φορὸς ἄνεμος, ὁ ἐπιτήδειος. Φορβὰς, τὸ φοράδιον. Φοράδην ἐπίῤῥημα, ἀντὶ βασταχτικῶς. Φορίνη, τὸ δέρμα τοῦ χοίρου. παρ᾽ ἐνίοις δὲ, καὶ τὸ τοῦ ἀνθρώπου. καὶ ἕτερα.

Τὸ τι, ι. Τίνα διὰ τοῦ ιζω ῥήματα, ἐνεργητικῶς ἐκφερόμενα καὶ παθητικῶς, διὰ τοῦ ι γράφεται; Ταῦτα. Ἀγωνίζομαι. Βαδίζω. Δογματίζω. Ἐρίζω, τὸ φιλονεικῶ. Λογίζομαι. παραλογίζομαι τινὰ, ἀντὶ ἀπατῶ· σοφίζω τινὰ, ἀντὶ σοφὸν ποιῶ. καὶ σοφίζομαι ὑπότινος, ἀντὶ σοφὸς γίνομαι. σοφίζομαι δὲ, ἐπὶ ἐνεργητικῆς σημασίας, τὸ παραλογίζομαι, καὶ τὸ σοφιστικῶς λέγω, καὶ τὸ ἐφευρίσκω,

ρίσκω, καὶ μηχανῶμαι. Θερίζω, καὶ ἐνθερίζω, τὸ θέρους ποῦ διάγω, ἤγουν ἐν τῇ ὥρᾳ τοῦ θέρους· ἀμεταβάτως. καὶ θερίζω τὸ λήϊον, μεταβατικῶς. Ε'νεαρίζω, τὸ ἤρους που διάγω. Υ'βρίζω, τὸ ἀτιμόνῃ ποιῶ εἴς τινα. Λακτίζω. Α'παρτίζω. Συντείζω. Ε'λληνίζω, τὸ, ἑλληνικῶς φθέγγομαι, καὶ τὸ, τὰ τῶν ἑλλήνων φρονῶ. Στίζω, τὸ κεντῶ. Ω'ραΐζω, τὸ καλλωπίζω. Συρίζω, τὸ κατὰ σύρους λέγω, ἢ φρονῶ. Ληΐζομαι, τὸ λαφυραγωγῶ. Κακίζω, τὸ ψέγω. Κεραΐζω, τὸ φθείρω. Κνίζω, τὸ ἐρωτικῶς λυπῶ. Κωδωνίζω, καὶ διακωδωνίζω, τὸ δοκιμάζω. Περιαγκωνίζω, τὸ εἰς τοὐπίσω δεσμῶ τὰς χεῖρας. Ξενίζω, τὸ εἰς ξενίαν δέχομαι. Ο'βελίζω, τὸ διαγράφω. Ο'ιωνίζομαι, τὸ δι' οἰωνῶν μαντεύομαι. καὶ τὸ ἁπλῶς σοχάζομαι. Α'κκίζομαι, τὸ θρύπτομαι. καὶ ἕτερα.

Τίνα διὰ τȣ̃ η; Τὸ χρήζω μόνον. ὃ γίνεται ἀπὸ τȣ̃ χρέος. ὃ ποιητικῶς λέγεται χρεῖος. καὶ κατὰ παραγωγὴν καὶ διάλυσιν, καὶ τροπὴν τȣ̃ ε εἰς η χρηΐζω, καὶ χρήζω προσγραφομένȣ τȣ̃ ι.

Τίνα διὰ τῆς ε καὶ ι διφθόγγȣ; Τὸ δανείζω μόνον.

Τὸ τι, μακρόν ἐςιν, ἢ βραχύ; Μακρὸν θέσει, ὑπὸ τȣ̃ διπλοῦ ζ ἐκτεινόμενον, φύσει δὲ βραχύ. Καὶ πάντα δὲ τὰ εἰς ζω διχρόνῳ παραληγόμενα, βραχὺ αὐτὸ φύσει ἔχουσι.

ΤΟ'Υ ΝΕ'ΟΥ. Η' εὐθεῖα ὁ νέος.

Τὸ νε, ψιλόν. Τίνα ἀπὸ τῆς νε συλλαβῆς ἀρχόμενα διὰ τȣ̃ εψιλοῦ γράφεται; Ταῦτα. Νέος. Νεανίς. Νεανίας. Νεανεία δὲ, ἡ ἐξ ἐπάρσεως μωρία, δίφθογγος. Νέομαι, τὸ πορεύομαι. Νεολαία, τὸ ἄθροισμα τῶν νέων. Νέηλυς, ὁ νεωστὶ ἐλθών. Νεωστί. Νέωτα. καὶ εἰς νέωτα, ἀντὶ εἰς τὸ ἐπιὸν ἔτος. ἀπὸ τούτου δὲ λαμβάνεται καὶ ἀντὶ εἰς ἄυριον. καὶ ἁπλῶς, εἰς τὸ ἑξῆς. Νέω, τὸ κολυμβῶ. Νεβρὸς, τὸ τῆς ἐλάφου γέννημα. Νεφρός. Νέστωρ, ὄνομα κύριον. Νεκρὸς, Νέκυς, τὸ αὐτό. Νέφος. Νεφέλη. Νεφθαλείμ. Νέμω, τὸ βόσκω, καὶ τὸ δίδωμι. καὶ νέμεται τὴν ὕλην τὸ πῦρ. Νεογιλὰς, ὁ νέος. Νέκταρ, τὸ τῶν θεῶν πόμα. Νεοσσὸς, καὶ νεόττιον, τὸ πωλίον. Νεομηνία, ἡ ἀρχὴ τȣ̃ μηνός. ἥτις ἀττικῶς νουμηνία λέγεται. Νέπους, ὁ ἰχθὺς. Νεὼς, ὁ ναός. Νεωκόρος, ὁ τὸν ναὸν κοσμῶν. κορεῖν γὰρ, τὸ καλλωπίζειν. Νεώριον, καὶ νεώσοικος ὁ λιμὴν, ἤγȣν ὁ τόπος, εἰς ὃν ἀνέλκονται αἱ νῆες, καὶ πάλιν ἐξ αὐτȣ̃ καθέλκονται. Νεαλὴς, ὁ νεωστὶ ἑαλωκώς. ἀπὸ μεταφορᾶς τῶν ἰχθύων. Νεήλατα παρὰ Δημοσθένει ἐλλειπτικῶς, ἀντὶ νεήλατα ἄλφιτα. ἤγουν νεωστὶ, ἐληλεσμένα. Νεωτερίζω. Νεωτερισμός. Νεάτη, ἡ ἐσχάτη ἀττικῶς. καὶ νέατον, τὸ ἔσχατον. Νέμεσις, ἡ δίκη. ἣ καὶ Ἀδράστεια λέγεται, ἀπὸ Ἀδράστου τινὸς βασιλέως ἱδρυσαμένȣ ἱερὸν Νεμέσεως. ὃ προσηγορεύθη ὕστερον ἀδραστείας. νεμεσῶ, τὸ μέμφομαι. νεμέσεια, ἑορτὴ Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. Νεῶ, τὸ τὴν γῆν ἐργάζομαι. ἀφ' οὗ νέομαι. Νέρων, ὄνομα κύριον.

Τίνα διὰ τῆς αι διφθόγγε; Ταῦτα. Ναὶ, ἐπίῤῥημα συγκαταθέσεως. ὃ καὶ ναίχι λέγεται. καὶ Ναίω, τὸ οἰκῶ.

ΤΟ'Υ ΝΥ'Ν Α'ΡΞΑΜΕ'ΝΟΥ ΤΟ'Υ ΣΧΕΔΟΓΡΑΦΕΙ'Ν. Πόσα μέρη λόγου εἰσί; Τέσσαρα. Του, ἄρθρον. νῦν, ἐπίῤῥημα. ἀρξαμένου, μετοχή. σχεδογραφεῖν, ῥῆμα.

Ἰστέον ὅτι τὸ νῦν, πολύσημόν ἐστι. λαμβάνεται γὰρ ἐνίοτε μὲν ὡς τμῆμα χρόνου. ὡς στιγμὴ γραμμῆς, ὅτε ὔτε χρόνον, οὔτε καιρὸν δηλοῖ. ἐνίοτε δὲ ἀντὶ ποτὲ κεῖται. ὡς ἐν τῷ, Νῦν μὲν βασιλεῖς σύνετε. ἔστιν ὅτε καὶ πλατὺν δηλοῖ χρόνον. ὡς εἴτις εἴποι, νῦν φορὰν εἶναι λογίων· ἤγουν κατὰ τούτους τοὺς χρόνους. Λαμβάνεται καὶ ἐπὶ παρεληλυθότος χρόνου, καὶ ἐνεστῶτος, καὶ μέλλοντος. Ἐπὶ παρεληλυθότος, ὡς ἐν
„ τῷ, Νῦν μὲν Μενέλαος ἐνίκησε σὺν Ἀθήνῃ. ἐπὶ
„ ἐνεστῶτος, ὡς ἐν τῷ, Νῦν μὲν πειρᾶται, τάχα δ'
„ ἴψεται λαὸν Ἀχαιῶν. Ἐπὶ μέλλοντος, ὡς ἐν τῷ,
„ Νῦν αὐτ' ἔγχεϊ πειρήσομαι, αἴκε τύχοιμι. ἔχει δὲ μακρὸν τὸ δίχρονον, καὶ περισπᾶται. ἐνίοτε δὲ προσλαμβάνει τὸ ι, καὶ ὀξύνεται, ὡς ἐν τῷ οὑτοσί. καὶ τὰ παραπλήσια. Ἔστι καὶ νῦν σύνδεσμος παραπληρωματικὸς, βραχὺ τὸ δίχρονον ἔχων ἀεὶ, καὶ ἐγκλινό-
„ μενος. ὡς ἐν τῷ, Σίγα νυν ἑτῶς, καὶ μέν' ὡς κυρεῖς ἔχων.

Τὸ νῦν, ψιλόν. Τίνα ἀπὸ τῆς νυ συλλαβῆς ἀρχόμενα, διὰ τȣ̃ υ ψιλοῦ γράφεται; Ταῦτα. Νὺξ, νυκτῶν μέσων, ἀττικῶς ἀντὶ νυκτὸς μέσης. νυκτι-

 τι-

τικόραξ. νυκτερίς. Νύσσω, τὸ τιτρώσκω. Νῦν, ἐπίῤῥημα. Νυὸς, ἡ νύμφη. Νυμφίος, ὁ γαμβρός. Νυμφὼν, ὁ παςός. Νυμφοςόλος, ὁ νυμφίον κοσμῶν. Νύκτωρ, ἐπίῤῥημα, κατὰ τὴν νύκτα. Νὺ, ἀντὶ δή. ὃ καὶ νυν λέγεται. ἀφ' οὗ τὸ τοίνυν. Νυμφεύτρια, ἡ παράνυμφος. Νυκτιπόλος, ὁ ἐν τῇ νυκτὶ ἀναςρεφόμενος. νυκτιλόχος, ὁ κατὰ τὴν νύκτα ἐνεδρεύων. Νύκτερος, ὁ νυκτερινός. Νυκτάλωψ, ἡ νυκτερίς. ἀπὸ τοῦ ἐν τῇ νυκτὶ ἀλᾶσθαι. ἤγουν πλανᾶσθαι. Νύμφαιον, ὄνομα πόλεως. Νύσσα, ἔνθα κάμπτουσιν οἱ ἱππεῖς ἐν τῷ ἱπποδρόμῳ, καὶ ὄνομα πόλεως.

Τίνα διὰ τῆς ο καὶ ι. διφθόγγου; Νοῖν μόνον, τοῖν λογισμοῖν.

Α'ΡΞΑΜΕ'ΝΟΥ. Κανόνισον. Α῎ρχω, ὁ μέλλων ἄρξω. ὁ ἀόριςος ἦρξα. ὁ μέσος ἀόριςος πρῶτος ἠρξάμην. ἡ μετοχὴ, ὁ ἀρξάμενος. ἡ γενικὴ, τοῦ ἀρξαμένου.

Ι'ςέον ὅτι τὸ ἄρχω, ἐνίοτε μὲν δηλοῖ τὸ προηγοῦμαι. ὡς ἐν τῷ, Α῎ρχε, σὺ γὰρ νεώτερος ἐσσί. Ε'νίοτε δὲ τὸ ἐξουσιάζω. ἄρχομαι δὲ παθητικῶς, τὸ ἀρχὴν ποιοῦμαι, καὶ τὸ ἐξουσιάζομαι. καὶ τὸ ἀρχὴν λαμβάνω. Ε'πὶ τὸ αρ, ψιλὴν. Τὸ α πρὸ τοῦ ρ, ἐπιφερομένου δασέως, ψιλοῦται.

ΣΧΕΔΟΓΡΑΦΕ'ΙΝ. Κανόνισον. Σχεδογραφέω, σχεδογραφῶ. τὸ δεύτερον, σχεδογραφέεις, σχεδογραφεῖς. τὸ τρίτον, σχεδογραφέει, σχεδογραφεῖ. καὶ τὸ ἀπαρέμφατον, σχεδογραφεῖν. Πόθεν γίνεται; ἀπὸ τοῦ σχέδος, καὶ τοῦ γράφω.

Τὸ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/80 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Τὸ χε, ψιλόν. Τὰ ἀπὸ τῆς χε συλλαβῆς ἀρχόμενα, ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον Σχέδος. καὶ χέσις. χεδία, εἶδος νεώς. ἀπὸ τούτου καταχρηστικῶς λέγεται καὶ ἐπὶ πάσης νεώς. Σχέδιον, τὸ μὴ μετὰ σκέψεως γινόμενον. χεδιάζω, τὸ χέδια λέγω. ἤγουν τὸ ἐξ ἑτοίμου λέγω. ἢ τὸ ψεύδομαι. καὶ καταχεδιάζω, τὸ καταψεύδομαι. Σχὲς ποιητικῶς, ἀντὶ ἐπίχες.

ΚΑΙ῍ ΤΗ῍Ν ΚΑΤΑΡΧΗ῍Ν ΕΥ῍ΛΟ΄ΓΗΣΟΝ ΤΟΥ῀ ΣΧΕ΄ΔΟΥΣ. Πόσα μέρη λόγου εἰσίν; Τέσσαρα. Καὶ, σύνδεσμος. τὴν, τοῦ, ἄρθρον. καταρχὴν χέδους, ὄνομα. εὐλόγησον, ῥῆμα.

ΚΑΤΑΡΧΗ῍Ν. Ἡ εὐθεῖα, ἡ καταρχή. Πόθεν γίνεται; Ἀπὸ τῆς κατὰ προθέσεως, καὶ τοῦ ἀρχή.

ΚΑΙ῍. Πόσα μέρη λόγου εἰσίν; Ἕν. αἱ γὰρ προθέσεις μετὰ τῶν ἁπλῶτων, ἤτοι τῶν ῥημάτων, καὶ τῶν εὐθειῶν τῶν ὀνομάτων, ἐν συνθέσει εἰσί. μετὰ δὲ τῶν πλαγίων, ἐν παραθέσει.

ΕΥ῍ΛΟ΄ΓΗΣΟΝ. Κανόνισον. Εὐλογέω, εὐλογῶ. ὁ μέλλων εὐλογήσω. ὁ Ἀόριστος, εὐλόγησα, εὐλόγησας, εὐλόγησε. καὶ τὸ προστακτικὸν, εὐλόγησον.

Πόθεν γίνεται; Ἀπὸ τοῦ ευ μορίου, καὶ τοῦ λέγω. Ἰστέον ὅτι τὸ λέγω. τὸ φέρω. καὶ ὅσα δισύλλαβα βαρύτονα. διὰ τοῦ ε ψιλοῦ ἐκφέρονται, ἐὰν προσλάβωσί τι, καὶ σύνθετα γένωνται, τρέπουσι τὸ ε εἰς ο, καὶ περισπώμενα γίνονται. οἷον Εὐλογῶ. ἀλογῶ,

τὸ καταφρονῶ. εὐφορῶ. εὐροῶ. ὅτι τὸ φορῶ καὶ χωρὶς προσθήκης τινὸς περισπώμενον γίνεται, ὡς τὸ Εὐφόρως φορέουσιν.

Τὸ λο, μικρόν. Τίνα ἀπὸ τῆς λο συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ο μικροῦ γράφεται; Ταῦτα. Λόγος, ὁ ἐνδιάθετος· καθ' ὃν λογικοὶ λεγόμεθα. λόγος καὶ ὁ προφορικός. ὃς ἐνίοτε μὲν καθολικῶς λέγεται ἐνίοτε δὲ μερικῶς. λόγος καὶ τὸ λογικὸν μέρος τῆς ψυχῆς. λόγος καὶ ἡ αἰτία. λόγος καὶ ἡ φροντίς. οἷον Οὐδένα σου λόγον ποιοῦμαι. λόγος καὶ ἡ ἀναλογία. οἷον Ὁ τέσσαρα ἀριθμὸς, πρὸς τὸν τρία, τὸν ἐπίτριτον ἔχει λόγον. λόγος, καὶ ἡ ἀπολογία. οἷον Ἔδωκε περὶ τούτου λόγον. λόγος καὶ ὁ ὅρος. οἷον Ἀπόδος τὸν τοῦ ζώου λόγον. λόγος καὶ τὸ εὔλογον. οἷον Οὐκ ἔξω λόγου τόδε ἐποίησεν. ἀντὶ οὐκ ἔξω τοῦ εὐλόγου. λόγος ἰδίως, καὶ κατ' ἐξαίρετον, καὶ ὁ τοῦ θεοῦ υἱός. Λογισμός. λογίζομαι, τὸ διανοοῦμαι, καὶ τὸ λογαριάζω. ἀφ' οὗ λογισμὸς, ὁ λογαριασμός. καὶ λογιστὴς, ὁ λογαριαστής. λόγιος, ὃς ποιητικῶς ἐπήτης λέγεται. παρὰ τὸ ἔπος. δηλοῖ δὲ τὸν πεπαιδευμένον, καὶ ἄριστον ἐν λόγοις, καὶ τῷ λόγῳ χρῆσθαι δυνάμενον τῷ τε προφορικῷ, καὶ τῷ ἐνδιαθέτῳ. λογεῖον, τὸ διδασκαλεῖον. Λογάς. Λοπὰς, ἡ χύτρα. Λογγῖνος, ὄνομα κύριον. Λόγχη, τὸ κοντάριον. Λόγχμη, ὁ σύνδενδρος τόπος. Λοχῶ, τὸ ἐνεδρεύω. λόχος, ἡ τάξις. ἀφ' οὗ λοχαγὸς, ὁ ταξίαρχος. λόχος, σύστημα ἀνδρῶν εἰκοσιτεσσάρων. καὶ ὁ τεύτων ἄρχων, λοχαγός. λόχος, καὶ τὸ κοινῶς ἔγκρυμμα. Λόφος, πᾶν τὸ ἀνεστηκὸς, καὶ ἐξέχον. Λοξός. Λοξίας, ὁ ἀπόλλων. Λοκρός. Λοβὸς, τὸ ἄκρον τοῦ ἥπατος, καὶ τοῦ ὠτός. Λοχεία,

χεία, ἐπὶ γυναικὸς ὅτε τέξεται, καὶ ἐν λέχει κεῖται. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Λώβη, ἡ „ ὕβρις. ὡς παρ' Ὁμήρῳ. Λώβην ἣν οἵδ' ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται. λωβῶμαι, τὸ ὑβρίζω. λωβητὴς, ὁ ὑβριστής. λωβητὸς, ὁ ὑβρισμένος. καὶ ἀπελωβήθη παρὰ Σοφοκλεῖ, ἀντὶ ἐφύβρισται ἔπαθε. λώβη, καὶ ἡ φθορὰ, καὶ ἡ βλάβη. Λωφᾷν, κυρίως ἐπὶ τῶν ὑποζυγίων, ὅταν ἐν τῇ ὁδῷ, ἀπαγορεύσαντα πέσωσιν ἀσθμαίνοντα. ἀπὸ τούτου καὶ ἐπ' ἀνθρώπων, ὅταν ἀπαγορεύσαντες παύσωνται ἐνεργείας τινός. Λῶπος, τὸ ἱμάτιον. καὶ λώπη, καὶ λώπιον. ἀφ' οὗ λωποδύτης, ὁ περιδύων τινὰ τὰ ἱμάτια. ἤγουν ὁ τῶν ἱματίων κλέπτης. Λῶρος. Λωτὸς, ὁ κάλαμος. καὶ λωτὸν, κοινῶς κουφόξυλον. οὗ τὸ ἄνθος εὐῶδές ἐστι καὶ ἐρσῆεν καθ' Ὅμηρον, καὶ εἰς τροφὴν χρήσιμον τοῖς ζώοις, καὶ καταπίπτον εἰς γῆν, τέρψιν ἱκανὴν παρέχει, εἴτις ἐπ' αὐτῷ βούλεται κεῖσθαι. ἀπὸ τούτου γίνονται αὐλοὶ, ὥσπερ ἀπὸ καλάμων, οὓς καλοῦσι λωτίνους. Λῷον, τὸ βέλτιον. λῷστος, ὁ βέλτιστος. Λὼτ, ὄνομα κύριον. Λωτοφάγοι, ἔθνος. Λῶ, τὸ θέλω. Λῶμα, τὸ ἐπ' ἄκρου τινὸς ἐκτεταμένον, καὶ οἱονεὶ ὁρίζον αὐτὸ, ὡς τὸ κοινῶς λεγόμενον μαργέλλιον. ἢ τοιοῦτόν τι. καὶ ἕτερα.

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. ἀλλὰ τριήμερος ἀνέστης κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ὁ ΕΥ̓ΣΧΗ'ΜΩΝ Ἰ'ΩΣΗ'Φ. Πόσα μέρη λόγου εἰσίν; Δύο. ὁ, ἄρθρον. εὐσχήμων Ἰωσὴφ, ὄνομα.

ΕΥ̓ΣΧΗ'ΜΩΝ. Πόθεν γίνεται; Ἀπὸ τοῦ εὔσχημος. τὸ δὲ εὔσχημος, ἀπὸ τοῦ εὖ μορίου, καὶ τοῦ σχῆμα.

Τὸ σχη, η. Τίνα διὰ τοῦ ιμος διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η. καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι ταῦτα. Ὄψιμος. Πρώϊμος. Ὥριμος καρπὸς, ὁ ἔγκαιρος. Θανάσιμος. καὶ θανάσιμον φάρμακον, τὸ θάνατον ἐμποιοῦν. Ὠφέλιμος, ὁ ὠφέλειαν ἐμποιῶν. Τρόφιμος, ὁ τρεφόμενος ὑπό τινος. Φρόνιμος. Ἄνθιμος. Δόκιμος. Πένθιμος. Νόμιμος. Ἀγώγιμος. Ἰάσιμος, ὁ δύναμιν ἔχων ἰαθῆναι. Ἀοίδιμος, ὁ ἀεὶ ᾀδόμενος. καὶ ἕτερα.

Ἰστέον ὅτι τούτων τὰ μὲν εἰσὶ ἐνεργητικά. οἷον Θανάσιμος, ὁ θάνατον ἐμποιῶν. ὡς παρὰ Σοφοκλεῖ

„ἐπὶ

„ ἐπὶ παθητικῆς τάττεται σημασίας. ὡς ἐν τῷ, Καθεῖλεν ᾅδου θανασίμους οἰκήτορας. ἀντὶ θνητούς, Τὰ δὲ παθητικά. οἷον Τρόφιμος. Τὰ δὲ ὔτε ἐνεργητικὰ, οὔτε παθητικά. οἷον Φρόνιμος. καὶ ἔτι τὰ μὲν αὐτῶν εἰσὶ δυνάμει. οἷον Ἰάσιμος. τὰ δὲ ἐνεργείᾳ, οἷον Ἀοίδιμος.

Διὰ δὲ τοῦ η, ὅσα παρὰ τὸ σχῆμα, καὶ κτῆμα, καὶ σῆμα, καὶ δῆμος, καὶ φήμη γίνονται. Παρὰ τὸ σχῆμα, οἷον Πολυσχήμων. εὐσχήμων. ἀσχήμων. μεγαλοσχήμων. κακοσχήμων. Παρὰ τὸ κτῆμα, οἷον πολυκτήμων. ἀκτήμων, ἐυκτήμων. Παρὰ τὸ σῆμα, οἷον Ἄσημος. καὶ ἄσημον ἀργύριον, τὸ μὴ κεχαραγμένον. ἐπίσημος. ἀρίσημος, τὸ αὐτὸ ποιητικῶς. καὶ παράσημος. καὶ ἕτερα.

Παρὰ τὸ δῆμος, οἷον Πάνδημος. ἀπόδημος. συνέκδημος. παρεπίδημος. ἐπίδημος. Παρὰ τὸ φήμη, οἷον Ἀπόφημος. βλάσφημος. κακόφημος. δύσφημος. ἔυφημος. πολύφημος. καὶ ἕτερα. ἔυφιμος δὲ ἵππος, ὁ ἐυχαλίνωτος. καὶ δύσφιμος, ὁ δυσχαλίνωτος, ι.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγυ, ὅσα παρὰ τὸ εἶμα, τὸ ἱμάτιον. οἷον Λευχείμων. μελανείμων. μονείμων.

ἸΩΣΗ͂Φ. Ἐθνικόν ἐστι, καὶ παραγωγὴν οὐκ ἔχει.

Τὸ ω, μέγα, καὶ τὸ σηφ, η, κατὰ παράδοσιν. Ἰστέον ὅτι τέσσαρές εἰσι κανόνες τῆς ὀρθογραφίας,

Ἀνα-

Ἀναλογία, διάλεκτος, ἐτυμολογία, καὶ ἱστορία. Καὶ ἀναλογία μὲν ἐστιν, ὅταν τῷ ὁμοίῳ τὸ ὅμοιον παραθῶμεν, καὶ ὅταν κανόνα ἀποδῶμεν. Διάλεκτος, ὅταν τὸ ὄφεως διὰ τοῦ ω μεγάλου γράφων, εἴπω οὕτω παρὰ τῇ συνηθείᾳ τῶν ἀττικῶν γράφεσθαι. Ἐτυμολογία, ὅταν τὸ ἤπειρος διὰ τοῦ η, καὶ τῆς ει διφθόγγου γράφων, εἴπω ἄπειρος τις οὖσα, καὶ τροπῇ τοῦ α εἰς η, καὶ πλεονασμῷ τοῦ ι, ἤπειρος. Ἱστορία δὲ, ὅταν τὰ χίλια διὰ τοῦ ι γράφων εἴπω, οὕτως αὐτὸ γράφεσθαι βούλεται ἡ παράδοσις. ὅτι τὰ ἑβραϊκὰ, καὶ τὰ ἐθνικὰ ὀνόματα παραγωγὰς οὐκ ἔχουσιν, ἀλλὰ κατὰ παράδοσιν γράφονται.

ἈΠΟ' ΤΟΥ͂ ΞΥ'ΛΟΥ. Πόσα μέρη λόγου εἰσί; Τρία. Ἀπὸ, πρόθεσις. τοῦ, ἄρθρον. ξύλου, ὄνομα.

ΞΥ'ΛΟΥ. Τὸ ξυ, ψιλόν. ἀπὸ τοῦ ξύω. Τίνα διὰ τοῦ υω ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς, διὰ τοῦ υ ψιλοῦ γράφεται; Ταῦτα. Ξύω. Θύω, τὸ σφάζω καὶ θυσίαν ποιῶ. καὶ τὸ σφόδρα, καὶ δίκην „ μαινομένου ὁρμῶ. ὃ καὶ θύνω λέγεται. ὡς ἐν τῷ, „ Θῦνε διὰ προμάχων. Λύω. Ῥύομαι. μηνύω. Ὕω, τὸ βρέχω. Μεθύω. Ὀλλύω, τὸ φθείρω. Ἀρύομαι, τὸ ἀντλῶ. Δακρύω. Καττύω, τὸ ὑπόδημα ῥάπτω, ἢ τοιοῦτόν τι. Ἀπύω, τὸ φωνῶ. Ἀλύω, ὅταν ἐν χρείᾳ τινὶ γενόμενος ἀπορῶ. Πτύω. Βύω, τὸ ἀσφαλίζω. Κλύω, τὸ ἀκούω. Ὠρύομαι, ὃ λέγεται ἐπὶ λύκων, καὶ λεόντων. Κωκύω, τὸ θρηνῶ. Ἐρύω, τὸ ἑλκύω. καὶ ἕτερα.

Τίνα διὰ τῆς ο καὶ ι διφθόγγε; Ταῦτα. Οἴω, τὸ ὑπολαμβάνω ποιητικῶς. ὃ παθητικῶς ἀεὶ γράφεται παρὰ τοῖς κοινοῖς. οἴω, τὸ κομίζω, ἄχρηςον ἐν τῷ ἐνεςῶτι καὶ τοῖς ἄλλοις χρόνοις, πλὴν τοῦ μέλλοντος. καὶ περισπωμένως οἰῶ, τὸ μονῶ. ἐξ οὗ οἶος ὁ μόνος. Α'λοιῶ, τὸ τύπτω. ἐξ ὃ πατραλοίας, ὁ τὸν πατέρα τύπτων· καὶ μητραλοίας, ὁ τὴν μητέρα τύπτων. ἀλλοίω, τὸ μεταποιῶ. καὶ ἕτερα.

Τὸ ξυ, βραχύ. τὰ γὰρ διὰ τῦ υλον οὐδέτερα μονογνῆ, ἐκτείνουσι τὸ υ. οἷον σκῦλον. φῦλλον. πλὴν τῦ ξύλον.

ΚΑΘΕΛΩ'Ν. Ποίου μέρους λόγου ἐςί; Μετοχῆς. Κανόνισον. Ε'λω, τὸ λαμβάνω, ἄχρηςον. ὁ μέλλων ἑλῶ. ὁ δεύτερος Α'όριςος εἷλον. ὃ δηλοῖ τὸ κατέλαβον. ὡς ἐν τῷ, Ζωὸν ἕλον. καὶ τὸ ἀνεῖλον ποιητικῶς. ἡ μετοχὴ, ὁ ἑλών. καὶ μετὰ τῆς κατὰ προθέσεως, καὶ κατὰ συγκοπὴν, καὶ τροπῇ τῦ ψιλοῦ εἰς δασὺ, καθελών.

Τὸ ε, ψιλόν. Τὰ ἀπὸ τοῦ ε ἀρχόμενα, ἔχοντα μετ' αὐτοῦ τὸ λ, ἢ ἐπαγόμενον, ὡς ἐπιτοπλεῖςον μὲν διὰ τῦ ε ψιλοῦ γράφεται. ἐνίοτε δὲ καὶ διὰ τῆς αι διφθόγγε.

Τίνα διὰ τῦ ε ψιλοῦ; Ταῦτα. Ε'λαία, εἶδος φυτοῦ. Ε'λάα ὁ καρπὸς αὐτῦ. ἔλαιον, τὸ ἀπὸ τῶν ἐλαῶν ἐκπιεζόμενον. Ε'λεοὺς, πόλις ἐν χεῤῥονήσῳ. Ε'λῶ, τὸ ἐλάυνω. ἀφ' ὃ ἀπελάτης, ὁ μετὰ ξίφους ἀπελάυνων ἀγέλης ζῶα. Ε'λάτεια, πόλις μεγίςη

τῶν ἐν Φωκεῦσιν. Ἑλόμενοι, ἀντὶ προκρίναντες παρὰ τοῖς παλαιοῖς οἱ πρᾳότατοι, κατ' ἐναντιότητα τοῦ βαρύτατοι, οἱ φορτικώτατοι. Ἑλεοκόποι, οἱ τὰ ἕλη κόπτοντες, τοῦ ε παρεμβεβλημένου. ὡς ἐν τῷ, Ἑλεοθρέπτῳ σελίνῳ, παρ' Ὁμήρῳ. Ἐλεὸν τὸ μαγειρικὸν τραπέζιον. Ἔλεος, ἡ ἐλεημοσύνη. ἐλεεινός. ἐλεγεῖον, εἶδος μέτρου στίχων. Ἔλαφος, εἶδος ζώου. Ἔλεγχος. ἐλέγχω, τὸ κεκρυμμένον ἀτόπημά τινος εἰς φῶς ἄγω. καὶ ἁπλῶς τὸ ἀληθὲς φανερῶ. Ἕλξω ἀττικῶς, ἀντὶ ἑλκύσω. Ἕλενος, καὶ Ἑλένη, ὀνόματα κύρια. Ἑλικὼν, ὄνομα ὄρους. Ἕλωρ, τὸ ἕλκυσμα, καὶ σπάραγμα. Ἑλίσσω, τὸ συστρέφω. Ἑλλάς. Ἐλέφας, τὸ ζῶον. Ἕλλη, ὄνομα κύριον. ἀφ' οὗ ἑλλήσποντος. Ἐλιννύω, τὸ ἀναπαύομαι. Ἔλυμα, τὸ κάλυμμα. Ἑλλέβορον, εἶδος βοτάνης. Ἔλοψ, ὁ ἰχθύς. ἀπὸ τοῦ ἐλλείπεσθαι ὀπὸς, ἤγουν φωνῆς. Ἕλιξ, ὄνομα κύριον· καὶ τὸ κατὰ κύκλον στρεφόμενον, ὡς τὰ κοινῶς σουράκια, ἕλικες λέγονται. ἕλιξ, καὶ ἡ τῆς ἀμπέλου ψαλίς. Ἐλευθέριος, ἐπίθετον τοῦ Διός. Ἐλευσὶς, πόλις. ἀπὸ ἐλευσίνου τοῦ ἑρμοῦ. Ἐλευσίνια. Ἑλικτῆρες, ἐνωτίων εἶδος. Ἕλλην. ἑλλανοδίκης. ἑλληνοταμίαι, ἀρχή τις παρ' Ἀθηναίοις, οἳ διεχειρίζοντο τὰ χρήματα. Ἐλλίβια, κόσμος γυναικεῖος. Ἔλυτρον, ὁ τῶν καρπῶν φλοιός. καὶ τὸ κοινῶς λεγόμενον βλεθρόν. Ἐλωῒ, ὁ θεὸς παρ' ἑβραίοις. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Ἄιλινος, ὁ θρῆνος. Ἄιλουρος, ζῶον. Ἀιλιανός. καὶ Ἄιλιος, κύρια. ἀπὸ τοῦ ἄιλιος, αἰλία Ἱερουσαλήμ. καὶ ἕτερα.

ΤΟ ΑΧΡΑΝΤΟΝ ΣΟΥ ΣΩΜΑ. Πόσα μέρη λόγου εἰσί; Τρία. Τὸ, ἄρθρον. ἄχραντον σῶμα, ὄνομα. σοῦ, ἀντωνυμία.

ΑΧΡΑΝΤΟΝ. Ποίας ἐςὶν ἐνταῦθα πλώσεως; Αἰτιατικῆς τῶν ἑνικῶν. Ἡ εὐθεῖα, τὸ ἄχραντον. Πόθεν γίνεται; Ἀπὸ τοῦ α ςερητικοῦ μορίου, καὶ τοῦ χραίνω, τὸ μολύνω.

ΣΩΜΑ. Καὶ τοῦτο πλώσεως αἰτιατικῆς τῶν ἑνικῶν. λέγεται δὲ σῶμα, διὰ τὸ σῆμα εἶναι τῆς ψυχῆς. ἤγουν τάφον. ἢ διότι τούτῳ σημαίνει ἡ ψυχὴ, ἃ ἂν σημαίνῃ.

Τὸ σω, μέγα. Τὰ ἀπὸ τῆς σω συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου. Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Σοφὸς, σοφία. σοφίζω. σοφίζομαι. σοφιςὴς, ὁ ῥήτωρ, καὶ ὁ φιλόσοφος, καὶ ὁ διδάσκαλος, καὶ ὁ παραλογιζόμενος, καὶ ὁ ἐφευρετής. ὡς ἐν τῷ, ὦ Σοφιςὰ κακίας. Σοφοκλῆς, ὄνομα κύριον. Σολομὼν, Σολομωνίς. Σόλων οὗτος ἦν νομοθέτης ἐν Ἀθήναις, ἀπὸ τούτου σόλοι ἔθνος. ἀφ' ὧν τὸ σολοικίζειν, καὶ ὁ σολοικισμός. Σόλος, ὁ δίσκος. Σόδομα, τόπος. ὁ ἀπὸ τούτων, Σοδομήτης. Σοβαρὸς, ὁ ἐπηρμένος καὶ ἀλαζών. Σοβῶ, τὸ ταράσσω. Σοβὰς γυνὴ, ἡ μανική. Σορὸς, ὁ τάφος. ἀφ' οὗ ἐνσοριάζω, τὸ ἐνταφιάζω. Σόλυμα, τόπος. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Σωρὸς, πλῆθος ἀψύχων συνηθροισμένων εἰς ἕν. σωρεύω. Σωρεία,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/89 gefördert von der Deutschen Forschungsgemeinschaft

ἡ Σάρευσις. Σώφρων, Σῶος. ὁ ὁλόκληρος. ὃ παρὰ τοῖς ἀττικοῖς σῶς λέγεται. Σωλὴν, τὸ σωληνάριον. Σάζω, ἀφ' οὗ σωτὴρ, καὶ σωτηρία. Σωτήριχος, Σωσίπατρος, καὶ Σωσιφάνης, ὀνόματα κύρια. Σῶκος, ἐπίθετον τοῦ ἑρμοῦ. Σωσάννα. Σωκράτης. Σώςρατος. Σωμὰν, πόλις. ὁ ἀπὸ ταύτης, σωμανίτις. Σῶμα. σωμάτιον. Σώτειρα, ἡ σωσική. Σῶςρα, τὰ ἐπὶ σωτηρία τινὸς διδόμενα. σωφεὶρ, ὄνομα λίθου. Σωρηδὸν, ἀντὶ δίκην σωροῦ. καὶ ἕτερα.

ΣΙΝΔΟ΄ΝΙ. Πτώσεως δοτικῆς τῶν ἑνικῶν. Ἡ εὐθεῖα, ἡ σινδών. καὶ κλίνεται τῆς σινδόνος διὰ τοῦ ο μικροῦ. Σιδὼν δὲ σιδῶνος, ὄνομα πόλεως, διὰ τοῦ ω μεγάλου.

Τὸ σι, ι. Τίνα ἀπὸ τῆς σι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται; Ταῦτα. Σιγῶ. σιγή. Σιωπή. Σίγα, ἐπίῤῥημα, ἀντὶ σιωπηλῶς ἔσο. Σίνομαι, τὸ βλάπτω. ἀφ' οὗ σῖνος, τὸ βλάβος. Σίνηπι, ὁ καὶ νάπυ λέγεται. Σῖτος, ἀφ' οὗ σιτοπώλης, καὶ σιτώνης. Σινώπη, χώρα. Σίμων. Σιμωνίδης. ὄνομα πόλεως. Σικανοὶ, οἱ σικελοί. Σιδηρός. Σιὼν, ἡ Ἱερουσαλήμ. Σισάρα, κύριον. Σισύρα. ἡ γοῦνα. Σίδη, ἡ ῥόα, καὶ ὄνομα πόλεως. Σίμβλον, τὸ τῶν μελισσῶν οἴκημα. Σίκυα, οἱ νῦν ἰδίως πέπονες, καὶ τὰ κοινῶς τετράγκουρα, καὶ εἴτι τοιοῦτον. ἀφ' οὗ σικυήλατον. Σιαγὼν, τὸ ὀσυῦν, ἐν ᾧ οἱ ὀδόντες. Σιρὰχ, κύριον. Σίβυλλα, ἡ προφῆτις. Σινὰ, ὄνομα ὄρους. Σιγίλλιον, λατινικῶς, ἡ σφραγίς. Σίελος, τὸ κοινῶς σάλος ἀρσενικῶς. ὃ σίαλον λέγεται παρ' ἀττικοῖς οὐδετέρως τε καὶ διὰ τοῦ α. Σιγηλὸς, ὁ ἄφωνος, ἀττικῶς διὰ τοῦ

λ.

λ. παρὰ δὲ τοῖς ἄλλοις ἕλλησι, διὰ τοῦ ρ. Σιληνὸς, ὁ μωρός. Σιλαίνω, τὸ μωραίνω. Σιφλὸς, ὁ ἐπίψογος. Σίντις, ὁ βλαπτικός. Σιπύα, σιτηρὸν ἀγγεῖον. Σιρρὸς, ὁ λάκκος. Σιμὸς, ὁ τὴν ῥῖνα ἔχων συνιζηκυῖαν, καὶ μὴ ἐκκρεμαμένην. ἀπὸ τούτου Σιμηνὸς καὶ Σιμὸς, ὀνόματα κύρια. Σιτηρέσιον, τὸ διδόμενόν τισιν εἰς τροφήν. Σίγειον, πόλις τῆς Τρωάδος, οὐκ ἄποθεν τοῦ Ἰλίου. Σιτίζω τὸ παιδίον, ἀντὶ ψωμίζω. ἀφ᾽ οὗ τὸ ἐπισιτίζεσθαι, τὸ μετὰ τὸ φαγεῖν, λαβεῖν τι εἰς ἑτέραν τροφήν. Σιτοφύλακες, ἀρχή τι Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται, καὶ τὰ ἄλφιτα, καὶ οἱ ἄρτοι. καὶ ἕτερα.

Τίνα διὰ τοῦ η; Ταῦτα. Σηλώμ. Σημαίνω, τὸ σφραγίζω, καὶ δηλῶ. Σήμαντρον. Σῆμα, τὸ σημεῖον, καὶ τὸ μνῆμα. Σημαία, τὸ φλάμουρον, Σηλυβρία, πόλις. Σήθω, τὸ κοσκηνίζω. ἀφ᾽ οὗ σητάνιος ἄρτος, ὁ καθαρός. Σηπεδὼν, ἡ σῆψις. Σὴρ, ὁ σκώληξ, ὁ τὴν μετάξαν ἐργαζόμενος. ἀφ᾽ οὗ σηρικὰ ἱμάτια, τὰ μεταξωτά. Σηγὼρ, ὄνομα ὄρους. Σηὼν, βασιλεὺς τῶν Ἀμοῤῥαίων. Σήσαμον, καὶ σήσαμα πληθυντικῶς, καὶ ὁ καρπὸς καὶ ὁ τόπος, οὗ ἐπωλεῖτο. ἀφ᾽ οὗ σησαμοῦντες, εἶδος ἄρτων. Σὴθ, ὄνομα κύριον. Σηπία, ζῶον μικρὸν ἐν θαλάττῃ, μέλανος πλῆρες. Σῆραγξ, ἡ φάραγξ. καὶ κλίνεται σήραγγος. Σήκρετον, τὸ σέκρετον. Σηστὸς, πόλις Ἀβύδου. Σήπω, καὶ σηπόμεναι σάρκες. Σὴς, εἶδος σκώληκος. Σημειῶ, σημειώσω. Σημεῖα, αἱ σφραγῖδες. Σηράγγιον, χωρίον τι ἐν Πειραιεῖ. Σηκὸς, ἔνθα ἐγκλείουσιν οἱ νομεῖς τὰ νεογνὰ, ὅταν τὰς μητέρας ἀμέλγωσιν,

ἢ εἰς νομὴν ἐκπέμπωσι. Σηκὸς, καὶ τὸ τέμενος. καὶ ἕτερα.

Τίνα διὰ τῆς ε καὶ ι διφθόγγε; Ταῦτα. Σειρὰ, ἡ ἅλυσις. ἀφ' οὗ σειρομάςης. καὶ σειραῖος ἵππος, ὁ προσδεδεμένος. καὶ ἀνασειράζω τὸν ἵππον, ἀντὶ ἀναχαιτίζω. Σειρῆνες, μηχανήματα τινὰ κατὰ γῆς ἐμυθεύοντο οὕτως ὀνομαζόμενα, μέλος ἄῤῥητον ἀναπέμποντα. ἀφ' οὗ σειρήνεια μέλη. Σειλινὸς, ὁ γέρων. Σειληνὸς, ἐπίθετον τε Διονύσε καὶ τῶν ὀπαδῶν αὐτε. Σεισίχθων, ἐπίθετον τε Ποσειδῶνος. Σεισάχθεια, ἡ τοῦ βάρους ἀπόθεσις. λέγεται δὲ μᾶλλον ἡ πρᾶξις ἡ γεγονυῖα παρὰ Σόλωνος ἐν Ἀθήναις. Σείω, τὸ ταράσσω. Σεῖο, ἀντὶ σε. Σειςὸς, κόσμος γυναικεῖος ὁ σειόμενος. Σείριος, ὁ ἥλιος, καὶ ὁ ἐπὶ τε κυνὸς λαμπρότατος ἀςήρ. καὶ ἕτερα.

ΚΑΘΑΡΑ'. Ποίας κλίσεως; Δοτικῆς τῶν ἑνικῶν. Ἡ εὐθεῖα, ἡ καθαρά. γίνεται δὲ ἀπὸ τοῦ καθαίρω.

ΕἸΛΗ'ΣΑΣ. Κανόνισον. εἰλέω, εἰλῶ. ὁ μέλλων εἰλήσω. ὁ Ἀόριςος εἴλησα. ἡ μετοχὴ, ὁ εἰλήσας.

Πόθεν γίνεται; Ἀπὸ τοῦ εἴλη, ἡ θερμασία.

Τὸ ει, δίφθογγον ε καὶ ι. ἴλη, ἡ τάξις, ι καὶ η. εἴλη, ἡ θερμασία, δίφθογγον καὶ η. εἷλε δὲ, ἀντὶ συνέςρεφε, δίφθογγα τὰ δύο ε καὶ ι.

Ση-

Σημείωσαι καὶ οὕτως. Ἡλικία. Ἡλίβατος. Ἠλιτόμηνον. Ἤλυθα. Ἠλιοῦ. Ἠλίας. Ἥλιος. Ἤλεκτρον. Ἦλις, ἡ πόλις. ἠλεῖός τε. Ἠλέκτρα. Ἠλύσιον. καὶ Ἠλεὶ, ὁ ἱερεὺς Ἠλακάτη. Ἠλάριον. Ἡλιόδωρος. Ἠλιὰς, ἡ τοῦ Ἡλίου θυγάτηρ. Ἠλεὸς, ὁ ἄστατος, καὶ ἀβέβαιος, ἀπὸ τοῦ ἄλη, ἡ πλάνη. Ἠλύγη, νὺξ, η γράφεται.

Ἶλος, ὄνομα κύριον. Ἴλιον, πόλις. Ἴλιγγος. Ἱλιεύς. Ἰλίεια. καὶ Ἱλάριος καὶ Ἱλαρίων, τὰ κύρια. Ἰλὺς, καὶ ἰλλέστριος. Ἰλιάς τε ἡ πληθύς. Ἰλαδὸν, τὸ ἐπίῤῥημα. Ἴλη, ἡ τάξις τε, καὶ ὁ Ἴλεως ἅμα. Ἴλλος, ὄμμα. Ἰλεὸς, ὁ φωλεός τε· καὶ Ἰλισσός. ἰωτίζονται.

Εἰληνία, πόλις. Εἰλέσιον, τόπος. Εἰλαπίνη. Εἰλίσσω τε. Εἰλεὸς, ἡ τράπεζα. Εἰλικρίνεια. Εἵλη, ἡ θέρμη. Εἰλύω τε, τὸ κρύπτω. καὶ εἴλυμα. Εἰλυὸς, ὁ φωλεός. ὁ Εἵλως, τοῦ εἵλωτος. εἱλωτία τε, ὃ δηλοῖ τὴν δουλείαν. καὶ Εἴλεμαι, καὶ Εἰλήθυια, ὄνομα θεᾶς. καὶ Εἶλαρ, τὸ βρῶμα. διὰ διφθόγγου γραφέσθωσαν.

ἈΡΩ'ΜΑΣΙΝ. Πτώσεως δοτικῆς τῶν πληθυντικῶν. Ἡ εὐθεῖα, τὸ ἄρωμα.

Τὸ ρω, μέγα. Ἄρωμα τὸ μύρισμα, καὶ εὐωδίασμα, μέγα. Ἄρομα δὲ, τὸ ἀροτρίασμα, μικρόν.

ἘΝ ΜΝΗ'ΜΑΤΙ. Πόσα μέρη λόγου εἰσί; Δύο. Ἐν, πρόθεσις. μνήματι, ὄνομα οὐδέτερον. Ἡ εὐθεῖα, τὸ μνῆμα.

Τὸ μνη, η.

Τίνα ἀπὸ τῆς μνη συλλαβῆς ἀρχόμενα, διὰ τοῦ η γράφεται; Ταῦτα. Μνήμη· ὅθεν μνηστεία, ἡ περὶ γάμου συμφωνία. καὶ μνηστὴρ, ὁ μεμνηστευμένος. καὶ μνηστὴ, ἡ μεμνηστευμένη. μνηστεύω, ἐπὶ συμφωνίας γάμου. μνῆμα. μνημεῖον, ὁ τόπος ὅλος τῆς ταφῆς, ὁ διὰ τὴν μνήμην φαινόμενος. τάφος δὲ, ὁ τὸ σῶμα τοῦ τεθνηκότος μόνον περιέχων. μνημόσυνον. μνήμων, μνήμωνος. μνῆσις, ἡ μνεῖα. καὶ κλίνεται μνήσεως. μνήστωρ. καὶ ἕτερα. μνεία δὲ μόνον διὰ διφθόγγου. καὶ μνίον, τὸ βρύον ι.

ΚΗΔΕΥΣΑΣ. Ποίου μέρους λόγου ἐστί; Μετοχῆς. Κανόνισον. Κηδεύω, ὁ μέλλων κηδεύσω, ὁ Ἀόριστος ἐκήδευσα. ἡ μετοχὴ, ὁ κηδεύσας.

Πόθεν γίνεται; Ἀπὸ τοῦ κήδομαι τὸ φροντίζω.

Τὸ κη, η. Τίνα ἀπὸ τῆς κη συλλαβῆς ἀρχόμενα, διὰ τοῦ η γράφεται; Ταῦτα. Κήδομαι, τὸ φροντίζω. ἐξ οὗ καὶ κηδεμών. καὶ κηδεστής. ἐλέγοντο δὲ κηδεσταὶ παρ' ἀττικοῖς, οἱ διδόντες τὰς κόρας, καὶ οἱ λαμβάνοντες. οὓς οἱ κοινοὶ πενθεροὺς, καὶ γαμβροὺς λέγουσι. καὶ κηδεύω, τὸ τῆς προσηκούσης τοῖς νεκροῖς κηδεμονίας ἀξιῶ. καὶ ἀπὸ τούτου, καὶ τὸ κυβερνῶ. κηδεία, ἡ τοῖς τεθνηκόσι προσήκουσα κηδεμονία. Κηκάζω τὸ λοιδορῶ. ἐξ οὗ κηκασμὸς, ἡ λοιδορία. Κῆνσος, νόμισμα δραχμῆς ἰσοστάσιον. δραχμὴ δὲ ἰσᾶ κοκκία ἑκκαίδεκα. Κημὸς, ὁ κοινῶς χάβος, ὁ περιτιθέμενος τῷ στόματι τῶν ἵππων, καὶ κημῶσαι, τὸ συγκλεῖσαι. καὶ παρ' ἰατροῖς, τὸ, τὸν ὀφθαλμὸν μύσαι.

Κη-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/94 gefördert von der Deutschen Forschungsgemeinschaft

Κημὸς, καὶ τὸ ἐπιτιθέμενον πλέγμα τῷ κάδῳ, δι' οὗ οἱ δικασαὶ καθίεσαν τὰς ψήφους. Κηώδης, ὁ τεθυμιασμένος καὶ εὐώδης οἶκος. Κηλὶς, ὁ ῥύπος. ἐξ οὗ ἀκηλίδωτος, ὁ ἄῤῥυπος. Κήρυξ. κηρύσσω. Κηθὰρ, τόπος ἀφεγγής. Κηρίον, τὸ κηρόμελι. Κηρὸς δὲ, ὁ κεχωρισμένος τοῦ μέλιτος. Κῆπος, ὁ τῶν λαχάνων, καὶ τῶν δένδρων. ἤγουν. ὁ παράδεισος, καὶ τὸ νῦν κοινῶς λεγόμενον περιβόλιον. Κηπουρός. Κῆτος, εἶδος ἰχθύος παμμεγέθους. Κηλόνειον, τὸ κοινῶς γεράνιον, δι' οὗ τὸ ὕδωρ ἀνέλκουσι, διὰ τοῦ ο μικροῦ καὶ τῆς ε καὶ ι διφθόγγου. Κηλώνιον δὲ, τρεφόμενον ζῶον ἐπὶ ὀχείᾳ, διὰ τοῦ ω μεγάλου, καὶ ι. Κῆρ, ἡ ψυχὴ οὐδετέρως, κατὰ κρᾶσιν ἀπὸ τοῦ κέαρ, διὸ καὶ περισπᾶται. καὶ κλίνεται κηρός. Κὴρ, ἡ θανατηφόρος μοῖρα, γένους θηλυκοῦ, καὶ κλίνεται κηρός. Κηλῶ, τὸ ἀπατῶ καὶ θέλγω. Κῆλα, τὰ βέλη. Κηλήτης, ὁ κεχαλασμένος τὰ ἐντός. Κήλειον πῦρ παρ' Ὁμήρῳ τὸ ὑλικὸν, καὶ ἐν τοῖς ξύλοις ὡς ἐπιτοπολὺ συνιστάμενον. ἀπὸ τοῦ κᾶλον, τὸ ξύλον. Κηλεὸς, ὁ καυσικός. Κηκὶς, ἡ ἀνάδοσις τοῦ καπνοῦ. Κήνας, ἀντὶ φονεύσας. Κηφὴν, ζῶον ἐμφερὲς μελίττῃ, ἀργὸν καὶ ἄκεντρον, ἐσθίον λαθραίως τὸν πόνον τῶν μελισσῶν. Κηττοὶ, δῆμος ἐν Ἀθήναις. Κηφισόδωρος, κύριον. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ι; Ταῦτα. Κίσσα, ζῶον πτηνόν. Κισσὸς, φυτόν τι ἀνατεθειμένον τῷ Διονύσῳ. ὃ συμπλέκεται ἀεὶ τοῖς παρακειμένοις, ἢ δένδρεσιν, εἰ τύχοι, ἢ οἰκοδομήμασιν, ἢ τοιούτοις τισίν. ἀπὸ τούτου κισσᾷν ἐπὶ γυναικὸς, τὸ μεθ' ἡδονῆς συλλαμβάνειν. Κίλικες, ἔθνος. Κιῤῥὸν, εἶδος χρώματος, τὸ κοινῶς

λεγόμενον κίτρινον. Κινῶ, τὸ ταράσσω. καὶ ἁπλῶς τὸ ἱστάμενον οὐκ ἐῶ ἵστασθαι. καὶ τὸ διεγείρω. Κινησίας, κύριον. Κίναδος, τὸ θηρίον. καὶ κινάδιον ἰδίως ἡ ἀλώπηξ. ἀπὸ τούτου κίναδος καὶ ὁ πανοῦργος. Κιγκλίδες, αἱ τῶν δικαστηρίων θύραι. Κίῤῥα, πόλις ἀπέχουσα Δελφῶν σταδίους τριάκοντα. καὶ κιῤῥαῖον πεδίον παρ' Αἰσχίνῃ, τὸ παρακείμενον αὐτῇ. Κίδαρις, ἡ ἱερὰ περικεφαλαία. Κίστη, τὸ κιβώτιον. Κισσύβιον, ποιμενικὸν ἀγγεῖον. Κίνδυνος. Κίχλα, ζῶον πτηνόν. Κίων, τὸ κιόνιον. Κίμων, ὄνομα κύριον. Κιμμέριοι, ἔθνος βορειότατον, ὀλίγα τοῦ ἡλίου ἀπολαῦον. Κὶς, ὄνομα κύριον, ὁ πατὴρ τοῦ Σαοὺλ. Κίρκη, κύριον. Κιννάμωμον. Κίτρον, εἶδος ὀπώρας. Κιχρῶ, τὸ δανείζω. Κιθάρα, μουσικὸν ὄργανον. κιθαρῳδὸς, ὁ μετὰ κιθάρας ᾄδων. κιθαριστὴς, ὁ ταύτῃ χρώμενος. κιθαρίζω. Κίκονες, ἔθνος. Κιθαιρὼν, ὄνομα ὄρους. Κινύρα, εἶδος μουσικοῦ ὀργάνου. Κιννάβαρι, εἶδος χρώματος. Κιρνῶ. Κίβδηλον, τὸ φαῦλον νόμισμα. ἀπὸ τούτου καὶ κιβδηλότροπος, ὁ οὐκ ἄδολωτος. καὶ ἦθος κίβδηλον. καὶ παρακεκιβδηλευμένη φιλία, καὶ εἴτι τοιοῦτον. Κίκι, εἶδος ἐλαίου. Κίος, ὄνομα νήσου. ὁ ἀπὸ ταύτης Κῖος. Κὶς, εἶδος σκώληκος. Κίχω, τὸ καταλαμβάνω. καὶ κιχείω ποιητικῶς. Κισσεὺς, κύριον. Κιχώρια, τὰ ἄγρια λάχανα. καὶ ἕτερα.

Τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Ταῦτα. Κεῖνος, ἀντὶ ἐκεῖνος. Κεῖμαι. Κειμήλια, τὰ ἐναπόθετα πράγματα. Κεινὸς, ὁ κενὸς κατὰ προσθήκην τοῦ ι. Κειρία, ὁ τῶν νηπίων δεσμός. ἤγουν ἡ κοινῶς φασκία, καὶ ᾗ δεσμοῦσι τοὺς νεκρούς. Κεῖθι, ἀντὶ ἐκεῖ. καὶ κεῖσε, ἐπὶ κινήσεως. καὶ ἕτερα.

Α'ΠΕ'-

Α'ΠΕ'ΘΕΤΟ. Ποίου μέρους λόγου ἐςί; Ρ'ήματος. χρόνου, μέσȣ Α'ορίςȣ δευτέρου. Κανόνισον. Τίθημι, ὁ μέλλων θήσω. ὁ δεύτερος Α'όριςος ἔθην. ὁ μέσος ἐθέμην. ἔθου. ἔθετο. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, καὶ κατὰ συγκοπὴν, ἀπέθετο.

Α'ΛΛΑ' ΤΡΙΗ'ΜΕΡΟΣ Α'ΝΕ'ΣΤΗΣ ΚΥ'ΡΙΕ. Πόσα μέρη λόγου εἰσί; Τρία. Α'λλὰ, σύνδεσμος συμπλεκτικὸς, διὰ δύο λλ γραφόμενος διὰ καλλιφωνίαν. τριήμερος κύριε, ὄνομα. ἀνέσης, ῥῆμα.

ΤΡΙΗ'ΜΕΡΟΣ. Πόθεν γίνεται; Α'πὸ τȣ̃ τρὶς ἐπιῤῥήματος, καὶ τȣ̃ ἡμέρα. ἡμέρα δὲ, ἀπὸ τȣ̃ μαρμαίρω, τὸ λάμπω. ὃ ποιητικῶς λέγεται μέρδω. ἀφ' ὧν τὸ, Ο'φθαλμοὺς μὲν ἄμερσεν. ἤγουν τῆς λαμπρότητος ἐςέρησε. καὶ Ο'σσε δ' ἄμερδεν αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων. ἀπὸ τȣ̃ μέρδειν, καὶ τοῦ ζα ἐπιτατικȣ̃ μορίȣ. σμερδὴ, ἡ τῆς Α'θηνᾶς ἀσπίς. ἤγουν ἄγαν λαμπρά. καὶ ἐπὶ δράκοντος, Σμερδαλέον δέδορκεν. ἤγουν ὀφθαλμοῖς ἄγαν ςίλβουσι, καὶ τῇ ὁράσει ἐκφοβοῦσι. τὸ δὲ σμέρδειν, καὶ μαρμαίρειν γίνεται ἀπὸ τȣ̃ μερίζειν. τὸ λευκὸν γὰρ καὶ λαμπρὸν μερίζει καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. ὅθεν καὶ δάος, τὸ φῶς παρ' Ο'μήρῳ, ἀπὸ τȣ̃ δαίω τὸ μερίζω. καὶ δαΐδες ἀπὸ τούτȣ, ϗ δᾳ̃δες, αἱ δεκτικαὶ τȣ̃ φωτός.

Τὸ τρι, ι, ἐκ τȣ̃ τρὶς ἐπιῤῥήματος.

Τίνα εἰς ις ἐπιῤῥήματα διὰ τȣ̃ ι γράφεται; Ταῦτα. Δὶς, ἀντὶ ἐκ δευτέρȣ. Τρὶς, ἀντὶ ἐκ τρίτȣ.

Τε-

Τετράκις. Πεντάκις. Ἑξάκις. Ἑπτάκις. Μυριάκις. Πλεονάκις. Πολλάκις. Αὖθις, ἀντὶ πάλιν. Χωρίς. καὶ ἕτερα. Τούτων τὰ βαρύτονα, καὶ ὑπὲρ μίαν συλλαβὴν, καὶ χωρὶς τοῦ σ γράφονται παρὰ τοῖς ποιηταῖς διὰ τὰ μέτρα, ὅτε ἀπὸ συμφώνου ἡ ἐπαγομένη λέξις ἄρχεται.

Τίνα διὰ τοῦ η; Ταῦτα. Ἑξῆς. Ἐφεξῆς. Καθεξῆς. Ἐξείης. Ἐξαπίνης, καὶ Ἐξαίφνης ἀπὸ τούτου κατὰ μετάθεσιν, καὶ τροπὴν τοῦ ψιλοῦ εἰς δασύ. Ἐπίσης. καὶ Διακενῆς, ἀντὶ ματαίως. καὶ ἕτερα.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς τρι συλλαβῆς ἀρχόμενα διὰ τοῦ ι γράφεται; Ταῦτα. Τριάς. Τριςαριςεὺς, ὁ πολλάκις ἀνδραγαθήσας. Τριττὺς, τὸ τρίτον μέρος τῆς φυλῆς οὕτω παρ᾽ Ἀθηναίοις ἐλέγετο. εἰς τρία γὰρ μέρη ἡ φυλὴ διῄρητο, τριττὺν, καὶ ἔθνη, καὶ φατρίας. Τριτημόριον. Τρίτον ἡμίδραχμον, τὰς δύο ἥμισυ δραχμὰς οὕτως εἰώθασιν ὀνομάζειν οἱ παλαιοί. Τρίδουλος. Τρίχινον, τὸ ἐκ τῶν τριχῶν κατεσκευασμένον. Τρίτον, τὸ ἓν τῶν τριῶν. Τριττὸν δὲ, τὸ τριπλοῦν. Τριακὰς, ἡ τριακοςὴ τοῦ μηνός. Τρίβωνες, εἶδος ἱματίων, οὓς ἐνέδυσκον τοὺς ἀξίους κριθέντας φιλοσοφίας προΐςασθαι. Τριβώνιον δὲ, τὸ τετριμμένον. Τρίβων, καὶ ὁ τετριμμένος εἰς πράγματα, καὶ ἔμπειρος. ἀφ᾽ οὗ τριβωνευόμενοι, οἱ τεχνάζοντες. Τρίγωνον σχῆμα, τὸ τρεῖς ἔχον γωνίας. ἐλέγετο καὶ δικαςήριον οὕτως ἐν Ἀθήναις, διὰ τὸ οὕτως εἶναι ἐσχηματισμένον. Τριηράρχημα, τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα. ἐπιτριηράρχημα δὲ, τὸ ἀναλισκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον.

Τρί-

Τρίτων, ὄνομα ποταμοῦ. καὶ Τρίτωνες, δαίμονες ἐν θαλάττῃ. Τριτὼ, ἡ κεφαλὴ κατὰ διάλεκτον. ἀφ' οὗ Τριτωγένεια ἡ Ἀθηνᾶ. Τριωβολιμαῖος, ὁ τριῶν ὀβολῶν ἄξιος. Τριχίδες, εἶδος ἰχθύος. Τρίβω, ἀφ' οὗ τρίβος, ἡ ὁδός. Τριώροφος οἶκος, ὁ τρεῖς ἔχων ὀρόφους. Τριόδους, ὁ τρεῖς ἔχων ὀδόντας. Τρίαινα, ἡ κάμαξ. Τριήρης, ἡ τρεῖς ἠρεσίας ἔχουσα ναῦς, ἤγουν τὸ κοινῶς τριτζέριον. Τριχῆ, ἀντὶ τριχῶς. Τριχὶ ἐπὶ δοτικῆς, ἡ εὐθεῖα, ἡ θρὶξ. Τριβαλὸς, ὁ σέρβος. Τριςάτης. Τρισευδαίμων. Τρίπους, ὁ τρεῖς ἔχων πόδας. Τριπόδης δὲ, ὁ τριῶν ποδῶν μῆκος ἔχων. Τρίπηχυς, ὁ τριῶν πήχεων μῆκος ἔχων. καὶ ἕτερα.

Τίνα διὰ τοῦ η; Ταῦτα. Τρήρων, ὅπερ Ὅμηρος ἐπίθετον τίθησι ταῖς περιςεραῖς, ὡς δειλαῖς. Τρῆσις, ἡ τρύπησις. τρητὸς, ὁ τετρυπημένος. Τρηχὺς, ὁ τραχύς. καὶ ἕτερα.

Τρεῖς δὲ ἐπὶ ἀριθμοῦ, ἀρσενικῶς καὶ θηλυκῶς. οἷον τρεῖς ἄνδρες. καὶ τρεῖς γυναῖκες. καὶ τρεῖς ῥῆμα. οὗ τὸ θέμα τρέω, τρῶ, τὸ φοβοῦμαι. δίφθογγα.

Τὸ με, ψιλόν. Τὰ διὰ τοῦ ερα θηλυκὰ, τινὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγου. Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Ἡμέρα. Διφθέρα, ἡ γοῦνα. Χολέρα, εἶδος νόσου. Ἀσκέρα, εἶδος ὑποδήματος. Ἑσπέρα. Ἔρα, ἡ γῆ. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Αἶρα, ζιζάνιόν τι μετὰ σίτου ἀναφυόμενον. Σφαῖρα. Μαῖρα, εἶ-

εἶδος ζώου. Μάκαιρα, ἡ μακαρία. Ἰοχ΄αιρα, ἐπίθετον τῆς Ἀρτέμιδος. Μάχαιρα. Χείμαιρα. Νείαιρα, ἡ ἐσχάτη. καὶ ἕτερα.

ΚΟΣΜΩ. Ἡ εὐθεῖα, ὁ κόσμος. Πόσα σημαίνει κόσμος; Τέσσαρα. Τὸ ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τὸ ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα. Κόσμος καὶ οἱ ἐντὸς τούτου ἄνθρωποι, καθὸ λέγεται, Ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει, καθ' ὑπερβολήν. ἤγουν σχεδὸν πάντες οἱ ἐν τῷ κόσμῳ. Κόσμος καὶ οἱ τὰ τοῦ κόσμου φρονοῦντες. ἀφ' οὗ κοσμοκράτωρ ὁ διάβολος. Κόσμος καὶ ὁ καλλωπισμὸς, καὶ ἡ εὐταξία.

Τὸ κο, μικρόν. Τὰ ἀπὸ τῆς κο συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου.

Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα Κόσμος. Κοσμᾶς. Κόπρος. Κόχλος. Κόθορνος, τὸ ἀμφοτεροδέξιον ὑπόδημα. Κόκκυξ, εἶδος ζώου. Κόκκος, καὶ ὁ τοῦ σίτου, καὶ ὁ τὰ κόκκινα βάπτων. Κομίζω, τὸ ἐπιμελοῦμαι ποιητικῶς, ἐξ οὗ ἱπποκόμος. καὶ φυτηκόμος. Κομίζω, καὶ τὸ φέρω. Κομίζομαι δὲ παθητικῶς, τὸ λαμβάνω, καὶ τὸ φέρομαι. Κομιδὴ, καὶ συγκομιδὴ, ἡ συναγωγὴ καὶ ἡ ἀπόθεσις τοῦ σίτου, καὶ τῆς κριθῆς, καὶ τῶν τοιούτων. ὀξυτόνως. κομιδῆ δὲ ἐπίρρημα, ἀντὶ παντελῶς, περισπωμένως. Κόμη, ἡ θρὶξ τῆς κεφαλῆς τοῦ ἀνθρώπου, καὶ τὰ ἄκρα τῶν δένδρων. Κομῶ, τὸ κόμην τρέφω, καὶ τὸ τρυφῶ, καὶ γαυροῦμαι, καὶ θάλλω. Κότος, μνησικακία, προσειληφυῖα τὸ ἐπιτηρητικὸν μετὰ ἀγανακτήσεως κακοποιοῦ. Κότλος

δὲ,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/100 gefördert von der Deutschen Forschungsgemeinschaft

δὲ, ὄνομα δαίμονος, διὰ δύο ττ. Κότινος, ἡ ἀγριελαία. Κόφινος. Κόμης, ἀξίωμα. Κορίσσομαι, τὸ ὁπλίζομαι. ἀφʼ οὗ κορυστὴς, ὁ ὁπλίτης. ὃ καὶ μετὰ τοῦ θ ἐν ἑτέρᾳ συζυγίᾳ κορύθεσθαι λέγεται. ἀφʼ οὗ τὸ κεκορυθμένος. ἀπὸ τούτου, κορύνη, ἀμυντήριόν τι ἐκ κεφαλῆς ῥοπήν. ἔχον καὶ βάρος. ὃ καὶ ῥόπαλον λέγεται, καὶ τοῦτο παρὰ τὴν ῥοπήν. καὶ κορυνήτης, ὁ τῇ κορύνῃ χρώμενος. καὶ κόρυς, ἡ περικεφαλαία, θηλυκῶς καὶ διὰ τοῦ υ ψιλοῦ γραφομένη, ἥτις καὶ κράνος, καὶ κυνὴ, καὶ πήληξ, καὶ τρυφάλεια ποιητικῶς λέγεται. Κόρις δὲ ἀῤῥενικῶς, ζωΰφιόν τι κάκοσμον. τοῦτο δὲ καὶ διὰ τοῦ ι γράφεται. καὶ κλίνεται κόρεως. κόρυς δὲ ἡ περικεφαλαία. καὶ κλίνεται κόρυθος. ἀφʼ οὗ κορυθαίολος ὁ Ἕκτωρ, ὁ ταχέως κινῶν τὴν κόρυθα, ψιλόν. Κολοφὼν, ὁ ὑψηλὸς τόπος. Κολωνὸς, τόπος. οὗτος ἦν ἐν Ἀθήναις πλησίον τῆς ἀγορᾶς, ἔνθα ἦν τὸ Ἡφαίστειον. Κόψιχος ἀττικῶς, ὁ κόσσυφος. Κόνδυλος, ὁ κόλαφος, Κομψοὶ παρὰ τοῖς παλαιοῖς, οὓς νῦν ἡμεῖς περπέρους, καὶ πολυλάλους φαμέν. καὶ κομψεύειν, τὸ περιλαλεῖν, ὡς παρὰ Σοφοκλεῖ, Κόμψευε τὴν δόκησιν. ἤγουν περιλάλει. Κομψοὶ, καὶ οἱ πανοῦργοι. ἀφʼ οὗ κομψεία, ἡ πανουργία. καὶ παρὰ Πλάτωνι, οἱ βέλτιστοι. Κολούειν, τὸ κολοβοῦν, καὶ ταπεινοῦν. Κολούω, τὸ ταράττω καὶ ἐνοχλῶ. Κόβαλος, ὁ βωμολόχος. ἤγουν ὁ προσποιητῇ παιδιᾷ χρώμενος μετὰ ἀπάτης. Κόρδαξ, κωμικῆς ὀρχήσεως εἶδος. Κοχώνη, ἡ ὑπογλουτίς, Κόρση, ἡ κεφαλή. Κοτύλαιον, ὄρος Εὐβοίας. Κόρος, ἡ χορτασία. Κόλαξ. Κόραξ. Κορώνη. Κορὸν, τὸ μέλαν. Κορυφή. Κολαφίζω. Κολαφισμός. Κόπις, ὁ λάλος. Κόπτω, τὸ τέμνω, καὶ τὸ κρούω. ὡς ἐν τῷ παρʼ Ἀριστοφάνει, Τίς

ἔαθ' ὁ κόψας τὴν θύραν; Κονιορτός. Κόνις. Κονίςρα, Κονίτσαλος, καὶ Κονία παρ' Ὁμήρῳ τὸ αὐτό. παρὰ δὲ τοῖς κοινοῖς κονία, ἡ ἄσβεςος. ἀφ' οὗ κονιάω κονιῶ, τὸ ἀσβέςῳ χρίω. κονίομαι, τὸ εἰς μάχην ἑτοιμάζομαι. Κόπος. Κοπιῶ. Κολυμβῶ. Κολυμβήθρα. Κοτύλη, τὸ κοῖλον τῆς χειρός. Κογχύλη, ὄςρεόντι ἐν θαλάτῃ. Κόναβος, ὁ ἦχος. Κόρυβος, ὁ μωρός. Κόρυδος, εἶδος ζώου. Κολοβός. Κολοσσὸς, ἀνδριὰς ἦν ἐν τῇ Ῥόδῳ παμμεγέθης, οὕτω καλούμενος, ἐκ χαλκοῦ κατεσκευασμένος. Κορωνὶς, τὸ ἄκρον, καὶ σημεῖόντι, δι' οὗ τὸ παλαιὸν αἱ τοῦ Ὁμήρου ῥαψῳδίαι διηροῦντο. Κόρη, ἡ νέα, καὶ ἡ παρθένος, καὶ ἡ θυγάτηρ, καὶ ἡ τοῦ ὀφθαλμοῦ, δι' ἑνὸς ρ. Κόῤῥη δὲ, ἡ παρειὰ, διὰ δύο ρρ. Κολῶ. Κοπάζω, τὸ καταπραΰνω. Κόταβος, ὁ ἦχος. Κολοκύνθη, παρὰ τοῖς ἀτλικοῖς ἡ κολόκυνθα. Κολοιὸς, κορώνης εἶδος. Κόμανοι, ἔθνος. Κόμμι, τὸ ὑγρὸν τὸ ῥέον ἀπὸ τῶν δένδρων. Κορύβανλες, δαίμονες. καὶ κορυβανλιῶ, τὸ μαίνομαι. Κοτὲ, ἀντὶ ποτέ. Κοδράντης, νόμισμα. Κόνδυ, ποτηρίου εἶδος. Κόμανα, τόπος. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Κώμη, ἡ ἀτείχιςος ἀνθρώπων συνοικία. Κώδιον, τὸ τοῦ προβάτου δέρμα. Κώδιξ. Κωκύω, τὸ θρηνῶ. καὶ κωκυτὸς, ὁ θρῆνος. Κῶμος, τὸ μετὰ μέθης ἐπιφοιτᾷν τοῖς κοιμωμένοις, καὶ δαίμων ἐπίτροπος τῶν τοιούτων. κωμάζω, τὸ αὐτό. Κῶμα, ὁ ὕπνος. Κώδων, τὸ κωδώνιον. καὶ κλίνελαι κώδωνος, διὰ τοῦ ω μεγάλου. Κώθων, εἶδος ποληρίου λακωνικοῦ, τὸ καλούμενον κοινῶς κωθώνιον. ἢ εἶδος ἐκπώματος ὀςρακίνου. καὶ κλίνελαι κώθωνος. καὶ τοῦτο διὰ τοῦ ω μεγάλου. Κωφός. Κωλύω.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/102 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

λύω. Κώλυμα. Κωλύμη, ἡ κώλυσις. Κωρύκιον ἄντρον, ἐν παρνασσῷ· Κάπη, ἡ λαβὴ τοῦ ξίφους. καὶ κώπη, ἡ τῆς νηός. Κωβιὸς, ὄνομα ἰχθύος. Κῶς, ὄνομα νήσου. καὶ ὁ ἀπὸ ταύτης κῶος. ὅπερ ἐστὶν ἐν χρήσει παρὰ τοῖς ποιηταῖς. παρὰ δὲ τοῖς κοινοῖς κῷος προσγραφομένου τοῦ ι. Κάμυς, τὸ κοινῶς δεμάτιον. καὶ κλίνεται κώμυθος. ὡς κόρυς, κόρυθος. Κώνστας, Κωνστάντιος καὶ Κωνσταντῖνος, κύρια. Κωτίλλω, τὸ ὑβρίζω, καὶ λοιδορῶ ἐξ οὗ φλυαρῶ. ἐξ οὗ κώτιλλος, ὁ φλύαρος. Κωμῳδῶ. κωμῳδία. Ἀνακωχεύειν κυρίως ἐπὶ νηὸς, ὅταν κατὰ μέσον τοῦ πελάγους ἠρεμῇ. καὶ ἀνακωχὴ, τὸ αὐτό. Κωλιὰς, ἡ Ἀφροδίτη. Κῶλα, οἱ πόδες. ἀφ' οὗ ἀσκωλιάζειν, τὸ ἑνὶ ποδὶ ἅλλεσθαι, κατὰ πλεονασμὸν τοῦ σ. ἀπὸ τούτων κῶλα καὶ ἐν λόγοις τὰ ἀπαρτίζοντα διάνοιαν, λόγον ἔχοντα πρὸς τὰς περιόδους, ὃν ἔχουσι τὰ ὀνόματα πρὸς αὐτά. ἀφ' ὧν δίκωλοι περίοδοι, καὶ τρίκωλοι, καὶ τετράκωλοι. Κώνειον, φάρμακον θανάσιμον. Κῶνος. Κωδίκιλλος, ἡ διόρθωσις τῆς διαθήκης. Κωπωτὴρ, ἔνθα ἡ κώπη τῆς νεὼς δέδεται. καὶ ἕτερα.

ΤῸ ΜΈΓΑ. Πτώσεως ἐνταῦθα αἰτιατικῆς τῶν ἑνικῶν.

Τὸ με, ψιλόν. Τὰ ἀπὸ τῆς με συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγου. Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Μέγας. μεγαλεῖον. μεγαλωστὶ ἐπίρρημα. Μενέλαος. Μένω, ἀμετάβατον. καὶ μένω τινὰ, ἀντὶ περιμένω. Μέγιστος. Μέσος. μεσίτης. Μεσεγγυήσασθαι, τὸ μέσων τινὰ γενέσθαι ἐγγυητὴν ἀργυρίου ἀποδόσεως.

καὶ μεσεγγύημα. καὶ μεσέγγυος, ὁ μεσίτης ἀπὸ τούτου. Μένδη, πόλις ἐν τῇ παλλήνῃ, ὑπὸ Ἐρετριέων ᾠκισμένη. Μέταλλα, τὰ ἀπὸ τῆς γῆς γινόμενα. οἷον χρυσός. ἄργυρος. θεῖον, καὶ ὅσα τοιαῦτα. ἀπὸ τούτου μεταλλᾶν ποιητικῶς, τὸ ζητεῖν. καὶ μεταλλεῖς, οἱ τὰ μέταλλα ἐργαζόμενοι. Μεταπύργια, τὰ ἐντὸς τῶν οἰκοδομημάτων, μετὰ τοὺς πύργους εὐθύς. Μέτοικος, ὁ ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν μετοικῶν, καὶ μὴ πρὸς ὀλίγον ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν οἴκησιν αὐτόθι κατακλώμενος. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαστον ἔτος δραχμαὶ δώδεκα, ὅπερ ὠνόμαστο μετοίκιον. Μετοιωνίσασθαι, ἀντὶ μεταθέσθαι τὸν φαῦλον οἰωνόν. Μετρονόμοι, ἀρχή τις Ἀθήνησιν ἦν ἡ τῶν μετρονόμων. εἶχον δὲ ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων. Μελίτη, δῆμος ἐν Ἀθήναις. Μελίνη, ὀσπρίου τινὸς σπέρμα. Μέτρον, δι' οὗτις μετρεῖ τι, καὶ τὸ μετρούμενον. μέτρον καὶ ἡ συμμετρία. Μετριάζω, τὸ μέτρια φρονῶ. Μελεδὼν, ἡ φροντίς. μελεδωνὸς, ὁ φροντιστής. Μεγαίρω, τὸ φθονῶ. Μέγαρα, τὰ ὑψηλὰ οἰκήματα. Μέδιμνος, ὁ μόδιος. Μέδων, ὁ βασιλεύς. μεδέω ποιητικῶς, τὸ βασιλεύω. Μεῤῥὰ, πηγή τις ἦν αὕτη πικρότατον ὕδωρ ἔχουσα. Μεθήμων, ὁ μεθεὶς τὴν ὀργὴν, καὶ μὴ μνησικακήσας. καὶ μεθημοσύνη ἐπὶ τούτου. Μέθοδος. Μεσάριον. Μέθυ, ὁ οἶνος. μεθύω, ἀμετάβατον. μεθύσκω δὲ, ἕτερον, μεταβατικόν. Μελιχρῶν, τὸ γλυκύ. Μελίχρους, ὁ σιτόχρους. Μεθίημι, τὸ ἀπολύω, καὶ ῥίπτω. Μέλος, ὁ τῆς φωνῆς ῥυθμός. Μέλη, καὶ τὰ μέρη τοῦ σώματος. ἀφ' οὗ μελίζειν, τὸ εἰς μέλος καὶ ῥυθμὸν ἁρμόζειν, καὶ τὸ κατὰ μέλος τέμνειν. Μεταλαμβάνω, τὸ μετέχω. ὃ συντάσσεται

ται γενικῇ. μεταλαμβάνω, καὶ τὸ μετὰ τόδε λαμβάνω. ὃ συντάσσεται αἰτιατικῇ. Μέλει διὰ ἑνὸς λ, ἀντὶ Φροντίδα εἶναι. ὅπερ ἔχει τὴν σύνταξιν ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον Μέλει μοι τοῦ ἀνθρώπου. ἀντὶ Φροντὶς ἐστί μοι. καὶ μέλειν, ἀντὶ διὰ Φροντίδος εἶναι, ποιητικῶς. ὅπερ ἔχει τὴν σύνταξιν ἀπὸ δοτικῆς εἰς εὐθεῖαν. οἷον Μέλει μοι ὁ ἄνθρωπος. ἀντὶ διὰ Φροντίδος ἐστί μοι. μεταμέλει δέ μοι τοῦ πλαίσματος, ἀπὸ δοτικῆς ἀεὶ πρὸς γενικήν. λέγεται δὲ ταῦτα ἀπρόσωπα. ὥσπερ καὶ τὸ δεῖ, ἀντὶ χρεία ἐστίν. οὐδὲ γὰρ ἔχουσι πρῶτον ἢ δεύτερον πρόσωπον ἵν᾽ ᾖ καὶ αὐτὰ τρίτα. τὸ δὲ μέλειν ἐπὶ παθητικοῦ μετὰ τῆς μετὰ προθέσεως καὶ πρόσωπα ἔχει, καὶ ἑτέραν ἀναδέχεται σύνταξιν. οἷον Μεταμέλομαι ἐπὶ τοῖς πεπραγμένοις. καὶ Μεταμέλομαι ἐπὶ Σαοὺλ. Μέλλει δὲ διὰ δύο λλ, ἀντὶ ἀπόκειται, καὶ βραδύνει, καὶ ἀντὶ Φαίνεται ποιητικῶς. Μέλισσα, ζῶον πτηνόν. Μελιηδὺς, ὁ γλυκύς. Μέλης, ποταμὸς, ὃν λέγουσι πατέρα τοῦ Ὁμήρου. Μέλεος, ὁ κακοδαίμων. καὶ ὦ μέλεε, πρόσφθεγμα ἀττικὸν, ἐνίοτε μὲν ἀντὶ ὦ κάκιστε ταττόμενον, καὶ κακοδαιμονέστατε· ἐνίοτε δὲ ὡς παρέλκον. Μελίσσειον, κηρίον. ἤγουν, ὃ αἱ μέλισσαι ἐργάζονται. Μέλι, καὶ τὰ ἀπ᾽ αὐτοῦ. Μελανειμονῶ, τὸ μέλανα ἐνδύομαι. Μεληδὸν, ἐπίῤῥημα, ἀντὶ κατὰ μέλος. Μεμαὼς, ὁ προθυμούμενος. Μενοινὴ, ἡ προθυμία. Μέροψ, ὁ ἄνθρωπος. Μεσαιπόλεως. Μεσήλιξ. Μέσπιλον, τὸ κοινῶς μούσπουλον. Μετεωρίζω. μετεωρισμός. Μέτωπον. Μεταίχμιον, τὸ μέσον τῶν παρατάξεων. καὶ ἕτερα.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/105 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Τίνα διὰ διφθόγγου; Ταῦτα. Μαίνομαι. οὗ τὸ ἐνεργητικὸν, μετὰ τῆς ἐκ προθέσεως ἀεὶ γράφεται. οἷον Ἐκμαίνω, ἀντὶ μαίνεσθαι ποιῶ. Μαινὰς, ἡ ἀσελγὴς γυνή. Μαινίδες, αἱ κοινῶς σμαρίδες. Μαιῶτις, λίμνη. Μαιμῶ, τὸ προθυμοῦμαι. Μαίανδρος, ὄνομα ποταμοῦ. Μαῖα, ἡ μάμμη. Μαῖρα, θηρίον. Μαιεύω. μαιεία, ἡ μαίευσις. Μαίωτρον, ὁ μισθὸς ὁ διδόμενος τῇ μάμμῃ. Μαίνανδρος, ἡ πόρνη, ἤγουν ἡ μαινομένη κατὰ τῶν ἀνδρῶν. Μαιμάσσω, τὸ δίκην μαινομένου ὁρμῶ. ἀφ' οὗ μεμάκτης Ζεὺς, ὁ ἐνθουσιώδης. καὶ ἀπὸ τούτου πάλιν μεμακτηριὼν παρ' Ἀθηναίοις ὁ πέμπτος μήν. ἐν ᾧ τοῦ χειμῶνος ἀρχὴν λαμβάνοντος ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει. καὶ ἕτερα.

ἜΛΕΟΣ. Ὄνομα οὐδέτερον. ἔστι δὲ καὶ ἀρσενικὸν, ὁ ἔλεος.

Τὸ λε, ψιλόν. Ἔλεος, ἡ ἐλεημοσύνη, ψιλόν. ἔλαιον δὲ τὸ ἀπὸ τῶν ἐλαιῶν ἐκπιεζόμενον. δίφθογγος.

ΕἸΣ ΤῸΝ ἍΓΙΟΝ ΓΕΩ´ΡΓΙΟΝ.

Γεωργηθεὶς ὑπὸ θεοῦ ἀνεδείχθης τῆς εὐσεβείας γεωργὸς τιμιώτατος, τῶν ἀρετῶν τὰ δράγματα συλλέξας σεαυτῷ. σπείρας γὰρ ἐν δάκρυσιν, εὐφροσύνῃ θερί-

ρίζας· ἀθλήσας δὲ δι' αἵματος, τὸν χρισὸν ἐκομίσω. καὶ ταῖς πρεσβείαις ἅγιε ταῖς σαῖς πᾶσι παρέχοις πλαισμάτων συγχώρησιν.

ΓΕΩΡΓΗΘΕΙ'Σ Υ'ΠΟ' ΘΕΟΥ. Πόσα μέρη λόγου εἰσί; Τρία. Γεωργηθεὶς, μετοχή. ὑπὸ, πρόθεσις. θεοῦ, ὄνομα.

ΓΕΩΡΓΗΘΕΙ'Σ. Κανόνισου. Γεωργέω, γεωργῶ. ὁ μέλλων γεωργήσω. ὁ παρακείμενος γεγεώργηκα. ὁ παθητικὸς γεγεώργημαι. ὁ Α'όρισος ἐγεωργήθην. ἡ μετοχὴ ὁ γεωργηθείς. Πόθεν γίνεται; Α'πὸ τῦ γέα διὰ τῦ ε ψιλοῦ, καὶ τῦ ἐργάζομαι. ἔσι δὲ τὸ γέα ἐν χρήσει παρὰ τοῖς ποιηταῖς. καὶ ἀπὸ τούτῦ γῆ κοινῶς. ἀφ' οὗ πάλιν γαῖα διὰ διφθόγγῦ ποιητικῶς. γίνεται οὖν γεαοργῶ, καὶ κατὰ κρᾶσιν τῦ αο εἰς ω μέγα, γεωργῶ.

Τὸ γε, ψιλόν. Τὰ ἀπὸ τῦ γέα σύνθετα, εἰ μὲν κατ' ἀρχὰς ἔχουσι τὸ γε, μετὰ δὲ τὴν γε συλλαβὴν τὸ ω ἐπάγοιτο, διὰ τῦ ε ψιλῦ καὶ ω μεγάλῦ γράφονται. οἷον Γεωργός. γεωγράφος. γεωμέτρης. γεάλοφος. γεωδαισία. γεωφύλαξ. γεωρυχῶ. εἰ δὲ κατὰ τὸ τέλος, εἰ μὲν ποιότητα γῆς δηλῦσι, διὰ τῦ ε ψιλοῦ καὶ ω μεγάλου πάλιν γράφεται. οἷον Βαθύγεως. Λιπαρόγεως. Λυπρόγεως. Κακόγεως. Χρυσόγεως. καὶ ὅσα τὸ ω μέγα ἔχουσι ὄπιθεν τῆς γε συλλαβῆς, ὁμοίως διὰ τῦ ω μεγάλῦ γράφονται. οἷον Α'νώγεων. κατώγεων. Ο'σα δὲ μήτε ποιότητα γῆς δη-

δηλοῦσι, μήτε τὸ ω μέγα ἔχουσιν ὄπισθεν τῆς γε, διὰ τῆς αι διφθόγγου καὶ τοῦ ο μικροῦ γράφεται. οἷον Ἐννοσίγαιος. Φιλόγαιος. Καὶ ἄλλως. Τὰ ἀπὸ τῆς γε συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγου.

Τίνα διὰ τοῦ ε ψιλοῦ; ταῦτα. Γεώμορον, ἡ κοινῶς μορτή. Γεδεὼν, ὄνομα κύριον. Γερήνη, πόλις. ὁ ἀπὸ ταύτης, γερήνιος. Γεγωνεῖν, τὸ βοᾷν καὶ κράζειν. ὃ καὶ γεγωνίσκειν εἴρηται ὑπὸ Θουκυδίδου. Γεώδης. Γένος, ἡ ἑκάστου τῆς γενέσεως ἀρχή. καὶ ἡ ἄθροισις τῶν ἐχόντων πῶς πρὸς ἕντι, καὶ πρὸς ἀλλήλους. οἷον Κεκροπίδαι, Ἡρακλεῖδαι. καὶ ᾧ ὑποτάσσεται τὸ εἶδος. Γεννήτωρ, καὶ γενέτης, ὁ πατήρ. Γέται, ἔθνος. Γεοῦχος, ἐπίθετον τοῦ Ποσειδῶνος. Γεωπεῖναι, οἱ ἄποροι, καὶ γῆς πεινῶντες. Γέρων. γεραίτερος. Γεὼν, ὄνομα ποταμοῦ, ὃς καὶ νεῖλος λέγεται. Γέρανος, ζῶον πτηνόν. Γένυς, ἡ σιαγὼν. Γένειον, αἱ κατὰ τὰς σιαγῶνας τρίχες. Γενειάς. Γενειήτης. Γεθσημανὴ, τόπος. Γέλως. γελοῖος, ὁ ἄξιος γέλωτος. γελοῖον, καὶ γέλοιον ἀττικῶς, προπαροξυτόνως. Γέῤῥα, περσικά τινα ὅπλα. καταχρηστικῶς δὲ καὶ ἅπαν σκέπασμα, εἴτε δερμάτινον εἴη, εἴτε ἄλλης τινὸς ὕλης, γέῤῥον λέγεται. γέῤῥα, καὶ τὰ ὠμοβόεινα σκουτάρια. ἃ ἐοίκασι κισσοῦ φύλλοις. Γέρας, ἡ τιμή. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Γαιήοχος. καὶ γαιήϊος. Γαιτοῦλοι, ἔθνος. Γαῖα, ἡ γῆ. Γαισσὸς, τὸ κοντάριον. Γαίω, τὸ διαχέομαι, καὶ λαμπρύνομαι. καὶ ἕτερα.

Α'ΝΕ-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/108 gefördert von der Deutschen Forschungsgemeinschaft

Α'ΝΕΔΕ'ΙΧΘΗΣ. Κανόνισον. Δείκω, τὸ δεικνύω. ὁ μέλλων δείξω. ὁ παρακείμενος δέδειχα. ὁ παθητικὸς δέδειγμαι. ὁ Α'όριϛος ἐδείχθην. τὸ δεύτερον, ἐδείχθης. καὶ μετὰ τῆς ἀνὰ προθέσεως, καὶ κατὰ συγκοπὴν, ἀνεδείχθης.

Τὸ δει, δίφθογγον ε καὶ ι. Τίνα διὰ τȣ̃ ηκω βαρύτονα ἢ περισπώμενα, ἐνεργητικῶς γραφόμενα ἢ παθητικῶς, διὰ τȣ̃ η γράφεται, καὶ τίνα διὰ διφθόγγȣ, καὶ τίνα διὰ τȣ̃ ι; Διὰ μὲν τȣ̃ η, ταῦτα. Η῞κω, τὸ ἔρχομαι. οὗ τὰ μὲν ἐνεργητικὰ διὰ τȣ̃ η γράφεται ἀττικῶς, τὰ δέ παθητικὰ, διὰ τȣ̃ ι. παρὰ δὲ τοῖς παλαιοῖς, καὶ τοῖς μηδ' ὅλου ἀττικίζουσι ποιηταῖς, καὶ τὰ ἐνεργητικὰ διὰ τȣ̃ ι ἐγράφετο. καὶ ἔτι τούτȣ τὰ παθητικὰ παρὰ μὲν τοῖς ἀττικοῖς, μετὰ προθέσεως ἀεὶ γράφεται, παρὰ δὲ τοῖς ποιηταῖς καὶ χωρὶς προθέσεως. Α'νήκω. Προσήκω, Δήκω, τὸ δάκνω καὶ λυπῶ. περισπώμενα δὲ, Σφηκῶ, τὸ συσφίγγω. Ληκῶ, τὸ κροτῶ καὶ μηκῶμαι. ὅπερ λέγεται ἐπὶ τῆς φωνῆς τῶν αἰγῶν. καὶ ἕτερα.

Διὰ δὲ τῆς ει διφθόγγȣ, ταῦτα. Εἴκω, τὸ ἐνδίδωμι, καὶ ὑποχωρῶ. καὶ τὸ ὁμοιῶ. ἀφ' οὗ εἰκάζω, καὶ ἀπεικάζω. καὶ ἀπεικασμός. καὶ εἰκὼν. καὶ εἰκόνισμα. καὶ ἀπεικόνισμα. καὶ δείκω, τὸ δεικνύω.

Διὰ δὲ τȣ̃ ι, ταῦτα. Δίκω, τὸ τιτρώσκω. καὶ Νικῶ, τὸ τροπαιουχῶ. Νεικῶ δὲ, τὸ φιλονεικῶ. δίφθογγος.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/109 gefördert von der Deutschen Forschungsgemeinschaft

ΤΗ͂Σ Ε'ΥΣΕΒΕΙ'ΑΣ. Πτώσεως γενικῆς τῶν ἑνικῶν. ἡ ἐυθεῖα, ἡ ἐυσέβεια. Πόθεν γίνεται; Α'πὸ τȣ͂ ἐυσεβής. τοῦτο δὲ ἀπὸ τȣ͂ ευ μορίου, καὶ τȣ͂ σέβομαι, τὸ τιμῶ.

Τὸ σε, ψιλόν. Τὰ ἀπὸ τῆς σε συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τȣ͂ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγȣ.

Τίνα διὰ τȣ͂ ε ψιλοῦ; Ταῦτα. Σέλας, ἡ πυρὸς ἀθρόȣ ἔξαψις ἐν ἀέρι. Σελήνη. καὶ σεληναίη ποιητικῶς τὸ ἀυτό. Σεμίραμις, κύριον. Σεμνός. Σεβαστός. Σεπτός. Σεβάσμιος. Σεμεεὶ, κύριον. Σεμίδαλις. Σέριφος, νῆσος. καὶ ὁ ἀπὸ ταύτης, σερίφιος. Σεραφίμ. Σελευκὶς, ζῶον. Σέλευκος, κύριον. ἐξ οὗ σελέυκεια πόλις. Σεμναὶ θεαὶ παρ' Α'θηναίοις, αἱ ἐριννύες. Σεσημασμένα, τὰ ἐσφραγισμένα. Σέρις, τὸ σέλινον. Σεβῆρος, ὄνομα κύριον. Σέβω. Σεβάστεια, πόλις. Σελαγῶ. Σελαγίζω. σελαγισμός. Σεμνεῖον, τὸ μοναστήριον. Σεναχηρείμ. Σεσηρὼς, ὁ γελῶν, καὶ ὁ χάσκων. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγȣ; Ταῦτα. Σαίρω, τὸ φιλοκαλῶ. Σαίνω, τὸ κολακεύω. σαινολόγος. καὶ σαίνουρος κύων. καὶ ἕτερα.

Τὸ βει, δίφθογγον ε καὶ ι. Τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν διὰ τȣ͂ εια γινόμενα θηλυκὰ, τινὰ μὲν διὰ τῆς ει διφθόγγȣ γράφεται, καὶ προπαροξύνονται. τινὰ δὲ διὰ τȣ͂ ι, καὶ παροξύνεται.

Τίνα

Τίνα διὰ τῆς ει διφθόγγε; Ταῦτα. Ε'υσεβὴς, ἐυσέβεια. Α'σθενὴς, ἀσθένεια. Ε'γκρατὴς, ἐγκράτεια. Α'παθὴς, ἀπάθεια. ἐυπαθὴς, ἐυπάθεια. Α'πειθὴς, ἀπείθεια. Α'σελγὴς, ἀσέλγεια. Ε'υςαθὴς, ἐυςάθεια. ἐπιμελὴς, ἐπιμέλεια. ἐυμαθὴς, ἐυμάθεια. πολυμαθὴς, πολυμάθεια. καὶ ἕτερα.

Τίνα διὰ τε ι; Ταῦτα. Α'μαθὴς, ἀμαθία. Ε'υφυὴς, ἐυφυΐα. Δυςυχὴς, δυςυχία. Εὐτυχὴς, ἐυτυχία. Α'τυχὴς, ἀτυχία. Α'ηδὴς, ἀηδία. Νωχελὴς, νωχελία. καὶ ἕτερα.

Καὶ ἄλλως. Τὰ διὰ τε εια προπαροξίτονα θηλυκὰ, διὰ τῆς ει διφθόγγε γράφεται, πλὴν τῶν παραγομένων διὰ τε τρια. καὶ μνια. οἷον Ψάλτρια. Α'σκήτρια. Ο'δηγήτρια. Πολύμνια. ὁμοίως τούτοις γράφεται καὶ τὸ Πότνια κὴ Λάμια. κὴ ἕτερα.

ΤΙΜΙΩ'ΤΑΤΟΣ. Γίνεται ἀπὸ τε τίμιος. τὸ δὲ τίμιος, ἀπὸ τε τιμή. τοῦτο δὲ, ἀπὸ τε τίω, τὸ τιμῶ.

Τὸ τι, ι. Τίνα ἀπὸ τῆς τι συλλαβῆς ἀρχόμενα, διὰ τε ι γράφεται; Ταῦτα. Τίω, τὸ ἀποδίδωμι ποιητικῶς· ὃ παρὰ τοῖς κοινοῖς μετὰ τῆς ἀπὸ προθέσεως γράφεται. καὶ τὸ τιμωροῦμαι. ἀφ' οὗ τιμωρία. καὶ τὸ τιμῶ, ἀφ' οὗ τιμή. καὶ τιμεὶης, καὶ τιμιώταῖος. Τιάρα. ςολή τις, ἣν ἐπὶ τῆς κεφαλῆς ἐφόρει ὁ ἱερεὺς. Τιβέριος, κύριον. Τιβεριὰς, ὄνομα θαλάσσης. Τίγρις, ζῶον καὶ κλίνεται τίγριδος. Τίγρης, ποταμὸς, κὴ κλίνεται Τίγρητος. Τίθημι. Τι-

θήνη, ἡ τροφός. τιθηνῶ, τὸ τρέφω. Τιθασσὸς, ὁ ἥμερος. καὶ ἀτίθασσος, ὁ ἀνήμερος. τιθασσεύω, τὸ ἡμερῶ. Τίκτει, ἡ γυνή. Τίλλω, τὸ ἀνασπῶ. Τίμων, κύριον. Τιμωρῶ, τὸ ἐκδικῶ, καὶ βοηθῶ. τιμωροῦμαι δὲ παθητικῶς, τὸ κολάζω. Τιμαλφέστατον, τὸ καθαρόν. Τίνω, ὃ μετὰ τῆς ἐκ προθέσεως γράφεται, ὡς παρ' Εὐριπίδῃ, "Χάριτας πατρῴας ἐκτίνων εἰς οὓς σε δεῖ." Τινύω, τὸ αὐτό. ἀφ' οὗ τίνυμαι παθητικῶς ἀεὶ, ἀντὶ λαμβάνω. ὡς παρὰ τῷ αὐτῷ Εὐριπίδῃ, Τινύμεναι δίκην. τινύμεναι φόνον. Τινάσσω. Τίος, πόλις παφλαγονίας. Τίτλος, ἡ ἐπιγραφή. Τιτάνες, δαίμονες καταχθόνιοι. Τιτὼ, ἡ ἡμέρα. Τίτανος, ἡ ἄσβεστος. Τιτθὴ, ἡ βυζάστρια. καὶ ἕτερα.

Τίνα διὰ τοῦ η; Ταῦτα. Τήβεννα, τὸ βασιλικὸν μανδύον. Τήγανον. τηγανίζω. τηγανισμός. Τήκω, τὸ κατὰ μικρὸν ἀναλίσκω. ὅπερ κυρίως λέγεται ἐπὶ κηροῦ καὶ χιόνος. Τηθὴ, ἡ μάμμη. Τήθεα, τὰ ὄστρεα. Τηκεδὼν, νόσος τίς. Τῆλε, ἀντὶ μακράν. τηλεκλυτὸς, ὁ ἐκ προγόνων ὀνομαστός. ἢ ὁ περιβόητος, ὀξυτόνως. ὥσπερ ἀγακλυτὸς, καὶ περικλυτός. Τηλύγετος, ὁ μονογενὴς, καὶ ὁ μόνος. καὶ ὁ γέρων. ἔστι δὲ ἡ λέξις ποιητική. Τηλόθι, ἀντὶ μακράν. καὶ τηλόθεν, ἀντὶ μακρόθεν. Τημέλεια, ἡ ἐπιμέλεια. Τῆδε, ἀντὶ ἐνταῦθα. καὶ τῆδε, ἀντὶ ταύτῃ. Τήμερον ἀττικῶς, ἀντὶ σήμερον. Τῆμος, ἀντὶ τότε. ἔστι δὲ ποιητικόν. Τῆνος, ἀντὶ ἐκεῖνος δωρικόν. καὶ Τῆνος, νῆσος. Τηνάλλως, τὸ ἄλλως ἢ ἔδει ποιεῖν τι. καὶ ἁπλῶς ἀντὶ κατὰ ἄλλον τρόπον. Τηνικάδε Τῆτες, ἀντὶ τούτῳ τῷ ἔτει. Τητινὸς ὁ τούτου τοῦ ἔτους.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/112 gefördert von der Deutschen Forschungsgemeinschaft

Τητῶμαι, τὸ ϛερίσκομαι. Τηρῶ, τὸ φυλάσσω. Τῆ, " ἀντὶ λαβὲ, ὡς παρ' Ομήρῳ, Κύκλωψ τῆ, πίε " οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα. καὶ Τῇ ἀντὶ " ταύτῃ. Τηνεὶ, ἀντὶ ἐκεῖ. Τηλικȣ͂τος, ὃ ποιητικῶς λέγεται τηλίκος. Τῆξις, ἀπὸ τȣ͂ τήκω. καὶ ἕτερα.

Τίνα διὰ τῆς ε καὶ ι διφθόγγȣ; Ταῦτα. Τεί" νω, τὸ τανύω. καὶ τείνειν, τὸ ἀφορᾷν, ὡς παρὰ " Φιλοςράτῳ, Λόγιόν τι ὁ Τειρεσίας λέγει τείνων ἐς " Μενοικέα τὸν τȣ͂ Κρέοντος. Τείρω, τὸ δαμάζω. Τειρεσίας, κύριον. οὗτος ἦν μάντις. Τείρεα, τὰ ἄϛρα. Τεῖχος, οὐδετέρως. τειχίον. τειχεσιπλήτης, ἐπίθετον τȣ͂ Αρεος. τειχομαχεῖον. Τεινῳδὸς, ὁ τραγωδός. καὶ τεινῳδῶ, τὸ τραγῳδῶ. καὶ ἕτερα.

Τὸ ω, μέγα. Τὰ διὰ τȣ͂ ωτερος, καὶ ωτατος, ἐι μὲν ἔχουσι τὴν πρὸ τȣ͂ ω συλλαβὴν βραχεῖαν, διὰ τȣ͂ ω μεγάλȣ γράφεται. οἷον Αγιώτερος, ἁγιώτατος. ὁσιώτερος, ὁσιώτατος. ἱερώτερος, ἱερώτατος. φιλολογώτερος, φιλολογώτατος. σοφώτερος, σοφώτατος. λογιώτερος, λογιώτατος. γραμματικώτερος, γραμματικώτατος. ῥητορικώτερος, ῥητορικώτατος. Φρονιμώτερος, φρονιμώτατος. ἀνδρικώτερος, ἀνδρικώτατος. τιμιώτερος, τιμιώτατος. ὠφελιμώτερος, ὠφελιμώτατος. ἀφθονώτερος, ἀφθονώτατος. ξενώτερος, ξενώτατος. ϛενώτερος, ϛενώτατος. καὶ ἕτερα.

Εἰ δὲ μακρὰν, κἄντε φύσει, κἄντε θέσει, διὰ τȣ͂ ο μικρȣ͂. Φύσει μὲν, οἷον Ιφθιμότερος, ἰφθιμότατος. ἀλυπότερος, ἀλυπότατος. εὐψυχότερος, εὐψυχότατος. λιτότερος, λιτότατος. εὐομιλότερος,

εὐθ-

ἐυομιλότατος. πρᾳότερος, πρᾳότατος. ἀξιεραστότερος, ἀξιεραστότατος. ἀξιοθεατότερος, ἀξιοθεατότατος. αὐλότερος, αὐλότατος. τρανότερος, τρανότατος. ἐπικινδυνότερος, ἐπικινδυνότατος. ψιλότερος, ψιλότατος. γυμνότερος, γυμνότατος. ἀσιλότερος, ἀσιλότατος. δυσριγότερος, δυσριγότατος. ἀκρατότερος, ἀκρατότατος. καταρατότερος, καταρατότατος. πολυχρυσότερος, πολυχρυσότατος. ἐυπροσιτότερος, ἐυπροσιτότατος. ἀτυφότερος, ἀτυφότατος. φανότερος, φανότατος. ἀξιονικότερος, ἀξιονικότατος. πολυπυρότερος, πολυπυρότατος. ὁ πλεῖστον πυρὸν ἔχων, ἤγουν σῖτον. ἰσχυρότερος, ἰσχυρότατος. διαπυρώτατος δὲ, ἀπὸ τῦ πυρός. καὶ ἀνιαρώτατος, μεγάλα· ἐπεὶ τὴν πρὸ τῦ ω συλλαβὴν βραχεῖαν ἔχουσιν. ἀνδρειότερος, ἀνδρειότατος. γενναιότερος, γενναιότατος. δικαιότερος, δικαιότατος. ὡραιότερος, ὡραιότατος. σκαιότερος, σκαιότατος. ταπεινότερος, ταπεινότατος. αἰσχρότερος, αἰσχρότατος. πονηρότερος, πονηρότατος. καὶ ἕτερα.

Θέσει δὲ, οἷον Ἐνδοξότερος, ἐνδοξότατος. πιςότερος, πιςότατος. σφοδρότερος, σφοδρότατος. λαμπρότερος, λαμπρότατος. καὶ ἕτερα.

ΤΩ͂Ν Α'ΡΕΤΩ͂Ν. Πτώσεως γενικῆς τῶν πληθυντικῶν. Ἡ ἐυθεῖα, ἡ ἀρετή. γίνεται δὲ ἀπὸ τῦ ἀρέσκομαι. ἡ γὰρ ἀρετὴ πᾶσιν ἀρεςή.

Ἐπὶ τῷ α, ψιλήν. Τὸ α πρὸ τῦ ρ μὴ ἐπαγομένυ ἑτέρυ συμφώνυ, ψιλοῦται. οἷον Ἄραβος. Ἀρετή. Ἀριθμός.

ΤΑ'

ΤΑ' ΔΡΑ'ΓΜΑΤΑ. Η' εὐθεῖα, τὸ δρᾶγμα. ὃ γίνεται ἀπὸ τȣ͂ δράτlομαι. ἔςι δὲ δρᾶγμα τὸ κοινῶς χειρόϐολον.

Τὸ γ καὶ τὸ μ, ἐν συλλήψει εἰσὶν, ἢ ἐν διαςάσει; Ε'ν συλλήψει. Τὰ ἄφωνα πρὸ τῶν ἀμεταϐόλων ἐν συλλήψει εἰσί.

ΣΥΛΛΕ'ΞΑΣ. Κανόνισον. Λέγω. ὁ μέλλων λέξω. ὁ Α'όριςος ἔλεξα. ἡ μετοχὴ ὁ λέξας. καὶ μετὰ τῆς σὺν προθέσεως, συλλέξας. ν γράφεις, ἢ λ; λ. πᾶσα γὰρ συλλαϐὴ εἰς ν λήγουσα, ἐὰν συντεθῆ ἑτέρᾳ συλλαϐῇ ἀρχομένῃ ἀπὸ τȣ͂ γ. ἢ λ. ἢ μ. ἢ ρ. ἢ σ· εἰς αὐτὸ τὸ ἐπαγόμενον τρέπει τὸ ν. οἷον Συγγένεια. Ε'γlενής. Συλλαϐή. Συμμερίζω. Συῤῥάπlω. Σύσσωμος.

Τὸ λε, ψιλόν. Τὰ ἀπὸ τῆς λε συλλαϐῆς ἀρχόμενα, τινὰ μὲν διὰ τȣ͂ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγȣ. Τίνα διὰ τȣ͂ ε ψιλȣ͂; Ταῦτα. Λέων. Λεκάνη. Λέϐης, χαλκοῦν σκεῦος εἰς ὑπηρεσίαν πυρὸς ἐπιτήδειον. καὶ εἶδος ἰχθύος. Λεὼς, ὁ λαὸς ἀτlικῶς. Λεωφόρος, ἡ πλατεῖα ὁδός. Λέμφος, ἡ πεπηγυῖα μύξα. Λέπω, τὸ λεπίζω. Λέσϐος, νῆσος. ἔνθα πόλις ἡ μητυλήνη. Λέμϐος, εἶδος νεὼς, ἀρσενικῶς. Λέχαι. δημοσίους τινὰς τόπους οὕτως ἔλεγον ἐν Α'θήναις, ἐν οἷς ἐκαθέζοντο πολλοὶ, σχολὴν ἄγονlες. Λεϐηρὶς, τὸ δέρμα τȣ͂ ὄφεως. Λεγεὼν, πλήθους τὶς ποσότης ἀγγέλων ἢ δαιμόνων. Λέκυθος, το ἐκτὸς τȣ͂ ὠȣ͂. Λεηλατῶ. Λέαινα. Λεαίνω τὸ ὁμαλίζω. Λεχὼ, ἡ γεννήσασα γυνὴ, καὶ ἔτι ἐπὶ λέχους

χους κειμένη, ἀτ]ικῶς. ἥτις λεχὸς λέγεται κοινῶς. Ἐφ' ὧν δὲ τὸ ε ἐςὶ μετὰ τȣ̃ υ, ταῦτα. Λεύω, τὸ λιθάζω. Λευκὸν χρῶμα, τὸ διακριτικὸν τῆς ὄψεως. Λευκώλενος, ἡ λευκὰς ἔχουσα τὰς ὠλένας. ἤγουν τὰς ἀγκάλας. Λευκὰς, νῆσος. Λεύκη, εἶδος δένδρȣ. ἥτις παρ' Ὁμήρῳ ἀχερωῒς καλεῖται, διὰ τὸ πεφυκέναι, ὥς φασι, πρὸς τῷ ἀχέροντι. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγȣ; Ταῦτα. Λαιὸς, ὁ ἀριςερός. Λαιψηρὸς, ὁ ταχύς. Λαιμὸς, ὁ λάρυγξ. ὃς καὶ φάρυγξ λέγεται, καὶ λαυκανίας ποιητικῶς. Λαίμαργος, ὁ πολυφάγος μετὰ συντόνȣ ἐπιθυμίας. Λαίλαψ, πνεῦμα εἱλούμενον κάτωθεν ἄνω. ὃ καὶ ςρόβιλος λέγεται. Λαιςρυγόνες, ἔθνος. Λαισήϊον, τὸ κοῦφον σάκος. λέγεται δὲ καὶ ὅτω, διὰ τὸ ἐν τῇ λαιᾷ βαςάζεσθαι. Λαῖφος, τὸ ἄρμενον. Λαῖτμα, ἡ θάλασσα, καὶ τὸ θαλάσσιον κῦμα. εἰς δύο γὰρ διῃρημένης τῆς οἰκουμένης, γῆν καὶ θάλατ]αν, λαιὸν τμῆμα ἡ θάλασσα λέγεται. Λαίθαργος, κύων ὁ κρυφοδάκ]ης. καὶ ἕτερα.

ΣΕΑΥΤΩ͂,. Ποίου μέρους λόγȣ ἐςίν. Ἀντωνυμίας. πλάσεως δοτικῆς τῶν ἑνικῶν. Ἡ εὐθεῖα; οὐκ ἔχει. αἱ σύνθετοι ἀντωνυμίαι, ἡ ἐμαυτȣ̃, σαυτȣ̃, καὶ ἑαυτȣ̃, εὐθείας οὐκ ἔχουσι.

ΣΠΕΙ'ΡΑΣ. Κανόνισον. Σπείρω, ὁ μέλλων σπερῶ. ὁ Ἀόριςος ἔσπειρα. ἡ μετοχὴ ὁ σπείρας.

Ε'Ν ΔΑ'ΚΡΥΣΙ. Πόσα μέρη λόγου εἰσί; Δύο. Ἐν, πρόθεσις. δάκρυσιν, ὄνομα οὐδέτερον. Ἡ εὐθεῖα, τὸ δάκρυ. καὶ κλίνεται τȣ̃ δάκρυος.

Πό-

Πόθεν γίνεται; Ἀπὸ τῦ δάκνω. δακνωμένης γὰρ τῆς ψυχῆς, ἐξέρχεται τὸ δάκρυον. ἀφ' οὗ καὶ τὸ θυμοδακὴς μῦθος. Τὸ κρυ, ψιλόν. Τὰ εἰς υ λήγοντα οὐδέτερα, τινὰ μὲν διὰ τῦ ι γράφεται, τινὰ δὲ διὰ τῦ υ ψιλῦ. Καὶ διὰ μὲν τῦ ι, ταῦτα. Μέλι. Σίνηπι. Κίκι. καὶ ἕτερα. διὰ δὲ τῦ υ ψιλῦ, ταῦτα. Ἄςυ. Γόνυ. Πῶϋ. Δόρυ. Δάκρυ. καὶ ἕτερα.

ΕΥ'ΦΡΟΣΥ'ΝΗ. Πόθεν γίνεται; ἀπὸ τῦ ευ μορίȣ, καὶ τῦ φρενῶ. ἡ γὰρ εὐφροσύνη φωτίζει τὸν νοῦν, ὥσπερ ἡ λύπη σκοτίζει. Φρόνησις δὲ γίνεται ἀπὸ τῦ φέρειν ὄνησιν. ἤγουν, ὠφέλειαν.

Τὸ φρο, μικρὸν, διὰ τὸ εἶναι τὴν πρὸ αὐτῦ συλλαβὴν μακράν. ὥσπερ γὰρ τὰ διὰ τῦ ωτερος, καὶ ωτατος, οὕτω καὶ διὰ τῦ ωσυνη θηλυκὰ, εἰ μὲν ἔχουσι τὴν πρὸ τῦ ω συλλαβὴν βραχεῖαν, διὰ τῦ ω μεγάλȣ γράφεται. οἷον Ἁγιωσύνη. ἱερωσύνη. ἀγαθωσύνη. μεγαλωσύνη. καὶ ἕτερα. εἰ δὲ μακρὰν κᾄν τε φύσει, κᾄν τε θέσει, διὰ τῦ ο μικρῦ. οἷον Εὐφροσύνη. δικαιοσύνη. ἐλεημοσύνη. ἀγνωμοσύνη. βριθοσύνη. κερδοσύνη. καὶ ἕτερα.

Τὸ συ, ψιλόν. Τίνα διὰ τῦ υνη θηλυκὰ διὰ τῦ υ ψιλῦ γράφεται; Ταῦτα. Εὐφροσύνη. Εὐθύνη. Κορύνη. Τορύνη. Μαντοσύνη. Ὑποθημοσύνη, ἡ συμβουλή. Μεγαλορῥημοσύνη. καὶ ἕτερα.

Τίνα διὰ τῆς ο καὶ ι διφθόγγȣ; Ταῦτα. Οἴνη, ἡ ἄμπελος. Ἀγκοίνη, ἡ ἀγκάλη. καὶ Θοίνη, ἡ εὐωχία.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/117 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

χία. ἀπὸ τοῦ θοινῶμαι, τὸ εὐωχοῦμαι. ἐξ οὗ καὶ βουθοίνας ὁ Ἡρακλῆς, ὁ βοῦν ὅλον ἐσθίων.

Ἰστέον δὲ ὅτι ταῦτα τὰ διὰ τοῦ ωσύνη, βραχὺ τὸ δίχρονον ἔχουσι ἀεί.

ἈΘΛΗ΄ΣΑΣ. Κανόνισον. Ἀθλέω, ἀθλῶ. συζυγίας πρώτης τῶν περισπωμένων. ὁ μέλλων ἀθλήσω. ὁ Ἀόριστος ἤθλησα. ἡ μετοχὴ ὁ ἀθλήσας ἀθλεῖν δὲ ἐστι, τὸ ἀγωνίζεσθαι. καὶ ἆθλος, ὁ ἀγών. ἆθλον δὲ οὐδετέρως, τὸ διδόμενον γέρας τῷ νικήσαντι τὸν ἀγῶνα. καὶ ἔπαθλον, τὸ ἐπὶ ἄθλῳ δηλονότι καὶ ἀγῶνι διδόμενον, ὃ καὶ βραβεῖον λέγεται, ἀπὸ τῶν διδόντων αὐτὸ βραβευτῶν καὶ διοικητῶν τοῦ ἀγῶνος.

Ἐπὶ τῷ α, ψιλήν. τὸ α ἐπιφερομένου τινὸς δασέως, ψιλοῦται. ἆθλος, ἀθῷος. ἀφραίνει. ἀφρός. ἀχαιός. ἀφή. ἄφειλε μὲν ἀπὸ τοῦ ἅπτομαι δασύνεσθαι. ἀλλ' ἐπεὶ ἐν τῇ συνθέσει κακόφωνος συνέβαινεν ἡ τροπὴ τοῦ ψιλοῦ εἰς δασὺ, ψιλοῦται. ὅθεν ἐπαφώμενοι λέγομεν, οὐ τρέποντες τὸ ψιλὸν εἰς δασύ.

ΔΙ' Α΄ΙΜΑΤΟΣ. Πόσα μέρη λόγου εἰσί; Δύο. Διὰ, πρόθεσις. αἵματος, ὄνομα. Ἡ εὐθεῖα, τὸ αἷμα.

Πόθεν γίνεται; Ἀπὸ τοῦ αἴθω τὸ καίω. θερμὸν γὰρ τὸ αἷμα. τρέπει δὲ τὴν ψιλὴν εἰς δασεῖαν, διὰ τὸ ἐπαγόμενον μ. τὰ γὰρ ἀπὸ τῆς αι διφθόγγου ἀρχόμενα, εἰ μετὰ ταύτην τὸ μ ἔχουσι, δασύνονται. Δηλοῖ δὲ αἷμα δύο, τὸν ἐν τοῖς ζώοις χυμὸν, τὸν θερ-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/118 gefördert von der Deutschen Forschungsgemeinschaft

θερμὸν καὶ ὑγρόν. ἔστις ἐν μὲν τοῖς στοιχείοις, ἀναλογεῖ τῷ ἀέρι, ἐν δὲ ταῖς ὥραις, τῷ ἔαρι. καὶ τὸ θέρος.

Τὸ αι, δίφθογγος. ἀπὸ τοῦ αἴθω.

Καὶ ἄλλως. Τὰ ἀπὸ τοῦ ε ἀρχόμενα, ἔχοντα τὸ μ ἐπαγόμενον, τινὰ μὲν διὰ τῆς αι διφθόγγου γράφεται, τινὰ δὲ διὰ τοῦ ε ψιλοῦ.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Αἷμα, καὶ ὅσα ἀπ' αὐτοῦ. ὅμαιμος καὶ ὁμαίμων, ὁ ἀδελφὸς ὁ ὁμοῦ τὸ αἷμα ἔχων. ἤγουν τὸ γένος. αἱμοχαρής. αἱμασιὰ, ὁ ἐξ ἀκανθῶν φραγμός. αἱμύλος, ὁ ἀπατεὼν διὰ τοῦ υ ψιλοῦ, καὶ αἱμίλιος. αἱμίλιος δὲ, ὄνομα κύριον, διὰ τοῦ ι. ὁμοίως τούτοις γράφεται καὶ τὸ ἀνδραίμων καὶ παλαίμων. πολέμων δὲ, κύριον, ε ψιλόν.

Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Ἐμῶ, τὸ κοινῶς ξ ῶ. Ἐμμένω. Ἔμβρυον, τὸ ἔτι ἐν τῇ μήτρᾳ βρέφος. καὶ ὅσα ἐν τοῖς παρῳχημένοις τὸ ε λαμβάνουσιν, ἀπὸ τοῦ μ ἀρχόμενα. οἷον μαρτυρῶ, ἐμαρτύρουν. μαρμαίρω, ἐμάρμαιρον.

ἘΚΟΜΙΣΩ. Κανίνισον. Κομίζω, ὅπερ ἐν μὲν τοῖς ἐνεργητικοῖς δηλοῖ τὸ βαστάζειν. ποιητικῶς δὲ, καὶ τὸ ἐπιμελεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ, Τὰ σαυτῆς ἔργα κόμιζε. ἐν δὲ τοῖς παθητικοῖς, τὸ λαμβάνειν. ὁ μέλλων κομίσω. ὁ Ἀόριστος ἐκόμισα. ὁ μέσος ἐκομισάμην. τὸ δεύτερον, ἐκομίσω.

Ἰστέον ὅτι τὸ μὲν Φέρειν κυρίως λέγεται ἐπὶ ἀψύχων. δηλοῖ δὲ τὸ φέρω, τὸ βαστάζων ἄγω. τὸ δὲ ἄγειν, κυρίως λέγεται ἐπὶ ἐμψύχων. τὸ δὲ κομίζειν, διὰ ὑποζυγίων.

ΤΑΙ͂Σ ΣΑΙ͂Σ. Πόσα μέρη λόγου εἰσί; Δύο. Ταῖς ἄρθρον. σαῖς, ἀντωνυμία κτητική. Ἡ εὐθεῖα, ἡ σή. καὶ κλίνεται ὡς ἡ τιμή.

ΠΑ͂ΣΙ. Πτώσεως δοτικῆς τῶν πληθυντικῶν. Ἡ εὐθεῖα, ὁ πᾶς. καὶ κλίνεται τοῦ παντός. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς πᾶσιν. ὅπερ ὤφειλε μὲν ὀξυτονηθῆναι. πᾶσα γὰρ δοτικὴ πληθυντικῶν ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ δοτικὴ τῶν ἑνικῶν. οἷον μηνὶ, μησί. αἴαντι, αἴασιν. ἵνα δὲ μὴ συνεμπέσῃ τῷ Πασὶν, οὗ τινος ἡ εὐθεῖα ὁ Πὰν, μετέθηκε τὸν τόνον.

ΠΑΡΕ'ΧΟΙΣ. Κανόνισον. Ἔχω, καὶ ἡ μετοχὴ ὁ ἔχων, τοῦ ἔχοντος. καὶ τὸ εὐκτικὸν, ἔχοιμι. τὸ δεύτερον, ἔχοις. καὶ μετὰ τῆς παρὰ προθέσεως, καὶ συγκοπῇ, παρέχοις.

ΠΤΑΙΣΜΑ'ΤΩΝ. Γένους οὐδετέρου. Ἡ εὐθεῖα, τὸ πταῖσμα. καὶ κλίνεται τοῦ πταίσματος. ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν πταισμάτων· γίνεται δὲ ἀπὸ τοῦ πταίω. ἀφ' οὗ καὶ τὸ δίφθογγον ἔχει.

ΣΥΓΧΩ'ΡΗΣΙΝ. Ποίου μέρους λόγου ἐστίν; Ὀνόματος. Ποίου γένους; Θηλυκοῦ. πτώσεως αἰτιατι-

τικῆς τῶν ἑνικῶν. Η εὐθεῖα, συγχώρησις. καὶ κλίνεται ὡς ὁ ὄφις.

Πόθεν γίνεται; Ἐκ τῆς σὺν προθέσεως, καὶ τοῦ χωρῶ.

Τὸ χω, μέγα. Τὰ ἀπὸ τῆς χω συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου.

Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Χορὸς, πλήθους κατὰ κύκλον στροφὴ ἐναρμόνιος. Χορεύω. χορεία. χοροστάτης. χορηγός. Χολάδες, τὰ ἔντερα. Χοδολλογομὰρ, καὶ Χοσρόης, κύρια. Χοὴ, ἡ δι᾽ ὑγρῶν θυσία. Χοάσπις, ποταμός. καὶ Χοάσπειον ὕδωρ. Χοϊκὸς, ὁ γήϊνος. Χορία, τὰ ἔντερα. Χορίκιος, ὄνομα κύριον. ὃς ἦν σοφιστής. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Χωλὸς, ὁ βεβλαμμένος τὸν πόδα. χωλεία. χωλεύω. χωλαίνω. Χῶρος, ὁ τόπος. χωρίον. χωρῶ, τὸ ὁρμῶ, καὶ τὸ δέχομαι. Χώομαι, τὸ σκύζομαι, ἤγουν τὸ ὀργίζομαι μετὰ ἀγανακτήσεως ἀμυντικῆς. Χωρὶς, ἀντὶ ἄνευ. καὶ ἀντὶ κεχωρισμένως. χωρὶς ὅρος. Χῶναι, πόλις. χῶνος. χωνεύω. χωνευτήριον. Χωρικός. Χωράφιον. Χωρίτης. καὶ ἕτερα.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/121 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Μεσούσης τῆς ἑορτῆς διψῶσάν μου τὴν ψυχὴν, εὐσεβείας πότισον νάματα, ὅτι πᾶ ι σῶτερ ἐβόησας, ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω. ἡ πηγὴ τῆς ζωῆς Χριςὲ ὁ θεὸς ἡμῶν δόξα σοι.

ΜΕΣΟΥ͂ΣΗΣ ΤΗ͂Σ ἙΟΡΤΗ͂Σ. Πόσα μέρη λόγου εἰσί; Τρία. Μεσούσης, μετοχή. τῆς, ἄρθρον. ἑορτῆς, ὄνομα.

ΜΕΣΟΥ͂ΣΗΣ. Κανόνισον. Μεσόω, μεσῶ καὶ ἡ μετοχὴ, ὁ μεσόων, ὁ μεσῶν. τȣ͂ μεσόοντος, τȣ͂ μεσοῦντος. τὸ θηλυκὸν, ἡ μεσόȣσα, ἡ μεσοῦσα. τῆς μεσοȣ́σης, τῆς μεσούσης.

ἙΟΡΤΗ͂Σ. Πόθεν γίνεται; Ἀπὸ τȣ͂ ὀρούω τὸ ὁρμῶ, καὶ τῆς ε ἀντωνυμίας τȣ͂ τρίτȣ προσώπου τῶν ἑνικῶν. εἰς ἣν ἀφ᾽ ἑαυτȣ͂ τὶς τρέχει. διὸ καὶ δασύνεται. πᾶσα γὰρ ἀντωνυμία, ἀποβολὴν ποιήσασα τȣ͂ σ, δασύνεται. οἷον σὲ, ἕ. σέθεν, ἕθεν. σȣ͂, οὗ.

Τὸ ορ, μικρὸν. Τὸ ο προ τȣ͂ ρ ἔντισι μὲν διὰ τȣ͂ ο μικροῦ γράφεται, ἔντισι δὲ διὰ τȣ͂ ω μεγάλου. Ἐν τίσι διὰ τȣ͂ ο μικροῦ; Ἐν τούτοις. Ὁρῶ, τὸ βλέπω. ὅρασις. ὅραμα. Ὄργια, τὰ μυςήρια. ὀργιάζειν, τὸ θ.ειν, καὶ τὸ τὰ νομιζόμενα ὁρᾷν. Ὀργὰς, τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία, καὶ οὐκ ἐπεργαζόμενα.

Ὀρ-

Ο'ργεῶνες, αἱ συναγωγαὶ αἱ γινόμεναι ἐπὶ τιμῇ θεῶν, ἢ ἡρώων. ὅρος, ὁ ὁρισμὸς, ἀρσενικῶς δασυνόμενον. ὄρος, ὁ βουνὸς, ὐδετέρως, ὃ καὶ ψιλοῦται. ὀρειβάτης. ὀρεινόμος. ὀρειφοίτης. Ο'ργῶ, τὸ ὁρμῶ. ὀρεὺς, ὁ ἡμίονος. ὀρικὸν ζεῦγος ἀττικῶς, τὸ κοινῶς ἡμιονικόν. ὀρεωκόμος, ὁ τούτων ἐπιμελούμενος. Ο"ρειος δίαιτα, ἡ ἐν τῷ ὄρει. Ο"ρθρος. ὀρθρίζω. ὀρθριαί. ὀρθριαίτερος. Ο'ρθόω, ὀρθῶ. ὄρθιον. Ο"ῤῥος τὸ ἐπάνω τῦ πρωκτῦ. ἀφ' οὗ ὀῤῥοπύγιον ἀττικῶς, τὸ κοινῶς ὀρθοπύγιον. Ο"ρκος. Ο'ρκωμοτῶ. ὁρκωμοσία. Ο"ριον, τὸ ὁροθέσιον Ο'ριγνῶμαι, τὸ ἐπιθυμῶ. Ο"ρμος, τὸ μέρος τῦ λιμένος, εἰς ὃ ἑλκόμεναι αἱ νῆες δέδενται. ὃ οἱ κοινοὶ σκάλαν λέγουσιν. Ο'ρμίζω τὴν ναῦν, ἤγουν εἰς τὸν λιμένα ἄγω. ὁρμεῖ δὲ ἡ ναῦς, ἀμεταβάτως. Ο'ρμάω δὲ ὁρμῶ, ἐπὶ τῆς καθ' ὁρμὴν κινήσεως. Ο"ρνις. ὀρνιθευτής. Ο'ρνιθοθήρας. Ο'ῤῥόντης ποταμός, ἀφ' οὗ ὀῤῥόντειον ὕδωρ. Ο'ῤῥός, τὸ κοινῶς καλούμενον τυρόγαλον. Ο"ῤῥω, τὸ διεγείρω. ἀφ' οὗ ὀῤῥόμενα κύματα, τὰ ταρασσόμενα. ὁρώμενα δὲ, τὰ βλεπόμενα μέγα. Ο"ρπηξ, ὁ κλάδος. Ο'ῤῥωδῶ, τὸ φοβοῦμαι, ἢ ἀθυμῶ. Ο'ρύσσω. Ο"ρυγμα. ἰδίως δὲ ἐκαλεῖτο ὄρυγμα ἐν Α'θήναις, ἐφ' οὗ ἐκολάζοντο οἱ κακοῦργοι. Ο'ρφανός. Ο'ρχοῦμαι. ἀφ' οὗ ὀρχηςεὶς, καὶ ὀρχήςρια. Ο'ρφνὴ, ἡ νύξ. Ο'ρφεὺς, κύριον. Ο'ρεύω, τὸ ὁρμῶ. Ο'ρίνω, τὸ διεγείρω. Ο"ρχαμος, ὁ ἡγεμών. Ο"ρτυξ. Ο'ρμίσκος, ὁ περιτραχήλιος κόσμος. καὶ ἐν ἑτέροις.

Ε'ν τίσι διὰ τῦ ω μεγάλου; Ε'ν τούτοις. Ω"ρ, ὄνομα ἑβραϊκόν. ὥρα, ἡ φροντὶς, καὶ ἡ εὐμορφία. ἀφ' οὗ ὡραῖος, ὁ εὔμορφος. καὶ ὡραΐζω, τὸ καλλωπίζω. καὶ ὡραϊσμός. καὶ ὡραῖα γάμων, παρ' ἀττικοῖς,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/123 gefördert von der Deutschen Forschungsgemeinschaft

κοῖς, ἣν οἱ ἄλλοι ἕλληνες, ἐν ἀκμῇ γάμȣ λέγουσιν. Ὧραι, οἱ τέσσαρες καιροὶ τȣ̃ χρόνου. οἷον τὸ ἔαρ. τὸ θέρος. τὸ φθινόπωρον. καὶ ὁ χειμών. ἀφ᾽ οὗ ὡραῖος καρπὸς, ὁ ἔγκαιρος. ὥρα καὶ τὸ εἰκοστοτέταρτον μέρος τȣ̃ νυχθημέρου. καὶ ὥρα, ἀντὶ ἔβλεπεν, ἐπὶ τρίτου προσώπου τȣ̃ παρατατικȣ̃. Ὡρεῖον, ὁ οἶκος ἐν ᾧ ἀποτίθεται σῖτος, ἢ κριθὴ, ἢ τοιοῦτόν τι. Ὠριγένης, κύριον. Ὠρυόμενος λέων. Ὠρεὸς, ὄνομα τόπȣ. ὁ ἀπὸ τούτȣ, ὠρείτης. Ὀρακιῶ, τὸ λειποψυχῶ. Ὦρτο, ἀντὶ διεγείρετο. Ὤρισος, ὁ ἀόρισος. καὶ ἐν ἑτέροις.

ΔΙΨΩ͂ΣΑΝ. Κανόνισον. Διψάω, διψῶ. ἡ μετοχὴ ὁ διψάων, ὁ διψῶν. τȣ̃ διψάοντος, τȣ̃ διψῶντος. τὸ θηλυκὸν, ἡ διψάουσα, ἡ διψῶσα. τῆς διψαούσης, τῆς διψώσης. ἡ αἰτιατικὴ τὴν διψάουσαν, τὴν διψῶσαν.

Τὸ δι, ι. Τίνα ἀπὸ τῆς δι συλλαβῆς ἀρχόμενα, διὰ τȣ̃ ι γράφεται, καὶ τίνα διὰ τȣ̃ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγȣ; Διὰ μὲν τȣ̃ ι, ταῦτα. Διομήδης. Διογένης. Δίδυμος, κύρια. Δίδυμοι, δύο ἀπὸ μιᾶς καταδύσεως τῆς γασρός. ὅπερ ἑνικὰ οὐκ ἔχει. Δῖος, ὁ ἐνδοξότατος, καὶ ἀπὸ τȣ̃ Διὸς καταγόμενος. Διακονοῦμαι, ἀντὶ διακονῶ. Διέδρα, ὅταν ἐν φυλακῇ τις ᾖ. ἀπέδρα δὲ, ὅταν ἀφύλακτος ᾖ. Δίκη, ἥτις καὶ νέμεσις, καὶ ἀδράσεια λέγεται. ἐλέγετο δὲ ἰδίως δίκη, ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων. Δικαιοσύνη. Δικασπόλοι, οἱ περὶ τὰς δίκας ἀνασρεφόμενοι. ἤγουν οἱ κοινῶς δικασαί. Διφῶ, τὸ ψηλαφῶ. Δίφρος, τὸ ἅρμα. Διόσκορος. Δίσκος, δι᾽ οὗ

ἠγω-

ἠγωνίζοντο. ἦν δὲ χαλκοῦν τι περιφερὲς, ἀσπίδι μικρᾷ ἐοικός. ἀφ᾽ οὗ δισκευτής. Δίρκη, ὄνομα πηγῆς, καὶ ποταμοῦ. Δίκελλα, ἐργαλεῖον γεωργικόν. Διφθέρα, ἡ γοῦνα. Δίνη, ἡ συστροφὴ τοῦ ποταμίου ῥεύματος. Δινῶ, τὸ συστρέφω. Δίκτυον. Δίπηχυς. Διάδημα. Διαιτῶ, τὸ αἱρετῶς κρίνω. Δίαιτα, ἡ ἀναστροφή. καὶ ἡ παρὰ τῶν ἰατρῶν ὁριζομένη τροφή. ἐκδεδιῃτημένος δὲ, ὁ ἀκόλαστος. Διηθῶ, τὸ σακελίζω. Διαγράφω, τὸ ἐξαλείφω. Διαίνω, τὸ βρέχω. Διειδὴς, ὁ καθαρός. Διώκω. ἀφ᾽ οὗ δίωξις, καὶ διωγμός. Διώροφος οἶκος, ὁ ὑψηλός. Διῆρες ἀττικῶς, τὸ κοινῶς ὑπερῷον. Διερὸς, ὁ δίυγρος. Διώρυξ. καὶ κλίνεται διώρυχος. Διπλωΐς, τὸ ἱμάτιον. Διωλύγιον, τὸ ὀξὺ, ἐπὶ φωνῆς. Δίζομαι ποιητικῶς, τὸ ψηλαφῶ, καὶ ζητῶ. Δίοζον, τὸ ὀζῶδες. Διχῆ, τὸ κοινῶς δίχα. Διαμεμετρημένη ἡμέρα, ἐν ᾗ ἠγωνίζοντο οἱ μέγιστοι, καὶ περὶ μεγίστων ἀγῶνες, πρὸς μέτρον ὕδατος ῥέοντος πρὸς μεμετρημένον τῆς ἡμέρας διάστημα. διενέμετο δὲ τὸ ὕδωρ τοῦτο εἰς τρία μέρη. τὸ μὲν, τῷ διώκοντι· τὸ δὲ, τῷ φεύγοντι· τὸ τρίτον δὲ, τοῖς δικάζουσι. Διακωδωνίζω, τὸ ἐξετάζω. Διεσπευσάμην, ἀντὶ διὰ σπουδῆς ἐποιησάμην. ἢ ἀντὶ διεπραξάμην. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Δῆλος, ὄνομα νήσου. καὶ Δῆλος, ὁ φανερός. Δηλήμων, ὁ βλαπτικός. Δηλητήριον, τὸ θανάσιμον φάρμακον. Δηλιασταὶ, οἱ εἰς δῆλον ἐπεξελθόντες θεωροί. Δῆμος, τὸ κοινὸν πλῆθος τῶν πόλεων. Δήμαρχος, ἄρχων τις ἦν. οὗτοι τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. καὶ τοὺς δήμους συνῆγον, ὅτε τούτου δεήσοιεν.

Δημόκοινος, ὁ δημόσιος βασανιστής. Δημοποίητος, ὁ ξένος μὲν ὢν τῇ φύσει, ὑπὸ δὲ τοῦ δήμου πολίτης γεγενημένος. Δημόσιον. Δημιουργός. Δημηγόρος. Δημόναξ, κύριον. Δηϊάνειρα. Δήμητρα, καὶ δημήτης, ἡ γῆ. ἐξ οὗ δημήτρειος καρπὸς, ὁ τῆς γῆς. Δημήτριος, ὄνομα κύριον. Δῆρις, ἡ φιλονεικία. Δηῒς, ἡ μάχη. Δηὼ, ἡ γῆ. καὶ Δηῶ, ῥῆμα, τὸ ἀγροὺς ἀφανίζω. Δηνάρια, τὰ νομίσματα. Δηναιὸν, τὸ πολυχρόνιον. Δηθύνω, τὸ βραδύνω. Δηθὰ, ἀντὶ καταπολύ. Δήνεον, τὸ βούλευμα. Δημὸς, τὸ λίπος. καὶ ἕτερα.

Διὰ δὲ τῆς ει διφθόγγου, ταῦτα. Δείκω, τὸ δεικνύω. Δείδω, τὸ φοβέμαι. Δειμαίνω, τὸ αὐτό. δεῖμος, ὁ φόβος. Δεισιδαιμονία. Δείκελον, τὸ εἴδωλον. Δειλία, ἡ νύξ. Δειρὴ, ὁ λαιμός. Δειροπέδη, ὁ τοῦ τραχήλου δεσμός. Δεῖσα, ἡ ὑγρασία· ἐξ οὗ παράδεισος. Δείλη, ἡ πρὸ τοῦ ἀρίστου ὥρα, καὶ ἡ πρὸ τοῦ ἑσπερινοῦ δείπνου. Δειλὸς, ὁ μὴ ἀνδρεῖος, ἀλλὰ ἀκάρδιος. δειλαίνω. δειλία. δείλαιος, ὁ ἄθλιος. δειμαλέος, ὁ περίφοβος. δεινὸς, ὁ χαλεπὸς, ἀπὸ τοῦ δέος, ὁ φόβος. καὶ Δεινὸς, ὁ ἐπιτήδειος, καὶ εὐφυής. ἀπὸ τοῦ δέον τὸ πρέπον. Δεῖν, τὸ δέον. Δεῖν, ἀντὶ δεσμέυειν. Δείκνυμι. Δεῖγμα, κυρίως τὸ δεικνύμενον ἀφ' ἑκάστου τῶν πωλουμένων. καὶ ὁ τόπος εἰς ὃν τὰ δείγματα ἐκομίζετο. ἔστι δὲ τὸ ἔθος ἀττικὸν, τὸ σημαίνειν ἀπὸ τῶν ἐν τῷ τόπῳ τοὺς τόπους αὐτούς. Δεῖπνον. δειπνοφόρος, καὶ ἕτερα.

ΤΗ'Ν ΨΥΧΗ'Ν. Η' εὐθεῖα, ἡ ψυχή. Πόθεν γίνεται; Α'πὸ τοῦ ψύχω, τὸ ζωογονῶ.

Τὸ

Τὸ ψυ, ψιλόν. ἀπὸ τȣ̃ ψύχω. Τίνα διὰ τȣ̃ υχω ῥήματα διὰ τȣ̃ υ ψιλοῦ γράφεται. καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγȣ; Διὰ μὲν τȣ̃ υ ψιλοῦ, ταῦτα. Ψύχω. Τρύχω, τὸ δαμάζω. Σμύχω, τὸ καίω. Βρύχω τοὺς ὀδόντας, ὅταν κατά τινος ὀργὴν ἔχων σφίγγῃ αὐτοὺς, ὡς συντριβομένων ἀλλήλοις, ἀποτελεῖν κτύπον. βρυχᾶται δὲ λέων, περισπωμένως. καὶ ἕτερα.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγȣ, Οἴχομαι. τὸ πορεύομαι καὶ φθείρομαι. καὶ Στοιχῶ περισπωμένως. καὶ ἕτερα.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς ψυ συλλαβῆς ἀρχόμενα, διὰ τȣ̃ υ ψιλοῦ γράφεται, Ταῦτα. Ψῦχος. ψυχεινός. ψύξις. ψυχρός. ψυκτὴρ, σκεῦος ἐν ᾧ τὸν οἶνον ἔψυχον. ψύχω. ψυχή. ψυχόλεθρος. καὶ ἕτερα.

Ψοίθης δὲ, ὁ κενόδοξος, διὰ τῆς ο καὶ ι διφθόγγȣ.

Τὸ ψυ, μακρόν ἐστιν, ἢ βραχύ; Μακρόν: Θυμός. λύπη. ψυχή. μῦθος. χρυσός. κίνδυνος. πυρὸς, ὁ σῖτος. ὕλη καὶ ἄϋλος. καὶ ἰσχυρὸς, μακρὸν ἔχουσι τὸ υ. Μύσος δὲ, καὶ μύρον, καὶ ῥύπος, καὶ τὰ διὰ τȣ̃ υλος, οἷον Αἰσχύλος. αἱμύλος. καὶ τὰ ὅμοια, βραχύ.

ΠΟ'ΤΙΣΟΝ. Συζυγίας τετάρτης τῶν βαρυτόνων, χρόνου ἀορίστȣ πρώτου. τὸ θέμα, ποτίζω.

Τὸ πο, μικρόν. Τὰ ἀπὸ τῆς πο συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου. Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Πόθος, ἡ τῶν ἀπόντων ἐπιθυμία. Ποκάδες, αἱ διεκτενισμέναι τρίχες. Πόκος, τὸ ποκάριον. Πόα, ἡ βοτάνη. Πόνος. Πόσις, ὁ ἀνὴρ ὁ πρὸ πολλοῦ ἀποστὰς τῆς γυναικός· ἀνὴρ δὲ, ὁ ἀεὶ συνών. Πολυδεύκης, κύριον. Πολλοστὸς ὁ μετὰ πολλοὺς τυχών. Πόρος, ἀπὸ τοῦ πορίζω. ἀφ' οὗ ἐμπορεύεσθαι, τὸ πραγματεύεσθαι. καὶ πόρος, ἀπὸ τοῦ περῶ. ἀφ' οὗ ἔμπορος, ὃ δηλοῖ μὲν τὸν πραγματευτὴν, ἀπὸ τοῦ πορίζω. ἀφ' οὗ μεγαλέμπορος, καὶ λογέμπορος. δηλοῖ δὲ παρ' Ὁμή„ρῳ καὶ τὸν ἐπ' ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιούμε„νον. ὡς ἐν τῷ, Ἦ ἔμπορος εἰλήλουθας Νηὸς ἐπ' „ἀλλοτρίης. Πόρω, τὸ παρέχω, ποιητικῶς. Πορίζω, τὸ αὐτό. πορίζομαι δὲ, τὸ λαμβάνω. Πότος. Ποταμός. Πότμος, ἡ τύχη. Πόντος. Ποσειδῶν. Πόλις. πολιτεύω, καὶ πολιορκία, ὅταν οἱ πολέμιοι κυκλώσωσι τὴν πόλιν. καὶ πολιορκεῖν ἐπὶ τούτου. ἐκπολιορκεῖν δὲ, τὸ ἐκπορθεῖν. πολιτεύω καὶ πολιτεύομαι. Πόλεμος. πολέμιος, ὁ ἀπὸ ἀλλοτρίας χώρας ἐχθρός. ἐχθρὸς δὲ, ὁ ἀπὸ τῆς αὐτῆς. Πολιὰ, θρὶξ ἡ λελευκασμένη. καὶ ἀπὸ τούτου, πολιὰ τὸ γῆρας. Ποτίζω. πόμα. Πολῶ, τὸ στρέφω. ἀφ' οὗ ἀναπολῶ, τὸ ἀναλογίζομαι, καὶ κατὰ νοῦν στρέφω. καὶ περιπολῶ τὴν πόλιν, ἤγουν κύκλῳ διέρχομαι. καὶ περίπολος, ἡ κατὰ κύκλον πορεία. Ποδήρης χιτὼν, ὁ μέχρι τῶν ποδῶν διήκων. Ποδήνεμος, ὁ ταχύς. Ποθὴ, ἡ τῶν ἀπόντων ἐπιθυμία, καὶ ζήτησις. Πολίχνιον, ἡ μικρὰ πόλις. ὃ καὶ ἔρυμα, καὶ φρούριον λέγεται. Πολύοπον, τὸ πολλὰς ὀπὰς ἔχον, διὰ τοῦ ο μικροῦ.

πολύωπον δὲ, τὸ πολλοὺς ὀφθαλμοὺς ἔχων ἢ πολλὰς ὀπὰς καὶ μεγάλας, ἐοικυίας ὀφθαλμοῖς. οἷον δίκτυον, ἢ τοιοῦτόν τι. διὰ τοῦ ω μεγάλου. Πολίζω, τὸ πόλιν κτίζω. ἀφ' οὗ πολιστής. Πομπίλος, ἰχθύς. Πομφόλυγες, αἱ ἐν τοῖς ὕδασιν ὁρώμεναι φύσκαι. Πόντος, ὄνομα τόπου· ὁ ἀπὸ τούτου, πόντιος. πόντος καὶ ἡ τῶν ὑδάτων πληθύς. Πόπανα, τὰ γλυκύσματα. Πορθμὸς, ἡ μέσων δύο γαιῶν θάλασσα. Πόῤῥω, ἐπίῤῥημα, ἀντὶ μακρὰν, ἢ εἰς βάθος. Πότερον, ὄνομα ἐρωτηματικὸν, ἐπὶ δύο τὴν ἐρώτησιν ἔχον. καὶ ἐπίῤῥημα ὁμοίως ἐρωτηματικόν. ὃ καὶ πληθυντικῶς λέγεται πότερα. Ποτώμενος, ὁ πετώμενος. Ποτνιῶμαι, τὸ δυσφορῶ· καὶ ἀπὸ τούτου, τὸ παρακαλῶ. Πολεῖς, οἱ πολλοὶ, καὶ τοὺς πολλοὺς, ποιητικῶς. πολύ. Ποππύζω, ποιὰ λέξις παρωνομασμένη ἀπὸ τῶν ἡμερούντων τοὺς ἵππους, ὅταν ὁμαλίζοντες αὐτοὺς, τοιαύτην διὰ τῶν χειλέων ποιῶσιν ἀπήχησιν. Πορθμεῖον, τὸ πλοῖον, διὰ διφθόγγου. καὶ πορθμίον, τὸ ναῦλον, διὰ τοῦ ι· ἀφ' οὗ πορθμεύω, καὶ διαπορθμεύω. Ποδοστράβη, μηχάνημα τι ἦν ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενον, εἰς ὃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. Ποδοκάκκη διὰ δύο κκ, τὸ ἐν τῷ δεσμωτηρίῳ ξύλον, ὑφ' οὗ οἱ πόδες κατέχονται. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Πῶλος, τὸ πωλάριον. πωλεύω, τὸ πωλοδαμνῶ. πωλεία. Πωλῶ, τὸ πιπράσκω. Πωλοδάμνης, ὁ τοὺς ἵππους παιδεύων. Πώμαλα, ἀντὶ οὐδαμᾶς. Πῶμα, τὸ σκέπασμα. Πῶρος, ὁ λίθος. καὶ πῶρος, ὄνομα κύριον. Πῶϋ, τὸ ποίμνιον. Πώγων, τὸ πωγώνιον. Πώποτε. Πωλητήριον, τὸ πρατήριον. Πωλικὸν ἅλλεταί τις, ἤγουν δί-

δίκην πώλȣ. Πῶ, ἀντὶ πόθεν δωρικῶς, ἀφ' οὗ τὸ πώμαλα. Πώρωσις, καὶ πεπωρωμένος, ὁ σκληρυνθεὶς, ὥσπερ λίθος. καὶ ἀναίσθητος γεγονώς. Πωλέσκομαι ποιητικῶς, τὸ ἀναστρέφομαι. καὶ ἕτερα.

ΝΑ'ΜΑΤΑ. Ἡ εὐθεῖα τὸ νᾶμα. Πόθεν γίνεται; Ἀπὸ τȣ̃ νάω, τὸ ῥέω. νάαμα, καὶ κατὰ κρᾶσιν νᾶμα. ὅθεν καὶ μακρὸν ἔχει τὸ α.

Ο'ΤΙ. Ποίȣ μέρους λόγȣ ἐστί; Συνδέσμȣ αἰτιολογικȣ̃.

Τὸ ο, μικρόν. Ὅτι, διότι, καθότι, μικρὸν καὶ ι. ὅτλῃ δὲ, τῇ φήμῃ, καὶ τῇ μαντείᾳ, μικρὸν καὶ η. καὶ τȣ̃το μὲν γράφεται διὰ δύο ττ, ἢ διὰ δύο σσ· ἐκεῖνο δὲ, δι' ἑνὸς τ. ἐνίοτε δὲ παρὰ τοῖς ποιηταῖς δι' ἀνάγκην μέτρȣ, καὶ διὰ δύο, σσ.

ΣΩ'ΤΕΡ. Ἡ εὐθεῖα, ὁ σωτήρ. Πόθεν γίνεται; Ἀπὸ τȣ̃ σάζω. Ἡ κλητικὴ τούτȣ ὤφειλε μὲν εἶναι σωτήρ. τὰ γὰρ εἰς ηρ ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. οἷον λουτήρ. αἰθήρ. ἀστήρ. ἐπεὶ δὲ ἡ τῆς γλώττης ὁρμὴ τὴν ἀρχὴν οὐ πάντα πρὸς ἀκολουθίαν ἔταξεν, ἀλλὰ καὶ ἔξω ἀκολουθίας προήνεγκεν, οὐ τοσȣ̃τον φροντίσασα ὅπως ἂν ἀκολούθως ἄγωνται, ὅσον ὅπως ἂν καλῶς καὶ ἀστείως τὴν προφορὰν, ἐπεκράτησε καὶ τοῦτο σῶτερ λέγεσθαι παρὰ τὴν ἀκολουθίαν, οὕτω δόξαν κάλλιον προφέρεσθαι. ὥσπερ καὶ τὸ πάτερ, καὶ τὸ δᾶερ, καὶ τὸ ἄνερ.

Τὸ σω, μέγα, ἀπὸ τȣ̃ σώζω. Τίνα διὰ τȣ̃ ωζω ῥήματα διὰ τȣ̃ ω μεγάλȣ γράφεται, καὶ τίνα

διὰ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/130 gefördert von der Deutschen Forschungsgemeinschaft

διὰ τȣ̃ ο μικρȣ̃; Διὰ μὲν τȣ̃ ω μεγάλȣ, ταῦτα· Σώζω. Κρώζω. Οἰμώζω. Μητρώζω. Κλώζ , τὸ διὰ ψόφȣ τινὸς χλευάζω, ἀπὸ τῶν κολοιῶν. τὸ κλώζειν γὰρ ἐπὶ τῆς φωνῆς λέγεται αὐτῶν.

Διὰ δὲ τȣ̃ ο μικρȣ̃, ταῦτα. Δεσπόζω. Α'ρμόζω. καὶ Ο῎ζω.

Ε'ΒΟ'ΗΣΑΣ. Κανόνισον. Βοάω, βοῶ, ὁ μέλλων βοήσω. ὁ Α'όριςος ἐβόησα, ἐβόησας.

Τὸ Βο, μικρόν. Τὰ ἀπὸ τῆς βο συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τȣ̃ ο μικρȣ̃ γράφεται, τινὰ δὲ διὰ τȣ̃ ω μεγάλȣ. Τίνα διὰ τȣ̃ ο μικρȣ̃; Ταῦτα. Βοῶ. Βοή. Βόησις. Βοηθός. Βοηδρομεῖν, τὸ βοηθεῖν. ἤγουν τὸ ἐπὶ μάχην δραμεῖν. Βοηδρομί , ἑορτή τις Α'θήνησι. Βόθυνος. Βόθρος, τὸ αὐτό. Βόμβος, ὁ ἦχος τῶν μελισσῶν. Βορρᾶς, ἄνεμος. Βορὰ, ἡ τροφή. Βορὸς, ὁ λαίμαργος. Βόσπορος, τὸ ςενὸν τὸ μέσον τῆς μαιώτιδος καὶ τȣ̃ καλουμένȣ εὐξείνȣ πόντȣ. καὶ τὸ ἀπὸ τȣ̃ ἱερȣ̃ μέχρι χαλκηδόνος. ὃ καὶ θρᾴκιος λέγεται βόσπορος. Βόσις, ἡ τροφή. Βοτὴρ, ὁ βοσκός. καὶ βοτὰ, τὰ βοσκήματα. Βότρυς. βοτρυδὸν, ἐπίρρημα, ἀντὶ δίκην βότρυος. Βόςρυχος, ὁ πλόκαμος. Βόλος, τὸ δίκτυον. καὶ ἡ τούτȣ βολὴ, καὶ ἡ δρόσος. Βολὶς, εἶδος ἀκοντίȣ. Βόλβιτον, ἡ τῶν βοῶν κόπρος. ἥτις ἀττικῶς βόλιτον λέγεται. Βολεὼν, ὁ τόπος ὅπȣ κόπρος βάλλεται. Βότειρα, ἡ γῆ ἡ θρεπτική. καὶ ἕτερα.

Τίνα

Τίνα διὰ τȣ̃ ω μεγάλȣ; Ταῦτα. Βωμὸς, τὸ οἰκοδόμημα ἐν ᾧ ἔθυον. ἀπὸ τούτȣ βωμὸς ὁ περιέχων τοῦτο ναός. Βωμὸς, καὶ ἐν ᾧ τὰ ἅρματα ἐτίθετο, " ὡς παρ' Ὁμήρῳ. Ἅρματα δ' ἀμβωμοῖσι τίθει. Βωμολόχος, ὁ προσποιητῇ παιδιᾷ χρώμενος μετὰ ἀπάτης. ἐλέγοντο δὲ κυρίως βωμολόχοι, οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες, καὶ μετὰ κολακείας προσαιτοῦντες. βωμολοχεύομαι. Βῶνος, ὄνομα κύριον. Βῶξ, ὁ βάτραχος. Βώτωρ, ὁ ποιμήν. Βῶλαξ, ἀφ' οὗ ἐριβῶλαξ γῆ, ἡ μεγαλόβωλος. Βῶλος, τὸ αὐτό. Βωβὸς, ὁ ἄλαλος. Βῶς, ἡ βύρσα. Βωνίτης, ὁ βουκόλος. Βωτιάνειρα γῆ, ἡ τοὺς ἄνδρας τρέφουσα. Βωθύσω, ἀντὶ βουθυτήσω. Βώσω, ἀντὶ βοήσω. καὶ ἕτερα.

ΔΙΨΩ͂Ν. Ποίȣ μέρους λόγȣ ἐςί; Μετοχῆς. Κανόνισον. Διψάω, διψῶ· καὶ ἡ μετοχὴ ὁ διψάων, ὁ διψῶν.

ἘΡΧΈΣΘΩ. Κανόνισον. Ἔρχω, ἄχρηςον, καὶ τὸ παθητικὸν, ἔρχομαι. καὶ ὁ παρατατικὸς ἠρχόμην, ἤρχȣ. καὶ τὸ προςακτικὸν ἔρχȣ, καὶ τὸ τρίτον, ἐρχέσθω.

ΠΡΌΣ ΜΕ. Πόσα μέρη λόγȣ εἰσί; Δύο. Πρὸς, πρόθεσις· ἐμὲ, ἀντωνυμία. ἥτις ἐγκλιθεῖσα ἀπέβαλε τὸ ε.

Τὸ με, ψιλόν. Τὸ σε καὶ ἐμὲ, ἐπὶ μὲν αἰτιατικῆς τῶν πρωτοτύπων ἀντωνυμιῶν διὰ τȣ̃ ε ψιλȣ̃ γράφεται. ἐπὶ δὲ τῆς εὐθείας τῶν πληθυντικῶν τῶν

κτη-

κτητικῶν ἀντωνυμιῶν, ὧν αἱ εὐθεῖαι ἡ σὴ, καὶ ἐμὴ, διὰ τῆς αι διφθόγγου.

ΠΙΝΕ'ΤΩ. Κανόνισον, Πίνω, καὶ ἡ μετοχὴ ὁ πίνων, τοῦ πίνοντος. καὶ ὁ παρατατικὸς ἔπινον, ἔπινες, ἔπινε. καὶ τὸ προστακτικὸν, πῖνε, τὸ τρίτον πινέτω.

Τὸ πι, ι. Τίνα διὰ τοῦ ινω ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς, διὰ τοῦ ι γράφεται; Ταῦτα. Κλίνω. Κρίνω. Πίνω. Σίνομαι, τὸ βλάπτω. Ο'ρίνω, τὸ διεγείρω. Τίνω, τὸ δίδωμι, ὃ καὶ μετὰ τῆς ἐκ προθέσεως γράφεται. Ω'δίνω, τὸ ἐγκυμονῶ Φθίνω, τὸ φθείρομαι. καὶ ἕτερα.

Τίνα διὰ τῆς ει διφθόγγου; Ταῦτα. Στείνω, τὸ στενάζω. Θείνω, τὸ τύπτω, ποιητικόν. Κτείνω, τὸ φονεύω, πείνω, τὸ τανύω, καὶ τὸ ἀφορῶ. Α'λεείνω, τὸ ἐκφεύγω. Ε'ρεείνω, τὸ ἐρωτῶ. Φαείνω, τὸ λάμπω. Γείνω, τὸ γεννῶ. Εἴνω, τὸ καλύπτω. ἐξ οὗ εἰνοσίφυλλον ὄρος, τὸ ὑπὸ τῶν φύλλων κατασκιαζόμενον. καὶ Πεινῶ περισπωμένως, τὸ φαγεῖν ἐφίεμαι. Βινῶ δὲ, τὸ συνουσιάζω. Πινῶ, τὸ ῥυπῶ. Δινῶ, τὸ συστρέφω, καὶ κινῶ, ι. Τηθηνῶ δὲ, τὸ τρέφω, η.

ΠΗΓΗ'. Τὸ πη, η. Τὰ εἰωθότα δωρικῶς τρέπεσθαι εἰς α, διὰ τοῦ η γράφεται. οἷον ἡμῶν, ὅτι ἁμῶν. πηγὴ, ὅτι παγά.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς πι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου;

Διὰ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/133 gefördert von der Deutschen Forschungsgemeinschaft

Διὰ μὲν τοῦ ι, ταῦτα· Πίτυς Πίπτω. Πιτνῶ, τὸ πίπτω. καὶ προσπιτνῶ, τὸ προσπίπτω. Πίσσα, χώρα. ὁ ἀπὸ ταύτης, πησσαῖος. Πίννα, ζῶον θαλάσσιον. Πίνος, ὁ ῥύπος. Πιναρὸν, τὸ ῥυπαρόν. Πίνω. Πίομαι. πίεσαι. Πίθηκος. Πιθανός. Πιέζω. Πικρός. Πίτυρον. Πιτυρίας ἄρτος. Πῖλον, τὸ κοινῶς κέντουκλον. Πιαίνω, τὸ σιτεύω. Πῖον, τὸ λιπαρόν. Πιστεύω, πίστις. Πιερία, ὄρος. Πίθος. Πιθάκνη, ὁ μικρὸς πίθος. Πιθοιγία, ἡ τῶν πίθων ἄνοιξις. Πινυτὸς, ὁ φρόνιμος. Πίσυνος, ὁ θαῤῥῶν. Πίναξ. Πιμπρῶ, τὸ καίω. Πίδαξ, ἡ πηγή. Πιμελὴ, τὸ λίπος. Πιθῶ. Πίνδαρος, ὄνομα κύριον. Πισιδία, χώρα. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Πηγή. Πηγαὶ, ὄνομα τόπου πηγήδιον, ἡ μικρὰ πηγή· Πηδῶ. Πήγανον, εἶδος βοτάνης. Πηλεὺς, κύριον. Πηλούσιον, ὄρος. ὁ ἀπὸ τούτου, πηλούσιος. Πηδάλιον, τὸ αὐχένιον. Πήλιον, ὄνομα ὄρους. Πηνήκη, τὸ κεφαλοδέσμιον. Πήγασος, ὄνομα ἵππου. Πηγυλὶς, ὁ πάγος. Πηνειὸς, ὄνομα ποταμοῦ. Πημαίνω, τὸ βλάπτω. πῆμα, ἡ βλάβη. Πηοὶ, οἱ ἐξ ἐπιγαμβρίας συγγενεῖς. Πηρὸς, ὁ βεβλαμμένος τι μέλος. Πῆχυς, καὶ κλίνεται πήχεως διὰ τοῦ ω μεγάλου. Πηλός. Πηλίκος. Πήσσω, τὸ πηγνύω. Πηγὸς, ὁ εὐτραφής. Πῆθι. ἀντὶ ποῦ. Πήληξ, ἡ περικεφαλαία. Πήρα, τὸ σακκούλιον. Πηλαμὺς, εἶδος ἰχθύος. καὶ ἕτερα.

Διὰ δὲ τῆς ει διφθόγγου, ταῦτα. Πεινῶ, τὸ τροφῆς ἐφίεμαι. ἐξ οὗ πεῖνα. Πείθω. Πειθήνιος. Πειστέον ἐπίῤῥημα, ἀντὶ ἄξιον πεισθῆναι. Πιστευτέον δὲ, ἀντὶ ἄξιον πιστεῦσαι, ι. Πειραιεὺς, οὕτως ἐλέγετο

ὁ ἐν Α᾿θήναις λιμήν. Πειρῶμαι, ἀντὶ πεῖραν λαμβάνω. Πεῖρα, ὅταν λάβῃ τίς γνῶσιν τινος, διὰ τῆς οἰκείας αἰσθήσεως, ἢ γνώσεως. ἀφ᾽ ὃ ἐμπειρία, ἡ τῶν οὕτω πολλάκις ὀφθέντων γνῶσις. Πειρατήριον, τὸ κολαστήριον. Πειρατὴς, ὁ κατὰ θάλατταν λῃστής. Πειθαρχῶ, τὸ πείθομαι. Πεῖσμα, τὸ τῆς νεὼς χοινίον, ὃ δέδεται ἐκτὸς ἐν πέτρᾳ, ἢ τοιέτῳ τινί, καὶ κατέχει τὴν ναῦν ἐν τῷ λιμένι. Πεῖσσα, σαθμὸς ξύλων. Πειώλης, ὁ ἀκόλασος. καὶ ἕτερα.

ΖΩΗ'. Πόθεν γίνεται; Α᾿πὸ τȣ̃ ζῶ.

Τὸ ζω, μέγα. Τὰ ἀπὸ τῆς ζω συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τȣ̃ ω μεγάλȣ γράφεται, τινὰ δὲ διὰ τȣ̃ ο μικρȣ̃.

Τίνα διὰ ω μεγάλȣ; Ταῦτα. Ζῶ. ζωή. Ζώνη, ἡ τῶν ἀνδρῶν. Ζώνιον δὲ ἀττικῶς, τὸ τῶν γυναικῶν. ζωννύω. ζώννυμι. Ζωΰφιον τὸ μικρὸν ζῶον. Ζωρὸς, ὁ ἄκρατος οἶνος· ἀφ᾽ οὗ ζωροπότης, ὁ τὸν ἄκρατον οἶνον πίνων. Ζωγρῶ, τὸ ζῶντα λαμβάνω. Ζωστήρ. Ζωτικὸς, κύριον. Ζωάγρια, τὰ τῆς ζωῆς χαριστήρια. Ζωγράφος. Ζωγλύφος. Ζωσιμᾶς, κύριον. Ζῶον. ζωοθυτῶ. Ζώδιον. καὶ Ζωδιακὸς κύκλος. Ζωμὸς μέλας, ἡ κοινῶς αἱματίς. Ζώῃ ἐπὶ ὑποτακτικȣ̃. καὶ ἕτερα.

Τίνα διὰ τȣ̃ ο μικρȣ̃; Ταῦτα. Ζοροβάβελ, κύριον. Ζόφος. Ζοφώδης. Ζορκὰς, ἡ δορκὰς. Ζοφομηνία, ἡ ζόφωσις τῆς σελήνης. Ζοφερός. καὶ ἕτερα.

ΔΟ'ΞΑ ΣΟΙ. Πόσα μέρη λόγου εἰσί; Δύο. Δόξα, ὄνομα. σόι, ἀντωνυμία.

Τὸ σὸι, δίφθογγον. τὸ σὺ, ἐπὶ μὲν εὐθείας τῶν ἑνικῶν διὰ τȣ̃ υ γράφεται· ἐπὶ δὲ δοτικῆς τῶν ἑνικῶν, τῆς πρωτοτύπȣ ἀντωνυμίας· καὶ εὐθείας τῶν πληθυντικῶν, τῆς κτητικῆς, διὰ τῆς ο καὶ ι διφθόγγȣ, ἐπὶ μὲν δοτικῆς, διὰ τῆς ο καὶ ι διφθόγγȣ· οἷον Σοὶ λέγω τῷ ἀκαθάρτῳ δαίμονι. ἐπὶ δὲ εὐθείας τῶν πληθυντικῶν· οἷον Σοί εἰσιν οἱ οὐρανοί.

Ἀνῆλθεν ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἔϛι δὲ ἐν τῇ πόλει Ἱερουσαλὴμ ϛοὰ τȣ̃ Σολομῶντος, καὶ ἐν αὐτῇ κολυμβήθρα, ἣν ἄγγελος κυρίου κατὰ καιρὸν διετάρασσε. καὶ ὁ πρώτως ἐμβεβηκὼς ὑγιάζετο, καὶ τȣ̃ τρύχοντος νοσήματος ἀπηλλάττετο. ἰδὼν τοιγαροῦν ἄνθρωπον παραλελυμένον, ᾠκτείρησεν αὐτὸν, καὶ ἆπεν, ἆρον τὸ σὸν κλινίδιον, καὶ περιπάτει. καὶ τῷ λόγῳ εὐθέως ἠκολούθει ἡ θεραπεία.

ἈΝΗ'ΛΘΕΝ. Κανόνισον. Ἐλεύθω. ὁ μέλλων ἐλεύσω. ὁ ἀόριϛος ἤλευσα. ὁ δεύτερος ἤλυθον, καὶ ἦλθον, ἤλυθες, καὶ ἦλθες. ἤλυθε, καὶ ἦλθε. καὶ μετὰ

τὰ τῆς ἀνὰ προθέσεως, καὶ κατὰ συγκοπὴν, ἀνῆλθεν.

Ἰςέον δὲ ὅτι καὶ αἱ ἄλλαι δισύλλαβοι προθέσεις αἱ εἰς Φωνῆεν λήγουσαι, πλὴν τῆς περὶ, ἐὰν συντεθῶσιν ἑτέρα λέξει ἀπὸ Φωνήεντος ἀρχομένη, ἀποβάλλουσι τὸ ἐπὶ τέλους αὐτῶν Φωνῆεν ἀεὶ ἐν τῷ πεζῷ λόγῳ.

ἹΕΡΟΣΟ'ΛΥΜΑ. Ποίου σχήματος; Συνθέτου. Πόθεν γίνεται; Α'πὸ ἱερὸς, καὶ τοῦ σόλυμα. σόλυμα δὲ ἐςιν ὄνομα τοπικόν. οἱ ἀπὸ τούτου δὲ, λέγονται σολυμῖται.

Τὸ ε, ψιλόν. Τὰ διὰ τοῦ ερος ὀξύτονα, διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον Κρυερός. Πενθερός. Κρατερός. Ἱερός. καὶ Στεῤῥός. καὶ ἕτερα. πλὴν τοῦ θαιρὸς, ὃ σημαίνει τὸν ςροφέα τῆς θύρας. καὶ καιρός.

Τὸ λυ, ψιλόν. ἠκολούθησε τοῖς διὰ τοῦ υμος διὰ τοῦ υ ψιλοῦ γραφομένοις.

Καὶ τίνα διὰ τοῦ υμος, διὰ τοῦ υ ψιλοῦ γράφεται; Ταῦτα. Δίδυμος, ὄνομα κύριον. Δίδυμοι, πληθυντικῶς ἀεὶ, οἱ τεχθέντες δύο ὁμοῦ ἀπὸ μιᾶς καταβάσεως τῆς γαςρός. Κόλυμος, εἶδος βοτάνης. Πρόθυμος. Ε'τυμος, ὁ ἀληθής. καὶ ἕτερα. Ε'τοιμος δὲ, ὁ πρόχειρος, καὶ Οἶμος, ἡ ὁδὸς, διὰ τῆς ο καὶ ι διφθόγγου.

ΠΟ'ΛΕΙ. Ἡ εὐθεῖα, ἡ πόλις. καὶ κλίνεται ὡς ὄφις. Πόθεν γίνεται; Α'πὸ τοῦ περιπολεῖν, τὸ κατὰ κύκλον ςρέφεσθαι.

Τὸ πο, μικρόν. Πολῶ, τὸ στρέφω. Ἐμπολῶ. Περιπολῶ. Ὀνειροπολῶ καὶ Ἀναπολῶ, διὰ τοῦ ο μικροῦ. Πωλῶ δὲ, τὸ πιπράσκω, καὶ τὰ ἀπ' αὐτοῦ, διὰ τοῦ ω μεγάλου.

ἹΕΡΟΥΣΑΛΗ'Μ. Πόθεν γίνεται; Ἀπὸ τοῦ ἱερὸς, καὶ τοῦ σαλήμ· σαλὴμ δὲ ἑρμηνεύεται εἰρήνη.

Τὸ λημ, η. Τὰ εἰς ειμ ἑβραϊκὰ, διὰ τῆς ε καὶ ι διφθόγγου γράφεται. οἷον Ἰωακείμ. Μωδεείμ. Ῥουβείμ. Σεναχηρείμ. Ἐλείμ. Νεφθαλείμ. Φιλιστιείμ. καὶ ἕτερα. πλὴν τοῦ σήμ. σαλήμ. καὶ Ἱερουσαλὴμ. τὸ δὲ χερουβεὶμ, καὶ σεραφεὶμ, διφορεῖται. ἐπὶ μὲν τῆς ἑνικῆς πτώσεως, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον τὸ χερουβεὶμ, καὶ τὸ σεραφείμ. ἐπὶ δὲ πληθυντικῆς, διὰ τοῦ ι. οἷον τὰ χερουβίμ, καὶ τὰ σεραφίμ.

ΣΤΟΑ' Λέγεται ἡ κοινῶς καμάρα.

Τὸ στο, μικρόν. Στοὰ, μόνον μικρόν, τὰ δὲ παρ' αὐτοῦ, μεγάλα. οἷον Στωϊκός. Ἐξώστωα. Πρόστωα.

Καὶ ἄλλως. Τὰ ἀπὸ τῆς στο συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου.

Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Στόμα. Στόμιον. Στορῶ, τὸ καταπραΰνω. Στόμαχος. Στομφάζω, τὸ διὰ τοῦ στόματος βάζω. ἤγουν τὸ πλατεῖ καὶ ὄγκον ἔχοντι στόματι λέγω. Στομφασμός. Στοά. Στόλος. στολίζω, στολισμὸς, στολιτής. Στόνος, ὁ στεναγμός. καὶ ἕτερα.

Τίνα

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Στωμύλος, ὁ ἐπιτήδειος τὴν γλῶτταν, καὶ πεπαιδευμένος. καὶ ὁ λάλος. Στωϊκός. Στώδιον, τὸ στάδιον. καὶ ἕτερα.

ΣΟΛΟΜΩΝ. Ἑρμηνεύεται εἰρηνικός. διὸ τινὲς παράγουσιν αὐτὸ ἀπὸ τοῦ σαλήμ. κλίνεται δὲ σολομῶντος διὰ τοῦ ω μεγάλου, ὡς ξενοφῶντος. τὰ γὰρ εἰς ων περισπώμενα, διὰ τοῦ ντ κλινόμενα, φυλάττουσι τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ.

ΚΟΛΥΜΒΗΘΡΑ. Πόθεν γίνεται; Ἀπὸ τοῦ κολυμβῶ. τὸ δὲ κολυμβῶ, ἀπὸ τοῦ κολοβὸς, καὶ τοῦ βάσις. κολοβὸς γὰρ δοκεῖ βαίνειν ὁ κολυμβῶν, συνιζάνοντος ἐν τοῖς ὕδασι τοῦ μήκους. οὐ μὴν ἀλλὰ καὶ τὰ πάνυ ὑψηλὰ λανθάνουσι τὴν ὅρασιν, καὶ οὐχ' οἷά εἰσιν ὁρῶνται. ὅθεν καὶ τοὺς ὑψηλοὺς τόπους, κολοφῶνας λέγουσι, διὰ τὸ κολοβοὺς φαίνεσθαι.

ΚΟΛΥΜΒΗΘΡΑ. Τὸ λυμ, ψιλὸν ἀπὸ τοῦ κολοβὸς, κατὰ τροπὴν τοῦ ο εἰς υ.

Τὸ βη, η. Τίνα διὰ τοῦ ηθρα καὶ ητρα θηλυκὰ, διὰ τοῦ η γράφεται; Ταῦτα. Δακτυλήθρα, εἶδος τιμωριτικοῦ ὀργάνου. Οὐρήθρα. Μήτρα, ἡ γαστήρ. Φήτρα, ἡ συγγένεια. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ι; Ταῦτα. Μίτρα, ἡ πολεμικὴ ζώνη. καὶ Λίτρα.

Τὸ θρα, μακρόν. Τὰ εἰς ρα λήγοντα θηλυκὰ μετ' ἐπιπλοκῆς συμφώνου, μακρὸν ἔχει τὸ α. οἷον

Φλέγρα. Πέτρα. Καθέδρα. σεσημείωται τὸ τανάγρα καὶ σολόπενδρα.

Α'ΓΓΕΛΟΣ. Πόθεν γίνεται; Α'πὸ τοῦ Α'γγέλειν· τὸ δὲ ἀγγέλειν, ἀπὸ τοῦ ἄγειν. ἀγγέλειν γάρ ἐστι, τὸ κομίζειν ἑτέρου λόγους πρὸς ἕτερον. Α'γγελος, Τὸ γε, ψιλόν. Τὰ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται, καὶ διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον Α'γγελος. Πέμπελος, ὁ γέρων. Ι'κελος, ὁ ὅμοιος, διὰ τοῦ ι. Θεοείκελος δὲ, διὰ τῆς ει διφθόγγου. Σφάκελος. καὶ ἕτερα.

ΔΙΕΤΑ'ΡΑΣΣΕ. Τὸ θέμα, ταράσσω.

ΠΡΩ'ΤΩΣ. Ποίου μέρους λόγου ἐστίν; Ε'πιῤῥήματος; Πόθεν γίνεται; Α'πὸ τοῦ πρῶτος ὑπερθετικοῦ ὀνόματος.

Τὸ πρω, μέγα. Τὰ ἀπὸ τῆς πρω συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ω μεγάλου γράφεται, τινὰ δὲ διὰ τοῦ ο μικροῦ. Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Πρῶτος, καὶ ὅσα ἀπ' αὐτοῦ. πρωτεύω. πρωτεῖον. πρωτεύς. Πρωΐ. πρωΐα. πρωϊνός. πρωϊαίτερος. Πρὼν, τὸ προνενευκὸς τοῦ ὄρους. καὶ κλίνεται πρωνὸς, διὰ τοῦ ω μεγάλου. Πρωθήβης, ὁ πρώτην ἡλικίαν ἔχων. Πρώϊμος. Πρωτόλεια, τὰ πρῶτα τῆς λείας. Πρώξιμος. Πρῷρα. πρωρίτης. πρωΐζα, ἀντὶ προχθές. Πρωτασηκρῆτις. καὶ εἴτι ὅμοιον.

Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Πρότερος. προτερεύω. πρόεδρος. προεδρεύω. προεδρεία. Προπάτωρ.

Πρό-

Πρότριτα, ἀντὶ προχθές. Προνομεύω, τὸ κατατρύχω. Προνοητής. Προτένθης, ὁ λαίμαργος. Προπηλακισμὸς, ἡ ὕβρις. Πρόκνη, κύριον. Πρὸξ, ἡ ἔλαφος. καὶ κλίνεται προκός. Προνομαία, ἡ τῆ ἐλέφαντος ῥίς. Προσηνὴς, ὁ πρᾶος. Πρότονα, τὰ χοινία οἷς κατέχουσι τὸν ἱςὸν ἐν κλύδωνι, ἵνα μὴ τῇ βίᾳ τῶν ἀνέμων θραυσθῇ. Πρόσωπον. Προσωπεῖον. Προσιτός. ἐξ ἧ ἀπρόσιτος, ὁ ἀπρόσψαυςος. Πρόουρος οἶνος, ὁ πρὸ τῆ πατηθῆναι τὴν ςαφυλὴν ῥεύσας. Προταινὶ, ἀντὶ προχθές. Προτροπάδην ἐπίῤῥημα, ἀντὶ κατὰ προτροπήν. Προσῆκον, τὸ πρέπον. Πρόβολοι, αἱ ἐν θαλάσσῃ ἐξέχουσαι πέτραι. ἀπὸ τούτȣ πρόβολος καὶ ὁ προςάτης. Προβόλιον, εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν. Προελόμεσος, ἀντὶ προθέμεσος. Προθεσμία. Πρόκλησις. ἐπὶ τȣ̃ ἐξαιτεῖν τινα θεράποντα, ἢ θεράπαιναν εἰς βάσανον, ἢ εἰς μαρτυρίαν πράγματος ἐλέγετο προκαλεῖσθαι. τὸ δὲ περὶ τούτȣ γραφόμενον γραμματεῖον, ὠνομάζετο πρόκλησις. λέγεται πρόκλησις καὶ τὸ προκαλεῖσθαι τινα εἰς μάχην. πρόκλησις, ἡ εἰς δικαςήριον κλῆσις. καὶ προσκαλέσασθαι, τὸ παραγγεῖλαι εἰς δίκην. Προςροπὴ, τὸ μίασμα. Προφερεῖς, οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. Προσφορὰ, ἡ πρόσοδος. καὶ ἕτερα.

ΕΜΒΕΒΗΚΩ'Σ. Κανόνισον. Βαίνω, ὁ μέλλων βήσομαι. ὁ παρακείμενος βέβηκα. ἡ μετοχὴ ὁ βεβηκώς. καὶ μετὰ τῆς ἐν προθέσεως, καὶ τροπῇ τȣ̃ ν εἰς μ διὰ τὸ ἐπαγόμενον β, ἐμβεβηκώς.

ΥΓΙΑΖΕΤΟ. Κανόνισον. Ὑγιάζω. καὶ τὸ παθητικὸν, ὑγιάζομαι, καὶ ὁ παρατατικὸς, ὑγιαζόμην, ὑγιάζου, ὑγιάζετο. γίνεται δὲ ἀπὸ τοῦ ὑγιής· τὸ δὲ ὑγιὴς, ἀπὸ τοῦ (ἴσως ἀπὸ τοῦ ὑγρὶς) ἐν ὑγρῷ ὤν. ὅθεν καὶ τὸ υ ψιλὸν ἔχει.

ΤΟΥ ΤΡΥΧΟΝΤΟΣ. Πόσα μέρη λόγου εἰσί; Δύο. Τοῦ, ἄρθρον. τρύχοντος, μετοχή. καὶ κανονίζεται οὕτω. τρύχω, τὸ δαμάζω. καὶ ἡ μετοχὴ ὁ τρύχων, τοῦ τρύχοντος.

Τὸ τρυ, ψιλόν. Τίνα ἀπὸ τῆς τρυ συλλαβῆς ἀρχόμενα, διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ υ ψιλοῦ, ταῦτα. Τρυγῶ. Τρύγητος, ὁ καιρὸς ἐν ᾧ τρυγῶσι. τρυγητὸς ὀξυτόνως, ὁ τρυγώμενος καρπὸς, ὥσπερ ἀμητὸς, καὶ ἄμητος. Τρὺξ, τὸ ὑλῶδες τοῦ οἴνου. ἥ τις καὶ ὑποστάθμη λέγεται, καὶ τρυγίας. Τρύγοιπος, το κοινῶς σακελιστήριον. Τρύπανον. Τρυβλίον, τὸ ὀξύβαφον ἀγγεῖον. τρύβλιον δὲ μέγα ἐστὶν ἀγγεῖον· Τρυπάνιον. Τρυμαλιὰ, τὸ τρύπημα. Τρυτάνη, τὸ ζύγιον. Τρυφῶ, ἀμεταβάτως, ἀντὶ ἐν τρυφῇ διάγω. καὶ Τρυφῶ τοὺς λόγους, μεταβατικῶς. Τρυφηλός. Τρύφος, τὸ ἀποκεκομμένον ἀπό τινος. Τρύφων, ὄνομα κύριον. Τρυγών. Τρύζειν, ἐπὶ τοῦ γογγυσμοῦ τῆς τρυγόνος. Τρύχω, τὸ δαμάζω. καὶ ἕτερα.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγου, ταῦτα. Τροία, τὰ περὶ τὴν ἴλιον χωρία. ἥτις καὶ οὐδετέρως λέγεται τὸ ἴλιον. Τροιζήν, ὄρος περὶ τὴν Ἱσπανίαν. Τροιζηνία. καὶ ἕτερα.

ΝΟ-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/142 gefördert von der Deutschen Forschungsgemeinschaft

ΝΟΣΗ'ΜΑΤΟΣ. Ἡ εὐθεῖα, τὸ νόσημα. Πόθεν γίνεται; Ἀπὸ τοῦ νο στερητικοῦ μορίου, καὶ τοῦ σεύομαι, τὸ ὁρμῶ.

Τὸ νο, μικρόν. Τὰ ἀπὸ τῆς νο συλλαβῆς ἀρχόμενα, τὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τὰ δὲ διὰ τοῦ ω μεγάλου. Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Νόμος. νομικός. νομοδιδάσκαλος. νομοφύλαξ, ἀξίωμα. οὗτος τέτακται ἐπὶ τῷ ἐπαναγκάζειν τὰς ἀρχὰς χρῆσθαι τοῖς νόμοις. Νόται παρὰ ῥωμαίοις τὰ γράμματα, ἀφ' οὗ νοτάριος, ὁ γραμματεύς. Νόσος. νοσηλεύομαι. νοσηλεία. νοτήλιον φάρμακον, τὸ θεραπευτικόν. νοσοκομεῖον, ὁ ξενών. Νότος, ὁ ἀπὸ μεσημβρίας ἄνεμος. ἀπὸ τούτου καὶ αὐτὴ ἡ μεσημβρία. νοτίζω, τὸ ὑγραίνω. ἀπὸ τοῦ νότου τοῦ ἀνέμου, ὅστις ἐστὶν ὑγρότατος. καὶ νοτὶς, ἡ ὑγρότης. Νοσφίζω, τὸ στερίσκω. νόσφιν ἐπίῤῥημα, ἀντὶ χωρίς. νοσφισμὸς, ὁ χωρισμός. νοσφίζομαι, τὸ ἰδιοποιοῦμαι. Νόστος, ἡ ὑποστροφή. νόστιμον, τὸ καθ' ὑποστροφήν. καὶ νόστιμον, τὸ γλυκύ. Νομεὺς, ὁ κοινῶς βοσκός. καὶ νόμιον μέλος, τὸ τῶν νομέων. νομάδες, οἱ νομαδικὸν βίον βιοῦντες. Νόθος υἱὸς, ὁ μὴ γνήσιος. νοθεύω, τὸ κιβδηλεύω. Νότιον μέρος, τὸ κατὰ τὸν νότον. καὶ νότιοι θῆρες, οἱ ἐν ὕδασι καὶ γεννώμενοι καὶ ζῶντες. Νοσσία, τὰ μικρότατα τῶν πετεινῶν. ἃ καὶ νεόττια λέγεται. νοσσιὰ δὲ καὶ νεοττιὰ, ὁ φωλεὸς αὐτῶν. Νόος, ὁ νοῦς. Νόννα, κύριον. Νόναι παρὰ ῥωμαίοις πληθυντικῶς ἀεὶ, μετὰ τὰς καλάνδας ἐννέα ἡμέραι. εἰς τρία γὰρ οὗτοι τὰς ἡμέρας τοῦ μηνὸς διῄρουν. καὶ τὰς μὲν ὠνόμαζον καλάνδας· τὰς δὲ νόνας· τὰς δὲ λοιπὰς εἰδούς. καὶ καλάνδαι μὲν ἐλέγοντο παρ' αὐτοῖς, αἱ

παρ' ἕλλησι νουμηνίαι. ἦσαν δὲ αὗται ἐν μὲν τῷ ἰανουαρίῳ, φευρουαρίῳ, ἀπριλλίῳ, ἰουνίῳ, αὐγούστῳ, σεπλεμβρίῳ, νοεμβρίῳ, καὶ δεκεμβρίῳ, ἀπὸ τῆς πρώτης μέχρι τῆς πέμπλης. ἐν δὲ τοῖς λοιποῖς, ἀπὸ τῆς πρώτης, μέχρι τῆς ἑβδόμης. αἱ δὲ μετὰ ταύτας εὐθὺς ἐννέα ἡμέραι ἐλέγονλο νόναι. αἱ δὲ λοιπαὶ, εἰδοί. ἐν ἑκάστῃ γοῦν τῶν ἡμερῶν τούτων ἦγον ἑορτὴν οἱ ῥωμαῖοι. καὶ διὰ τὴν σύγχυσιν τοῦ μὴ ἀπὸ τῶν αὐτῶν ἀεὶ ἄρχεσθαι τὰς νόνας, καὶ τὰς εἰδοὺς, προεκήρυτλεν αὐτὰς ὁ ἱερεύς· πρὸ μὲν τριῶν εἰ τύχοι ἡμερῶν τῆς νουμηνίας, λέγων πρὸ τετλάρων. καλανδῶν. πρὸ δὲ δύο, πρὸ τριῶν. πρὸ δὲ μιᾶς, πρὸ μιᾶς πάλιν. τὴν γὰρ δυάδα ἀεὶ ἐφυλάτλοντο. καὶ διὰ τοῦτο, τὸν μονάδι μείζονα προκατελάμβανεν ἀεὶ ἀριθμόν. Νοέμβριος, ὄνομα μηνός. Νόννος, ὄνομα κύριον. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Νῶτον, ἡ ῥάχις, οὐδετέρως, καὶ τὰ νῶτα πληθυνλικῶς. τὸ γὰρ ἀρσενικὸν, οὐκ ἐν χρήσει. νωτίζω ποιητικῶς, τὸ κατὰ νώτου τὶ παραλείπω. Νωμῶ, τὸ κινῶ, καὶ τὸ σκοπῶ. Νῶε, κύριον. Νωδὸς, ὁ ἐστερημένος ὀδόνλων. Νῶκαρ, ὁ ἀσθενὴς καὶ δυσκίνηλος. οὐδετέρως, καὶ ἡ παρὰ τοῖς κοινοῖς ἀψυχία. Νωχελὴς, ὁ ῥάθυμος. νωχελία. Νωθρός. δηλοῖ δὲ καὶ τοῦτο τὸν βραδὺν καὶ ῥάθυμον. Νωθὴς, τὸ αὐτό. νωθεία. Νωλεμέως, ἀντὶ ἀδιαλείπλως. Νῶροψ, χαλκὸς παρ' Ὁμήρῳ, ὁ ἄγαν λαμπρός. ἀπὸ τοῦ νω στερητικοῦ μορίου, καὶ τοῦ ὁρῶ. ὁ διὰ τὴν πολλὴν λαμπρότηλα, μὴ ἐῶν τοὺς ὀφθαλμοὺς ὁρᾷν. Νώδυνον, τὸ ἀνώδυνον. Νῶϊ, καὶ νῶ, ἐπὶ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυϊκῶν, τῆς πρωτο-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/144 gefördert von der Deutschen Forschungsgemeinschaft

τοτύπȣ ἀντωνυμίας. καὶ νῶϊν, καὶ νῶν ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς τῶν αὐτῶν. νωΐτερον, τὸ ἡμέτερον. Νωτάριος, καὶ νωτοφόρος, ὁ βαρυβαςάκλης. καὶ ἕτερα.

Α'ΠΗΛΛΑ'ΤΤΕΤΟ. Κανόνισον. Α'παλλάτ]ω. καὶ τὸ παθητικὸν, ἀπαλλάτ]ομαι. καὶ ὁ παρατατικὸς ἀπηλλατ]όμην, ἀπηλλάτ]ȣ, ἀπηλλάτ]ετο.

Ι'ςέον δὲ ὅτι τὸ μὲν ἐνεργητικὸν τούτȣ δηλοῖ τὸ ἐλευθεροῦν, καὶ τὸ διάγειν, ἀμεταβάτως. τὸ δὲ παθητικὸν λαμβάνεται ἐπὶ τῶν κατεχομένων ἐν φρουρᾷ, ὅταν ἐλευθερωθῶσι. καὶ ἁπλῶς ἐπὶ τῶν διαλεγομένων, ἢ τοιȣτόντι ποιούν]ων, ὅταν, ἀπ' ἀλλήλων χωρίζωνται.

Ι'ΔΩ'Ν. Κανόνισον. Εἴδω τὸ βλέπω, ὅπερ ἐςὶν ἄχρηςον, καὶ οἱ ἀπὸ τούτȣ χρόνοι, πλὴν τȣ̃ δευτέρȣ ἀορίςȣ. χρώμεθα δὲ ἀντὶ τούτȣ τῷ θεῶμαι, τῷ βλέπω, τῷ ὁρῶ, καὶ τοῖς τοιούτοις. ὁ δεύτερος ἀόριςος εἶδον, παρὰ μὲν τοῖς κοινοῖς διὰ τῆς ει διφθόγγȣ. παρὰ δὲ τοῖς ποιηταῖς, διὰ τȣ̃ ι. καὶ ἀμφότερα σὺν λόγῳ· ὡς μὲν γὰρ ἄρχουσα τῷ ει, ὠφείλει αὔξησιν ἔχειν καὶ διὰ διφθόγγȣ γράφεσθαι. ὃ καὶ ἐπεκράτησε παρὰ τοῖς κοινοῖς. ὡς δὲ παραλήγουσα τȣ̃ δευτέρȣ ἀορίςου, συςέλλεσθαι καὶ διὰ τȣ̃ ι γράφεσθαι. ὃ καὶ παρὰ τοῖς ποιηταῖς ἐςιν ἐν χρήσει διὰ μέτρȣ ἀνάγκην. ἡ μετοχὴ ὁ ἰδὼν, ἀεὶ διὰ τȣ̃ ι. ἐπὶ μὲν γὰρ ὁριςικȣ̃ μόνȣ ἐπεκράτησε τοῦτο διὰ διφθόγγȣ γράφεσθαι. ἐπὶ δὲ τῶν ἄλλων ἐγκλίσεων, καὶ ἐπὶ τῶν μετοχῶν, ἀεὶ διὰ τȣ̃ ι. οἷον ἴδε, ἐπὶ προςακτι-

κȣ̃.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/145 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

κοῦ. ἴδοιμι, ἐπὶ εὐκτικοῦ. ἐὰν ἴδω, ἐπὶ ὑποτακτικοῦ. ἰδὼν, ἐπὶ μετοχῆς. καὶ ἰδεῖν, ἐπὶ τῶν ἀπαρεμφάτων. τὸ δὲ ὑπειδόμενος, διὰ τὸ ἐφεξῆς ἔχειν πολλὰ βραχέα, διὰ διφθόγγου καὶ τοῦτο ἐπεκράτησε γράφεσθαι.

ΤΟΙΓΑΡΟΥ͂Ν. Ποίου μέρους λόγου ἐστί; Συνδέσμου συλλογιστικοῦ. σύγκειται δὲ ἀπὸ τριῶν συνδέσμων, τοῦ τοὶ, τοῦ γὰρ, καὶ τοῦ οὖν. τὸ τοὶ δίφθογγον ο καὶ ι.

Τίνα ἀπὸ τῆς τυ συλλαβῆς ἀρχόμενα, διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ υ ψιλοῦ, ταῦτα. Τύανα. πόλις δὲ ἦν τὰ τύανα πληθυντικῶς, οὕτω λεγομένη ὥσπερ τὰ κέρκυρα, καὶ τὰ φάληρα. αὗται δὲ καὶ θηλυκῶς ἐλέγοντο, ἡ κέρκυρα, καὶ ἡ φάληρα. Τυλίττω, καὶ Ἀνατυλίττω. Τυρεύω, τὸ μηχανῶμαι. Τυκτὸν, τὸ κατεσκευασμένον. Τύμβος, ὁ τάφος. τυμβωρύχος, καὶ τυμβωρύκτης, ὁ ἀνορύττων τοὺς τάφους ἐπὶ τῷ ὠφελεῖσθαι τί. Τύνδαρις, κύριον. Τύπτω. Τυρὸς, τὸ τυρίον. Τυρσηνοὶ, ἔθνος. Τύμπανον. Τύρβη, ἡ φροντίς. ἐξ οὗ τὸ τυρβάζομαι. Τυρβάσαι δὲ κυρίως, τὸ τὸν πηλὸν ταράξαι. Τύραννος, παρὰ μὲν τοῖς παλαιοῖς ὁ βασιλεύς· παρ' ἡμῖν δὲ ὁ παρὰ τοὺς νόμους ἄρχων, καὶ πιέζων τοὺς ὑπὸ χεῖρα ἐπὶ τῷ οἰκείῳ συμφέροντι. Τυτθὸς, ὁ μικρός. Τύφος, ἡ κενοδοξία. Τύφω, τὸ καίω. Τυφὼν, τυφῶνος, εἶδος σκηπτοῦ, ὃς καὶ τυφὼς λέγεται. Τύχη. Τυφλός. Τυφλώττω, ἀντὶ τυφλός εἰμι. τυφλόω δὲ τυφλῶ, ἕτερον. Τύρος, πόλις. Τυννοῦτος, ἀντὶ τοσοῦτος. καὶ ἕτερα.

Διὰ

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγε, ταῦτα. Τοῖχος, ὁ ἐπὶ νηὸς, καὶ οἰκίας. Τοιχωρύχος, ὁ τοὺς τοίχους ὀρύτlων, ἵνα τὰ ἐν τῇ οἰκίᾳ ὑφέληlαι. Τοιχίζειν, ἐπὶ νεὼς, τὸ πλαγιάζειν. Τοὶ, ἀντὶ σοὶ, ἐπὶ δοτικῆς. Τοίνυν. Τοιγάρτοι. Τοιγαροῦν. καὶ ἕτερα.

Α'ΝΘΡΩΠΟΝ. Η' εὐθεῖα, ὁ ἄνθρωπος. καὶ κλίνεlαι τε ἀνθρώπε. ἡ αἰτιατικὴ, τὸν ἄνθρωπον. Πόθεν γίνεται; Α'πὸ τε ἄνω ἀθρεῖν, καὶ τε ὢψ, ὁ ὀφθαλμὸς, ὁ τοῖς ὀφθαλμοῖς ἄνω κατασκευασμένος ὁρᾷν· ἢ παρὰ τε ἀναθρεῖν, ἤτοι ἀναλογίζεσθαι, ἃ ὤπωπεν, ἤτοι ἑώρακεν.

Τὸ θρω, μέγα. Τὰ παρὰ τὴν ωπα ἐν συνθέσει γινόμενα, διὰ τε ω μεγάλε γράφεlαι. οἷον Α'νθρωπος. Πρόσωπον. Μέτωπον. Ε'νώπιον, ἀντὶ ἔμπροσθεν. Βλοσυρωπός. Α'ιμωπός. Σκυθρωπός. Φαιδρωπός. Καλλωπισμός. Δυσωποῦμαι, ἀντὶ ε δύναμαι ῥαδίως ἀντιβλέπειν. ἢ δηλονότι φοβούμενος, ἢ αἰδούμενος. καὶ Δυσωπῶ, ἀντὶ εἰς φόβον ἄγω, ἢ εἰς αἰδῶ. Α'ντωπῶ. καὶ ἕτερα.

Χαροπὸς δὲ, καὶ Μαστροπὸς, ὁ κοινῶς μαυλιστὴς, Χυδροπός. Ε'χθροπός. καὶ ἕτερα. τοιαῦτα οὐ παρὰ τὴν ωπα γινόμενα, διὰ τε ο μικρε γράφεlαι.

ΠΑΡΑΛΕΛΥΜΕ'ΝΟΝ. Κανόνισον. Λύω, ὁ μέλλων λύσω. ὁ παρακείμενος λέλυκα. ὁ παθηlικὸς λέλυμαι. ἡ μετοχὴ ὁ λελυμένος. ἡ αἰτιατικὴ τὸν λελυμένον. καὶ μετὰ τῆς παρὰ προθέσεως, παραλελυμένον.

ὨΚΤΕΙ΄ΡΗΣΕ. Κανόνισον. Οἰκτείρω, τὸ ἐλεῶ. ὁ μέλλων οἰκτειρήσω ἑτεροκλίτως. ὁ ἀόριςος, ᾤκτείρησα. τὸ τρίτον, ᾤκτείρητε. γίνεται δὲ τὸ οἰκτείρω, ἀπὸ τῦ οἶκτος. ὅθεν καὶ τὸ οἰκτίζομαι παθητικῶς ἀεὶ, ἐπὶ τῆς αὐτῆς σημασίας. τὸ δὲ οἶκτος ἀπὸ τῦ οἶτος, ὁ ἐπὶ θανάτῳ ᾀδόμενος θρῆνος. τοὺς οἴτους γὰρ φασιν ὑφειμένως καὶ γοερῶς ᾄδειν. τὸ δὲ οἶτος, ἀπὸ τῦ οἱ θρηνητικῦ ἐπιῤῥήματος. ἀφ' οὗ τὸ οἴμοι, καὶ τὸ οἰμώζω.

ΕΙ῏ΠΕ. Κανόνισον. Ε῎πω, τὸ λέγω, ἄχρηςον. „ παρὰ δὲ τοῖς ποιηταῖς ἐν χρήσει, μετὰ τῆς ἐν „ προθέσεως, ὡς ἐν τῷ, Δεῦτε δὴ ἐννέπετε. καὶ Α῎νδρα μοι ἔννεπε μοῦσα. ἐφ' οἷς καὶ τὸ ν ἐπλεόνασε διὰ τὸ μέτρον. καὶ ἐν ἄλλοις μυρίοις. ὁ πρῶτος ἀόριςος, εἶπα. ὁ δεύτερος, εἶπον, εἶπες, εἶπε.

Τὸ ει, δίφθογγον ε καὶ ι. Τρία εἰσὶ μεταβολικὰ α. ε. καὶ ο τὸ μικρόν. ὧν τὸ μὲν α, εἰς η τρέπεται. οἷον Α᾿γαπῶ, ἠγάπων. τὸ δὲ ο μικρόν. εἰς ω μέγα, οἷον Ο᾿μνύω, ὤμνυον. τὸ δὲ ε, ποτὲ μὲν εἰς η τρέπεται, ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει. καὶ πάντοτε μὲν εἰς η τρέπεται, πλὴν δεκατεσσάρων. οἷον Ε῎χω, εἶχον. Ε῎πω, τὸ λέγω, εἶπον, ὅ ψιλοῦται. καὶ ἐνεργητικῶς ἀεὶ γράφεται. ἕπομαι δὲ τὸ ἀκολουθῶ, ὃ παθητικῶς ἀεὶ γράφεται, καὶ δασύνεται. εἱπόμην. Εἴωθα, καὶ εἰώθειν, καὶ εἰωθὼς κατὰ πλεονασμὸν τῦ ω μεγάλυ, ἀπὸ τῦ ἔθω ἀχρήςυ. Ε῞λκω, τὸ σύρω, εἷλκον. ἡλκωμένος δὲ ἀπὸ τῦ ἑλκόω, ἑλκῶ, διὰ τῦ η. εἷλον, ἀντὶ κατέλαβον. ὡς ἐν τῷ, Σῶον εἷλον. καὶ ἀντὶ ἀνεῖλον

ποιη-

ποιητικῶς, ἐλλειπούσης τῆς προθέσεως, ἀπὸ τοῦ ἔλω ἀχρήστου. Ἕρπω, εἷρπον. ὃ λέγεται ἐπὶ τῶν συρομένων ἐπὶ κοιλίας ζώων. Εἷμαι, ἀντὶ ἐνδέδυμαι, καὶ ἀντὶ κάθημαι, ἀπὸ τοῦ ἕω ἀχρήστου. ἀφ' ὧν εἷμα τὸ ἱμάτιον· καὶ τὸ εἵατο παρὰ ποιηταῖς, ἀπὸ τοῦ εἷντο, κατὰ τροπὴν τοῦ ν εἰς α, ἀντὶ ἐκάθηντο. Ἐῶ τὸ καταλιμπάνω, εἴων. καὶ ταῦτα μὲν, δισύλλαβα. ὑπὲρ δὲ δύο συλλαβὰς, Ἐργάζομαι, εἰργαζόμην. Ἐθίζω, εἴθιζον. Ἑστιῶ, τὸ τὸν κεκλημένον τρέφω, εἱστίων. Ἐρύω, εἴρυον. Ἑλκύω, εἵλκυον. καὶ Ἑρπύζω, εἵρπυζον.

Α'ΙΡΟΝ. Κανόνισον. Αἴρω, τὸ βαστάζω. δηλοῖ δὲ τοῦτο ἐν ἄλλοις καὶ τὸ ἀφανίζω. ὡς ἐν τῷ, Ἦρεν ὄνειδος ἐξ υἱῶν ἰσραήλ. ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος ἦρα, ἦρες, ἦρε. καὶ τὸ προστακτικὸν, ἆρον.

Τὸ α, μακρόν. τοῦτο, ὡς μὲν ἄρχουσα, ὤφειλε συσταλῆναι. ὅμως ὡς παραλήγουσα, ἐξενίκησε μακρὸν φυλαχθῆναι. ἀεὶ γὰρ ἐπὶ τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων, ἡ τῆς παραληγούσης τοῦ ἀορίστου αὔξησις, ἣν ἀπὸ τοῦ μέλλοντος ὁ ἀόριστος αὔξεται (κἂν μὲν ὁ μέλλων διὰ τοῦ ε ψιλοῦ, τῇ προσλήψει τοῦ ι, οἷον μενῶ, ἔμεινα. ἀντὶ δὲ διὰ τοῦ α, τροπῇ τούτου εἰς η. οἷον ψαλῶ, ἔψηλα) φυλάττεσθαι δεῖ καὶ ἐν ταῖς ἄλλαις ἐγκλίσεσιν. ἐν μὲν τοῖς προστακτικοῖς. οἷον Ἔσπειρα, σπεῖρον. ἐν δὲ τοῖς εὐκτικοῖς, οἷον σπείραιμι. καὶ ἐν τοῖς ὑποτακτικοῖς ἐὰν σπείρω. καὶ ἔτι σπεῖραι ἐν τοῖς ἀπαρεμφάτοις. πλὴν ἐνταῦθα μὲν καὶ ἐν τοῖς ἄλλοις ἀορίστοις, ὅσοι τὴν δίφθογγον ἔχουσι, καὶ ὁ χρόνος φυλάττεται, καὶ ἡ δίφθογγος

οὐκ

οὐκ ἀλλοιοῦται. ἐν δὲ τοῖς ἔχουσι τὸ η, καὶ χρόνος ὁ αὐτὸς ἐξ ἀνάγκης φυλάσσεται. τὸ δὲ η, οὐκ ἀκίνητον μένει. τρέπεται γὰρ ἔστιν ὅτε εἰς α· οἷον ἦρα, ἆρον. ἠράμην, ἀραίμην. καὶ ἐπὶ ὑποτακτικοῦ, ἐὰν ἄρω.

ΚΛΙΝΙ´ΔΙΟΝ, ὁ μικρὸς κράββατος. γίνεται δὲ ἀπὸ τοῦ κλίνη. τὸ δὲ κλίνη, ἀπὸ τοῦ ἀνακλίνεσθαι. ὀρθὸν μὲν γὰρ τὸ σῶμα ἑστηκός. κάμπτεται δὲ ἐν τῷ καθέζεσθαι. καὶ ἐκταθὲν ἐπὶ τῆς εὐνῆς ἐν τῷ κοιμᾶσθαι ἀνακλίνεται.

Τὸ κλι, ι. ἀπὸ τοῦ κλίνω. Καὶ ἄλλως. Τίνα ἀπὸ τοῦ νη θηλυκὰ, ἑνικῶς γραφόμενα, καὶ πληθυντικῶς, διὰ τοῦ η γράφεται, καὶ τίνα διὰ τοῦ ι; Διὰ μὲν τοῦ η, ταῦτα. Μυκῆναι. πόλις. Εἰρήνη, σαγήνη, τὸ δίκτυον. Σελήνη. Γλήνη, ἡ κόρη τοῦ ὀφθαλμοῦ. Ἰσμήνη, ὄνομα κύριον. Ἀλκμήνη. Μιτυλήνη, πόλις λέσβου τῆς νήσου. Ἀπήνη, ἡ ἅμαξα. Ὑπήνη, τὸ γένειον. Κυρήνη, πόλις. Γαλήνη. Ἀθῆναι, πόλις. Κρήνη, ἡ κοινῶς πισκίνα. Φήνη, εἶδος ὀρνέου. Μεσσήνη, πόλις. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ι, ταῦτα. Ὑσμίνη, ἡ μάχη, Κλίνη, ὁ κράββατος. Αἰητίνη, ἡ τοῦ αἰήτου θυγάτηρ. Ἀδραστίνη, ἡ τοῦ ἀδράστου. Ἀξίνη. Δίνη, ἡ συστροφὴ τῶν ὑδάτων τοῦ ποταμοῦ. ἀφ᾽ οὗ δινήεις, καὶ βαθυδίνης, καὶ χρυσοδίνης, καὶ ἀργυροδίνης, ἐπίθετα ποταμῶν. λέγεται δὲ δίνη καὶ ἐπὶ στρόμβου, καὶ τροχοῦ, καὶ ἑτέρων τοιούτων στρεφομένων, ἢ κυλιομένων. Δωτίνη, ἡ δωρεά. Εἰλαπίνη, ἡ εὐωχία. Θριδακίνη, τὸ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/150 gefördert von der Deutschen Forschungsgemeinschaft

ἐκ τῆς πεύκης ὑγρόν. Μυῤῥίνη, ἥτις καὶ μυρσίνη λέγεται, ὥσπερ ἄῤῥεν καὶ ἄρσεν. καὶ ἕτερα.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς κλι συλλαβῆς ἀρχόμενα, διὰ τȣ̃ ι γράφεται, καὶ τίνα διὰ τȣ̃ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγȣ; Διὰ μὲν τȣ̃ ι, ταῦτα. Κλίνω, τὸ ἐπερείδω. ὡς παρ' Ὁμήρῳ, Ἀσπίσι
„ κεκλιμένοι. καὶ, Σάκε' ὤμοισι κλίναντες. καὶ κε-
„ κλίσθαι παρ' αὐτῷ, τὸ ὑπότινος περιέχεσθαι. ὡς
„ ἐν τῷ, Κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχον-
„ τες. ἤγουν συγκεκλεισμένοι εἰσὶ, καὶ στενοχωρȣ́μενοι. σημαίνει δ' αὐτῷ τὸ κλίνειν, καὶ τὴν ἐπιῤῥοπήν.
„ ὡς ἐν τῷ, Ἐκλίνθη δ' ἑτέρωσε κάρη. καθὸ λέγε-
„ ται καὶ ἐπὶ παραλάξεως τὸ κλίνειν, ἀντὶ τρέπειν.
„ ὡς ἐν τῷ, Ἔκλινας ἀμαλὴκ ὀλοὸν σθένος. καὶ ὅσα ἀπὸ τούτȣ. οἷον Κλισμὸς, ὁ θρόνος. καὶ κλιντήρ. κλισία, ἡ στρατιωτικὴ σκηνὴ ἡ αὐτοσχέδιος, ἐπὶ στρατοπέδου κατεσκευασμένη, καὶ οὐχ ἡ πολιτική. καὶ ἡ
„ καθέδρα, ὡς παρ' Ὁμήρῳ, Κλισίην εὔκυκλον ἔθηκεν καὶ κλίσιον παρ' αὐτῷ, ἀναλόγως τῇ σκηνῇ, οἶκος μέγας τῶν ἐνταῖς ἐπαύλεσι κατασκευαζομένων, ἐπὶ τῷ κοιμᾶσθαι ἐν αὐτῷ τοὺς ἐργάτας, καὶ τοὺς γεωργοὺς σὺν ταῖς γυναιξὶ καὶ τέκνοις. παρὰ δὲ τοῖς ἀττικοῖς κλίσιον οἶκος μέγας διανεωγὼς εἰς τὸν στενωπὸν, ἐπιτήδειος εἰς ὑποδοχὴν ζευγῶν καὶ ὑποζυγίων, καὶ τῶν ἐχόντων περὶ ταῦτα ἐπιμέλειαν. οἷον τὰ νῦν πανδοχεῖα, ἢ τὰ κτηνοστάσια. τοὺς τοιούτους οἴκους καλȣ̃σι νῦν ἱππῶνας καὶ ἱπποστάσεις, καὶ ὀνοστάσεις, ἢ σταθμά· τινὲς δὲ καὶ σαύλους. τȣ̃ δὲ κλισίȣ τὰς θύρας ἐκάλουν οἱ ἀττικοὶ κλισιάδας. παρ' αὐτοῖς καὶ κλιντήριον, ἡ μικρὰ κλίνη. καὶ ἐπίκλιντρον, μέρος

τὶ τῆς κλίνης. Κλίματα ἐν τῷ κόσμῳ, ἀπὸ τῶν κλίσεων τȣ͂ ἡλίȣ ὠνομασμένα. Κλίμαξ, ἡ κοινῶς σκάλα. Κλιτὺς, τὸ κεκαμμένον τȣ͂ ὄρους. Κλίνη. κλινίδιον. κλινοπετὴς, ὁ ἐπὶ κλίνης κείμενος. κλινήρης, ὁ ἐπὶ κλίνης αἰρόμενος, διὰ τὸ μὴ δύναμιν ἔχειν ἵςαϑαι, ὑπὸ νόσȣ βαρούμενος. Κλίβανος, σκεῦός τι σιδηροῦν, ἐφ᾽ ᾧ τοὺς ἄρτους ὀπλοῦσι, πῦρ ὑποκαύσαντες, καὶ πυρακτώσαντες αὐτόν. καὶ ἕτερα.

Διὰ δὲ τȣ͂ η, ταῦτα. Κλῆροι, τὰ βαλλόμενα κάρφη, καὶ δεικνύοντα τίς τὶ λήψεται ἐπὶ τῶν μεριζόντων. ἢ τὶς τίνι μονομαχήσει ἐπὶ πολέμȣ. ἢ τίς τι τοιȣ͂το ποιήσει. ὃ παρὰ τοῖς κοινοῖς, κάρφος λέγεται. ἀπὸ τούτȣ κλῆρος καὶ ὅπερ ἂν λάβῃ τὶς ἀπὸ μερισμȣ͂. καὶ κληρώσασϑαι, τὸ ὡς μοῖραν λαβεῖν. καὶ κληρȣ͂χος, ὁ διανέμων τοὺς κλήρους. ἤγουν τὰ ἀποκεκληρωμένα· κληρονόμοι δὲ, οἱ λαμβάνοντες αὐτούς. ἰδίως δὲ κληροῦχοι, οὓς οἱ Ἀϑηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάςοις διανεμοῦντας. Κλητὸς, ὁ κληϑείς. καὶ κλητὴ ἡμέρα, ἡ κληϑεῖσα εἰς ὑποδοχὴν τȣ͂ μυςηρίȣ. Κλῆσις, ἡ πρόκλησις. τουτέςι παραγγελία εἰς κρίσιν. Κλητῆρες, οἱ ἄνδρες δι᾽ ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοί τισι. καὶ Κλητεῦσαι, τὸ κλητῆρα γενέσϑαι. Κληδὼν, ἀπὸ τȣ͂ κλέος διδόναι. ἔςι δὲ ἡ αὐτὴ τῇ ὀμφῇ, καὶ τῇ ὄσσῃ. αἱ τινές εἰσιν ἄγγελοι τῶν ϑεῶν. λέγεται κληδὼν καὶ ἡ μεγάλη καὶ ἔνδοξος φήμη. Κλήμης, κύριον. καὶ κλίνεται κλήμεντος. Κλῆμα, τὸ ποιοῦν τοὺς βότρυς. Κληματίδες, τὰ ἀποκεκομμένα τῶν κλημάτων. Κλητώριον, ἐπὶ τῶν κεκλη-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/152 gefördert von der Deutschen Forschungsgemeinschaft

κλημένων εἰς ἑςίασιν. Κληΐζω, τὸ δοξάζω, ποιητικῶς. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγȣ, ταῦτα. Κλείω, τὸ ἀσφαλίζω. ἀφ' ȣ̔ τὸ κεκλείαται παρ' Ὁμήρῳ, ἀντὶ συγκεκλεισμένοι εἰσί. καὶ κλείω, τὸ δοξάζω, ποιητικῶς. ἀφ' ȣ̔ κλειτὸς, ὁ ἔνδοξος. Κλεινίας, κύριον. Κλεὶς, τὸ κλειδίον. καὶ κλίνεται κλειδὸς Κλεινὸς, ὁ ἔνδοξος. Κλεῖθρον, τὸ κλειδίον. Κλειὼ, ὄνομα μιᾶς τῶν ἐννέα μουσῶν. καὶ ὅσα ἀπὸ τȣ̃ κλέος. Ἡράκλειτος. Πολύκλειτος. καὶ ἕτερα.

ΚΛΙΝΙ'ΔΙΟΝ. Τὸ νι, ι. Τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν, καὶ τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων, διὰ τȣ̃ ιδιον γινόμενα οὐδέτερα ὑποκοριςικὰ, διὰ τȣ̃ ι γράφεται. οἷον Μοῖρα, μοιρίδιον. Πύλη, Πυλίδιον. Πόρνη, πορνίδιον. Ψυχὴ, ψυχίδιον. Ἑταίρα, ἑταιρίδιον. Κλίνη, κλινίδιον. πλὴν τȣ̃ γῆ, γήδιον, τὸ χωράφιον· ὃ φυλάττει τὸ η. Ξίφος, ξιφίδιον. Νῆσος, νησίδιον. καὶ ἕτερα.

Τὰ δὲ ἀπὸ τῶν εἰς ις θηλυκῶν διὰ τȣ̃ εως κλινομένων, διὰ τȣ̃ ειδιον γινόμενα, διὰ τῆς ει διφθόγγȣ γράφεται. οἷον Θνῆσις, θνήσεως, θνησείδιον. Ἄλυσις, ἁλύσεως, ἁλυσείδιον. Τάξις, τάξεως, ταξείδιον. Δάμαλις, δαμάλεως, δαμαλείδιον. Κτῆσις, κτήσεως, κτησείδιον. Ῥῆσις, ῥήσεως, ῥησείδιον. Λέξις, λέξεως, λεξείδιον. καὶ ἕτερα.

Τὸ δι, ι. Τίνα διὰ τȣ̃ ιον οὐδέτερα παροξύτονα καὶ προπαροξύτονα διὰ τȣ̃ ι γράφεται; Ταῦτα.

παροξύτονα μὲν, Βιβλίον. Πυξίον. Παιδίον διὰ διφθόγγȣ, ϗ διὰ τȣ̃ ε ψιλοῦ. Σαρκίον. Κρανίον, τὸ ὀςοῦν τῆς κεφαλῆς. ὅταν ἐπιλιπουσῶν τῶν σαρκῶν αὐτὸ καταλίποιτο μόνον. Θηρίον διὰ τȣ̃ η, ϗ διὰ τȣ̃ υ ψιλοῦ. Σιτίον. Κηρίον, τὸ σὺν μέλιτι. κηρὸς δὲ, τὸ κεχωρισμένον τȣ̃ μέλιτος. Χρυσίον, τὸ νόμισμα. χρυσὸς δὲ, αὐτὴ ἡ οὐσία τȣ̃ χρυσȣ̃. Ἑρκίον, τὸ περίφραγμα. Θριγγίον, τὸ αὐτὸ. Κελλίον κοινῶς, τὸ παρὰ τοῖς ἀττικοῖς δωμάτιον. ϗ ἕτερα.

Προπαροξύτονα δὲ, Σωμάτιον. Ἀκάτιον, τὸ μικρὸν πλοῖον. Γραμμάτιον, τὸ μικρὸν γράμμα, ι. γραμματεῖον δὲ, τὸ συμβόλαιον, δίφθογγος. Θεμέλιον. Διδασκάλιον, τὸ μάθημα, ι. διδασκαλεῖον δὲ, τὸ σχολεῖον, δίφθογγος. Ὄργιος, τὸ μυςήριον. Βρεφύλλιον. Μειρακύλλιον. Λογίδριον. Λεξείδιον. Ῥησείδιον. Ἀνθρώπιον, ὑποκοριςικῶς, ι. ἀνθρώπειον δὲ γένος, δ.φθογγος. Δωμάτιον. ϗ ἕτερα.

ΠΕΡΙΠΑ'ΤΕΙ. Συζυγίας πρώτης τῶν περισπωμένων, ἐγκλίσεως προςακτικῆς. Πόθεν γίνεται; Ἀπὸ τῆς περὶ προθέσεως, ϗ τȣ̃ πατῶ. τὸ δὲ πατῶ, ἀπὸ τȣ̃ πάτος.

Ε'ΥΘΕ'ΩΣ. Ἐπίῤῥημα μεσότητος. Τὸ ως, μέγα. Εὐθέως ἐπίῤῥημα, μέγα. εὐθέος δὲ ἐπὶ γενικῆς τῶν ἑνικῶν, ȣ̃ ἡ εὐθεῖα, ὁ εὐθὺς, μικρόν.

Η'ΚΟΛΟ'ΥΘΕΙ. Τὸ θέμα, ἀκολȣθῶ. Πόθεν γίνεται; Ἀπὸ τȣ̃ ἀκόλουθος. ὁ ὁμοκέλευθος. τοῦτο δὲ, ἀπὸ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/154 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

τȣ̃ α μορίȣ τȣ̃ σημαίνοντος τὸ ὁμȣ̃, κὴ τȣ̃ κέλευθος; ὃ σημαίνει κυρίως τὴν διὰ θαλάσσης ὁδόν.

Ε'πὶ τῷ α, ψιλήν. τὸ α πρὸ τȣ̃ κ, ψιλȣ̃ται. ἀκοή, ἄκμων. ἀκόνη.

ΘΕΡΑΠΕΙ'Α. Τὸ α, μακρόν. Τὰ ἀπὸ τῶν διὰ τȣ̃ ευω, εἰς εια γινόμενα θηλυκὰ διὰ διφθόγγȣ, μακρὸν ἔχουσι τὸ α· οἷον Θεραπεύω, θεραπεία. Νηϛεύω, νηϛεία. καὶ τὰ ὅμοια.

ΔΕικνὺς ὁ Χριϛὸς ὅτι κατ' ἀρχὰς τὸν ἄνθρωπον αὐτὸς ἐδημιȣ́ργησε, καὶ ἀπὸ χοὸς διήρτισε, πηλῷ, καὶ νῦν χρησάμενος, ὀμματοῖ τὸν πεπηρωμένον τȣ̀ς ὦπας, καὶ ὡς παντοδύναμος, τῶν ὠπῶν, ἤτοι τῶν ὀφθαλμῶν τὸ φῶς αὐτῷ χαρίζεται.

ΔΕΙΚΝΥ'Σ. Κανόνισον. Δείκνυμι, συζυγίας τετάρτης τῶν εἰς μι. καὶ ὁ παρατατικὸς, ἐδείκνυν. ἡ μετοχὴ, ὁ δεικνὺς.

Ε'ΔΗΜΙΟΥ'ΡΓΗΣΕ. Κανόνισον. Δημιουργέω, δημιουργῶ. ὁ μέλλων δημιουργήσω. ὁ ἀόριϛος ἐδημιούργησα. τὸ δεύτερον, ἐδημιούργησας. τὸ τρίτον, ἐδημιούργησε.

Τὸ δη, η, ϗ τὸ μι, ι. δημηγόρος ϗ δημηγορῶ ῥῆμα, η τὰ δύο. δημιουργὸς δὲ η καὶ ι.

ΚΑΙ' Α'ΠΟ' ΧΟΟ'Σ. Πόσα μέρη λόγου εἰσί; Τρία. Καὶ, σύνδεσμος. ἀπὸ, πρόθεσις. χοὸς, ὄνομα. οὗ ἡ εὐθεῖα, ὁ χοῦς.

Πόσα σημαίνει χοῦς; Δύο. Τὴν εἰς κόνιν λελεπτυσμένην γῆν. ϗ μέτρον ἀττικὸν, ὅπερ ἐχώρει κοτύλας ὀκτώ.

ΔΙΗ'ΡΤΙΣΕ. Κανόνισον. Διαρτίζω. ὁ μέλλων διαρτίσω. ὁ ἀόριστος διήρτισα. τὸ δεύτερον, διήρτισας. τὸ τρίτον, διήρτισε. Πόθεν γίνεται, Ἀπὸ τοῦ ἄρτιον, τὸ ὁλόκληρον.

ΠΗΛΩ͂. Ἡ εὐθεῖα, ὁ πηλός. σημαίνει δὲ δύο. τὴν βεβρεγμένην γῆν. ὅπερ ἐτυμολογεῖται ἀπὸ τοῦ παλάσσω, ὃ δηλοῖ τὸ φύρω, τὸ μιγνύω, ὡς παρ' Ὁμήρῳ, Παλάσσετο δ' αἵματι θώρηξ. ϗ τὸν οἶνον. ὃ γίνεται ἀπὸ τοῦ πάλλω, τὸ κινῶ. εὐανάδοτος γὰρ ὁ οἶνος, ϗ τοὺς πολλῷ χρησαμένους αὐτῷ ταράττει ϗ παραπαίειν ποιεῖ.

Τὸ πη, η. κατὰ τροπὴν τοῦ α εἰς η. Καὶ ἄλλως. Τίνα διὰ ηγος, ϗ ηλος, ϗ ηρος ὀξύτονα, ὀνόματα διὰ τοῦ η γράφεται;

Διὰ μὲν τοῦ ηγος, Ὁδηγός. Χορηγός. Ναυπηγός. Κυνηγός. Φορτηγός. Ὀνηγός. Σιτηγός. Φυτηγός. Ἀρχηγός. Στρατηγός. Ἱππηγός. ϗ ἕτερα.

Διὰ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/156 gefördert von der Deutschen Forschungsgemeinschaft

Διὰ δὲ τȣ͂ ηλος, ταῦτα. Υ'ψηλός. Χαμηλός. Υ'πνηλός. Μιμηλός. Σιγηλός. Σιωπηλός. Αἰσχυντηλός. Πηλός. Τρυφηλός. Χηλὸς, τὸ κιβώτιον. καὶ ἕτερα. Χιλὸς δὲ, ἡ τροφὴ τῶν βοσκομένων ζώων. Νεογιλὸς, ὁ νεωστὶ τεχθείς. Ψιλὸς, ὁ γυμνός. καὶ Δαψιλῶς ἐπίῤῥημα, ἀντὶ πλουσίως, ἀπὸ τȣ͂ δαψιλής, διὰ τȣ͂ ι.

Δειλὸς δὲ, ὁ ἀκάρδιος, ἀπὸ τȣ͂ δεδιέναι τὰς ἴλας, ἤγουν τὰς τάξεις, διὰ διφθόγγȣ.

Διὰ δὲ τȣ͂ ηρος, ταῦτα. Πονηρὸς, ὁ τὴν γνώμην διεστραμμένος. Πόνηρος δὲ προπαροξυτόνως, ὁ γεωργὸς, ἤγουν ὁ αὐτουργὸς, καὶ περὶ τὴν γῆν πονȣ́μενος. Ο'κνηρός. Καματηρός. Ξηρός. Γερηρός. Κηρὸς. Πηρὸς, ὁ βεβλαμμένος τὶ μέλος. Κομπηρός. καὶ ἕτερα.

Κιῤῥὸς δὲ, ὁ κίτρινος. Σιῤῥὸς, ὁ λάκκος. καὶ Ι'ρὸς, ὁ Ι'ερὸς, διὰ τȣ͂ ι.

Καὶ ἄλλως. Πηλὸς, η. πῖλον δὲ, τὸ κέντουκλον, ι.

ΧΡΗΣΑ'ΜΕΝΟΣ. Κανόνισον. Χράομαι, Χρῶμαι. ὁ μέλλων χρήσομαι. ὁ μέσος ἀόριστος ἐχρησάμην. ἡ μετοχὴ ὁ χρησάμενος.

Ι'στέον δὲ ὅτι τοῦτο ἐπὶ μὲν τῶν ἐνεργητικῶν δηλοῖ τὸ μαντεύειν, ἐπὶ δὲ τῶν παθητικῶν, τὸ χρείαν ἔχειν. καὶ ἄλλα δὲ πολλὰ ῥήματα ἐπὶ τῶν ἐνεργητικῶν ἄλλο δηλοῦσι, καὶ ἐπὶ τῶν παθητικῶν ἄλλο. οἷον

τὸ κομίζω. δηλοῖ γὰρ τοῦτο ἐπὶ μὲν τοῦ ἐνεργητικοῦ, τὸ φέρω· ἐπὶ δὲ τοῦ παθητικοῦ, τὸ λαμβάνω. καὶ ἕτερα. συντάσσεται δὲ τὸ χρᾶμαι ἀεὶ δοτικῇ.

Ο'ΜΜΑΤΟΙ῀. Κανόνισον. Ὀμματόω, ὀμματῶ. συζυγίας τρίτης τῶν περισπωμένων. τὸ δεύτερον, ὀμματόεις, ὀμματοῖς. τὸ τρίτον, ὀμματόει, ὀμματοῖ. γίνεται δὲ ἀπὸ τοῦ ὄμμα. τὸ δὲ ὄμμα, ἀπὸ τοῦ ὦμμαι. οὗ τὰ ἐνεργητικὰ καὶ τὰ παθητικὰ ἄχρηστα. πλὴν τοῦ ὄψομαι, καὶ τοῦ ὦπται ἐπὶ τοῦ παθητικοῦ παρακειμένου.

Ἐπὶ τὸ ὀμ, ψιλήν. Τὸ ο πρὸ τοῦ μ, μεθ' οὗ ἐστιν ἕτερον σύμφωνον, ψιλοῦται. οἷον ὄμφη. ὄμβρος. ὄμφαξ, ἡ ἄωρος σταφυλή. ὄμμα.

ΤΟ'Ν ΠΕΠΗΡΩΜΕ'ΝΟΝ. Ἡ εὐθεῖα, ὁ πεπηρωμένος. Κανόνισον. Πηρόω πηρῶ. ὁ μέλλων πηρώσω. ὁ παρακείμενος πεπήρωκα. ὁ παθητικὸς, πεπήρωμαι. ἡ μετοχὴ ὁ πεπηρωμένος. ἡ αἰτιατικὴ τὸν πεπηρωμένον. γίνεται δὲ τὸ πηρῶ, ἀπὸ τοῦ πηρός. τὸ δὲ πηρὸς, ἀπὸ τοῦ πήθω, τὸ πανθάνω. ὅπερ ἐστὶν ἄχρηστον.

ΚΑΙ' ΩΣ ΠΑΝΤΟΔΥ'ΝΑΜΟΣ. Πόσα μέρη λόγου εἰσίν; Τρία. Καὶ, σύνδεσμος. ὡς, ἐπίῤῥημα. παντοδύναμος, ὄνομα.

Ἰστέον ὅτι τὸ ὡς πολύσημόν ἐστιν. ἔστι γὰρ ἐπίῤῥημα παραβολῆς, ἢ ὁμοιώσεως. λαμβάνεται καὶ ἀντὶ ὅτι. καὶ ἀντὶ ἵνα, ὅτε καὶ ὑποτάσσει. καὶ ἀντὶ

ἕως.

ζως. κὶ ἀντὶ λίαν. κὶ ἀντὶ οὕτω. καὶ ἀντὶ πολλῶν ἑτέρων. ἐν τούτοις δὲ πᾶσι δασύνεται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται. ὃς δὲ ἄρθρον ὑποτακτικὸν, ὃ καὶ ἀντὶ οὗτος λαμβάνεται (εἴρηται γὰρ οἰκείως ἔχειν τὰ ἄρθρα, μεταπίπτειν εἰς ἀντωνυμίας) δασύνεται καὶ ὀξύνεται, κὶ διὰ τοῦ ο μικροῦ γράφεται.

Παντοδύναμος, ἐστὶν ὁ πάντα δυνάμενος. γίνεται δὲ ἀπὸ τοῦ παντὸς καὶ τοῦ δύναμις. δύναμις δὲ ἀπὸ τοῦ δύναμαι. οὗ τὰ ἐνεργητικὰ οὐκ εἰσὶν ἐν χρήσει. τὸ γὰρ παθητικὸν ἀνεδέξατο τὴν δύναμιν τῶν ἐνεργητικῶν. τοῦτο δὲ καὶ ἐν ἄλλοις πλείστοις συμβαίνει.

Τὸ δυ. ψιλόν. Τίνα ἀπὸ τῆς δυ συλλαβῆς ἀρχόμενα, διὰ υ ψιλοῦ γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ υ ψιλοῦ, ταῦτα. Δύω, τὸ εἰσέρχομαι, κοινῶς· ποιητικῶς δὲ, τὸ φορῶ. ἤγουν τὸ κοινῶς ἐνδύω. καὶ τὸ ἐκδύω, ἢ περιδύω. σύνηθες γὰρ τοῖς ποιηταῖς, ὡς εἴρηται, πολλὰ λέγειν ἐλλείποντα προθέσεσι. ἀπὸ τούτου, νήδυμος ὕπνος, ὁ μὴ δύνων, μηδὲ περιεχόμενος, ἀλλ᾽ αὐτὸς περιέχων. καὶ ἀμφίδυμοι λιμένες, εἰς οὓς ἐστι δύνειν. καὶ δίδυμοι, δύο ἀπὸ μιᾶς καταδύσεως τῆς γαστρός. καὶ δύσις ἡλίου, ἢ τοιούτου τινός. Δύνω, τὸ αὐτό. ἀφ᾽ οὗ δύνημι ἄχρηστον. οὗ τὸ παθητικὸν, δύναμαι. καὶ ἔστιν, ὡς εἴρηται, ἐν χρήσει. ἀφ᾽ οὗ πάλιν δύναμις, καὶ δυνατός. Δύο, ἐπὶ ἀριθμοῦ. δυάς. Δυῤῥάχιον, πόλις. Δύσκολος, ὁ δυσάρεστος. Δύη, ἡ ὑπομονὴ καὶ τλημοσύνη. Δυς μόριον, ὅπερ λαμβάνεται ἐπὶ δυοῖν, ἐπὶ τοῦ κακοῦ, καὶ ἐπὶ τοῦ δυσκόλου. ἀφ᾽ οὗ Δύσμορος, ἐπὶ τῆς σημασίας τοῦ κακοῦ. ἤγουν ὁ κακοθάνατος.

τος. Δυσώνυμος. Δυσγενής. Δυσκλεής. Δυσθυμία. Δυσχωρία. Δυσσεβής. ἐπὶ δὲ τῆς σημασίας τοῦ δυσκόλου, Δύσεργον, τὸ, τὸ δύσκολον ἔχον τὴν ἐργασίαν. Δύσερως, ὁ ἀμήχανον ἔχων τὸν ἔρωτα. Δυσέφικτον, οὗ δυσκόλως ἄντις ἐφίκοιτο. Δύσληπτον, τὸ αὐτό. Δύσσωος, ὁ δυσκόλως σωζόμενος. Δύσκωφος, ὁ τὸ πλέον μὲν κωφὸς, ἐκ μέρους δὲ καὶ ἀκούων. Δυσχερής. Δυσφορῶ, τὸ δυσκόλως φέρω. ᾧ ἐναντίον τὸ εὐφόρως φέρειν, παρ' Ἱπποκράτει. Δυσανασχετῶ, ἤγουν οὐ δύναμαι ῥᾳδίως ἀνέχεσθαι. Δυστράπελος, ὁ σκληρός. ᾧ ἐναντίον τὸ εὐτράπελος. εὐτράπελος δὲ ἐστιν, ὁ γελοιαστής. καὶ ἕτερα.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγου, ταῦτα. Δοίδυξ, τὸ κοχλιάριον. Δοιοὶ, οἱ δύο. ἀφ' οὗ ἐνδοιάζω, τὸ ἀμφιβάλλω, καὶ ἐν διπλῇ γνώμῃ τίθεμαι. καὶ ἐνδοιασμός. Δοίη, εὐκτικὸν, ἀπὸ τοῦ δίδωμι. καὶ ἕτερα.

ΤΩ͂Ν ΩΠΩΝ. Ἡ εὐθεῖα, ὁ ὤψ. Πόθεν γίνεται; Ἀπὸ τοῦ ὄψομαι κατὰ ἀποκοπὴν, καὶ τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα. τὰ γὰρ εἰς ωψ ἀρσενικὰ μονοσύλλαβα, πάντα διὰ τοῦ ω μεγάλου γράφεται. οἷον Ῥὼψ, τὸ κοινῶς ῥωπάκιον. Θὼψ, ὁ κόλαξ. Σκὼψ, εἶδος ὀρνέου. Κλὼψ, ὁ κλέπτης. καὶ ἕτερα. κλίνονται δὲ ταῦτα πάντα διὰ τοῦ ω μεγάλου. Ὄψ δὲ ἡ φωνὴ, εἰ καὶ μονοσύλλαβόν ἐστιν, ἀλλ' οὐκ ἀρσενικοῦ ἐστι γένους, ὅθεν οὐδὲν οὖν ἀντίκειται τῷ λόγῳ, εἰ διὰ τοῦ ο μικροῦ γράφεται.

ἨΤΟΙ. Ποίου μέρους λόγου ἐστὶν ἐνταυθοῖ; Ἐπιῤῥήματος διαστατικοῦ, ἀντὶ ἤγουν. ἐν ἄλλοις δὲ καὶ

σύν-

σύνδεσμός ἐςι. παρὰ μὲν τοῖς ποιηταῖς συμπλεκτικὸς, ὁ αὐτὸς τῷ μεν· τούτῳ μόνον αὐτȣ͂ διαφέρων, ὅτι ἐκεῖνος μὲν παρὰ τοῖς κοινοῖς ἐν χρήσει, οὗτος δὲ παρὰ τοῖς ποιηταῖς. καὶ ὅτι ἐκεῖνος μὲν ὑποτάσσεται, οὗ- „ τος δὲ προτάσσεται. οἷον Η῎τοι ὅ γ᾽ ὣς εἰπὼν κατ᾽ ἂρ ἕζετο. ἀνταποδοτικὸς δὲ ἐςιν αὐτȣ͂ αὐτὰρ, ὃς καὶ ἀτὰρ λέγεται. ὥσπερ ὁ δὲ, τȣ͂ μέν. τούτῳ καὶ οὗτος διαφέρων τοῦδε, ὅπερ ὁ ἤτοι τȣ͂ μέν. τ᾽ ἄλλα δὲ ὁ αὐτός. τὸ δέ ἀτὰρ χωρὶς τȣ͂ υ, καὶ παρὰ τοῖς λογογράφοις ἐςὶν ὅτε ἐν χρήσει· παρὰ δὲ τοῖς ἀττικοῖς, τὸ ἤτοι σύνδεσμός ἐςι διαζευκτικὸς, ἀντὶ ἤ. τȣ͂ τοι παραπληρωματικȣ͂ προσλαμβανομένȣ παρ᾽ αὐτοῖς ἐνταυθοῖ. ὥσπερ τȣ͂ γε, ἐν τῷ ἔγωγε· καὶ ἄλλȣ ἐν ἄλλοις δι᾽ ἔπαρσιν τȣ͂ λόγȣ καὶ ὄγκον. τὸ δὲ η δηλοῖ ἑπτά. λαμβάνεται γὰρ ἐνίοτε μὲν ὡς σύνδεσμος διαζευκτικός. ἐνίοτε ὡς ἐπίῤῥημα, ἢ διασαφητικὸν, ἢ διαπορηματικὸν, ἢ βεβαιωτικὸν, ἢ τοπικὸν, ἢ ὁμοιωματικόν. ἤγουν ἀντὶ καθά. ἐνίοτε δὲ ἄρθρον ἐςὶν ὑποτακτικὸν, γένους θηλυκȣ͂. καὶ ἐπὶ μὲν τῶν τριῶν ψιλοῦται καὶ ὀξύνεται. ὅτε δὲ ἐπὶ βεβαιώσεως κεῖται, ἤγουν ἀντὶ ὄντως, ψιλοῦται καὶ περισπᾶται. ὅτε δὲ τοπικόν ἐςιν ἐπίῤῥημα, δηλοῖ τὸ ὅπȣ. καὶ ὅτε ὁμοιωματικὸν, ἀντὶ καθά. καὶ ὅτε ἄρθρον ἐςὶν, ἀεὶ δασύνεται καὶ περισπᾶται. γράφεται δὲ ἐν ἅπασι τούτοις διὰ τȣ͂ η.

ΤΩ'Ν Ο'ΦΘΑΛΜΩ'Ν. Η῾ εὐθεῖα, ὁ ὀφθαλμός. Πόθεν γίνεται; Α᾽πὸ τȣ͂ ὄπτω, τὸ βλέπω· ὅπερ ἐςὶν ἄχρηστον· καὶ τȣ͂ ἅλλομαι τὸ πηδῶ. ὅτι διὰ τούτου ἡ ὀπτικὴ δύναμις εἰς τὰ ὁρατὰ πεμπομένη ἐνεργεῖ.

Τὸ ο, μικρόν. Τὸ ο πρὸ τοῦ φ, ἐνίοτε μὲν διὰ τοῦ ο μικροῦ γράφεται, ἐνίοτε δὲ διὰ τοῦ ω μεγάλου. Ἐν τίσι διὰ τοῦ ο μικροῦ; Ἐν τούτοις. Ὄφρα, ἀντὶ ὅπως. Ὀφνεὶ, κύριον. Ὀφφίκιον, διὰ δύο ΦΦ. ἔστι μὲν ἡ λέξις ῥωμαϊκή. ἐπὶ τίνος δὲ λέγεται, δῆλον ἀπὸ τούτου, ὀφφικιάλιος. Ὀφείλω, τὸ χρεωστῶ. ἀφ᾽ οὗ ὀφειλὴ, τὸ χρέος. καὶ ὀφείλημα. καὶ ὀφειλέσιον. καὶ ὄφλημα, ἐπὶ τοῦ αὐτοῦ. καὶ ὀφειλέτης, ὁ χρεώστης. Ὀφλισκάνω, τὸ αὐτό. Ὀφέλλω, τὸ αὐξάνω. Ὀφθαλμὸς. Ὄφελος. ὅπερ οὐδ᾽ ὅλως κλίνεται. Ὄφελον, ἀντὶ εἴθε. ὅπερ ἀεὶ εὐκτικῷ συντάσσεται, ἢ παρεληλυθότι χρόνῳ. εὐκτικῷ μὲν, ὡς ἐν τῷ, Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. Παρεληλυθότι δὲ χρόνῳ, ὡς παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, ὡς Ὄφελόν γε μηδὲ ἦν προεδρία. καὶ ἐν ἑτέροις.

Ἐν τίσι διὰ τοῦ ω μεγάλου; Ἐν τούτοις. Ὤφελον, ἀντὶ ἐχρεώστουν. ὃ καὶ ὤφελον λέγεται. καὶ ἐπὶ δευτέρου, ὤφελες. καὶ ἐπὶ τρίτου, ὤφελεν. ἅτινα ἀεὶ ἀπαρεμφάτῳ συντάσσεται. ὡς ἐν τῷ, Μὴ ὄφε-
„ λες πύματόν με καὶ ὕστατον ἐξερέεσθαι, καὶ τοῦτο
„ τὸ δεύτερον πρόσωπον, ἀπὸ τοῦ ὄφελον ἀντὶ εἴθε διακρίνεται, συνεμπίπτον αὐτῷ κατὰ τὴν ἐκφώνησιν. καὶ ὅτι ἐκεῖνο μὲν, ἢ μόνον λέγεται, ἢ μετὰ τοῦ ως· τοῦτο δὲ, καὶ μόνον, καὶ μετὰ τοῦ ἀρνητικοῦ ἐπιῤῥήματος, καὶ μετὰ τοῦ ως, προσόντος καὶ τοῦ ἐπιῤῥήματος. οἷον οὐκ ὤφελον, καὶ ὡς οὐκ ὤφελον. καὶ ἔτι, ὡς μήποτ᾽ ὤφελον. Ὠφελῶ. ὠφέλεια. ὠφέλιμος. καὶ ἐν ἑτέροις.

ΧΑΡΙ'ΖΕΤΑΙ. Κανόνισον. Χαρίζω, ἄχρηστον, καὶ πάντα τὰ ἐνεργητικὰ αὐτοῦ. καὶ τὸ παθητικὸν, χαρίζομαι. τὸ δεύτερον, χαρίζῃ. τὸ τρίτον, χαρίζεται. σημαίνει δὲ δύω· τὸ δωρεῖσθαι, καὶ τὸ χάριν ποιεῖν καὶ συντάσσεται δοτικῇ καὶ ἀμφότερα.

ΤΟῦ σχεδογραφεῖν ἀρχόμενοι, οἱονεί τι βάθρον καὶ θεμέλιον κάλλιστόν τε καὶ ἰσχυρόταλον, τὴν ὑμετέραν βοήθειαν ὦ τοῦ σωτῆρος θειόταλοι κήρυκες προβαλλόμεθα, ἐπικεκλημένοι τὴν ὑμῶν τῶν κορυφαίων τοῦ Χριστοῦ μαθητῶν, καὶ ἀρχηγῶν τῆς πίστεως ἀρωγήν. οἳ καὶ ἡμῖν ἀρήγοιτε, φῶς παρέχονλες γνώσεως, καὶ πᾶσαν στροφὴν ἑλιγματώδη τοῦ σχέδους θείητε εὐμαρῆ. ὑμῖν γὰρ ἀναθέμενοι τὴν ἐλπίδα, ἐγχειροῦμεν τῷ τοιούτῳ ἐγχειρήματι.

Τὸ ΟΙ'ΟΝ. Ὄνομά ἐστιν ἀναφορικόν. καὶ ἀπὸ τούτου γίνεται οἷον, καὶ οἱονεὶ, ἀντὶ ὡσανεὶ, ἐπίῤῥημα παραβολῆς, ἢ ὁμοιώσεως. καὶ οἷον σχετλιαστικόν. ὡς τὸ, Οἷον ἔπαθον.

Τὸ

Τὸ οι, δίφθογγος. Τίνα ἀπὸ τοῦ οιος προπερισπώμενα, διὰ τῆς ο καὶ ι διφθόγγου γράφεται; Ταῦτα. Παντοῖος. Γελοῖος. Ὁποῖος. Ἑτεροῖος. Ἀλλοῖος. Τοῖος, ὁ τοιοῦτος. Ὁμοῖος, ὁ ὅμοιος. Οἷος, ὁ ὁποῖος, δασυνόμενον. Οἶος, ὁ μόνος, ψιλούμενον. καὶ ἕτερα.

Ἐπὶ τῷ οι, δασεῖαν. Τὰ κατὰ ἀποβολὴν τοῦ τ γινόμενα ὀνόματα, καὶ τὰ ἀναφορικὰ δασύνονται. οἷον Ὅιος, ὅσος. ὁποῖος. ὁπόσος. ὁπηλίκος. ὁπόταν. ὁπηνίκα.

Τὸ νει, δίφθογγον. αἱ εἰς ι ἐπεκτάσεις, τὸ ι ἔχουσιν. οἷον Δευρί. Νυνὶ τουτωνί. Οὑτοσί. Ἐκεινοσί. ἐνθαδί. τὸ δὲ Ὡσανεὶ, καὶ Ὡσεί. καὶ Ὡσπερεί. καὶ Οἱονεί. καὶ καθαπερεὶ, οὐ κατ' ἐπέκτασιν οὕτω γίνονται, ἀλλὰ κατὰ σύνθεσιν τοῦ ει συναπτικοῦ συνδέσμου. διὸ καὶ διὰ διφθόγγου γράφεται. ὅτι δὲ σύνθετά εἰσι, δῆλον ἀπὸ τῆς διαλύσεως. οἷον Ὡς εἰ ἔλεγε. καθάπερ εἰ τόδε ἐποίει.

Τὸ ον, μικρόν. τὰ ἀπὸ ὀνομάτων γιγνόμενα ἐπιῤῥήματα, ἀφ' ἧς γίνονται πλώσεως, τὴν γραφὴν αὐτῆς φυλάττουσι καὶ τὸν τόνον.

ΤΙ'. Ποίου μέρους λόγου ἐστίν; Ὀνόματος. Τίς ὁ κανών. Τὰ εἰς σ λήγοντα ἀρσενικὰ μετὰ διχρόνου, εἰ ποιοῦσιν οὐδέτερον, κατὰ ἀποβολὴν τοῦ σ ποιοῦσιν αὐτό. οἷον Ἡδὺς, ἡδύ. Μέγας, μέγα.

Ἰστέον ὅτι τοῦτο τὸ τὶς, ἐνίοτε μὲν ἀόριστόν ἐστιν, ὅτε καὶ ἐγκλίνεται. οἷον Εἴρηκέ τις. καὶ ἐπὶ τῆς γε-

νικῆς ὀξύνεται. οἷον Τινὸς ἀνθρώπου εὐφόρησεν ἡ χώρα. ἐνίοτε δὲ ἐρωτηματικόν ἐστιν, ὅπερ οὔτε ἐγκλίνεταί ποτε, καὶ τὴν γενικὴν παροξύτονον ἀεὶ ἔχει. καὶ ὅτι παρὰ τὴν ἀκολουθίαν κλίνεται τῶν εἰς ις ἀρσενικῶν μονοσυλλάβων, καὶ διὰ τοῦ ι γραφομένων, ἤγουν τοῦ κις, καὶ τοῦ λις, ἃ κλίνονται κιὸς, καὶ λιὸς, διὰ καθαροῦ τοῦ ος. τοῦτο δὲ καὶ διὰ τοῦ νος. τὸ δ' αἴτιον, ὅτι ἐκεῖνα μὲν μονογενῆ εἰσι, καὶ διὰ τοῦτο καὶ τὸ ι μακρὸν ἔχουσι, καὶ περισπῶνται. τοῦτο δὲ τριγενὲς, διὰ τοῦτο καὶ τὸ δίχρονον βραχὺ ἔχει, καὶ ὀξυτονούμενόν ἐστι. κλινομένοις οὖν ἐκείνοις τὴν ἑαυτῶν κλίσιν, οὐκ ἔτι ἀναγκάζεται τοῦτο ἀκολουθῆσαι αὐτοῖς οὕτω παραλλάττων. κλίνεται οὖν ἰδίαν τινὰ κλίσιν διὰ τοῦ νος.

ΒΑ'ΘΡΟΝ λέγεται τὸ θεμέλιον. καὶ ἐτυμολογεῖται ἀπὸ τοῦ τὴν βάσιν τηρεῖν, ἤγουν τὴν στάσιν τῶν ἐποικοδομουμένων.

ΘΕΜΕ'ΛΙΟΝ.. δὲ Ἀττικῶς, (ὃ καὶ θεμέλιος λέγεται παρὰ τοῖς κοινοῖς ἀρσενικῶς, ἀπὸ τοῦ ὑποτίθημι) τὸ ὑποτιθέμενον τῇ ἄλλῃ οἰκοδομίᾳ.

Τὸ με, ψιλόν. Τίνα διὰ τοῦ ελιον. ὀνόματα, διὰ τοῦ ε ψιλοῦ γράφεται; Ταῦτα. Ἀσκέλιον, τὸ παρὰ τὸ καθῆκον. Θεμέλιον. καὶ ἕτερα. Αἴλιος δὲ ὄνομα κύριον, διὰ διφθόγγου.

ΚΑ'ΛΛΙΣΤΟΝ. Ποίου γένους; Οὐδετέρου, Ποίου εἴδους τῶν Παραγώγων; Ὑπερθετικοῦ.

Τὸ

Τὸ λι, ι. ἀπὸ τοῦ κάλλιον συγκριτικοῦ. Καὶ τίνα εἰς ων συγκριτικὰ, τῷ ι μόνῳ παραλήγονται; Ταῦτα. Κάλλιον. Βέλτιον. Ἥδιον. Γλύκιον. καὶ ἕτερα.

Τίνα τῇ ει διφθόγγῳ παραλήγεται; Ταῦτα. Πλεῖον. Χέρειον. Ἄρειον. Μεῖζον. Κρεῖττον. καὶ ἕτερα.

Ἰστέον δὲ ὅτι τούτων τῶν εἰς ον συγκριτικῶν, τὰ μὲν δισύλλαβα, εἴτε τῇ ει διφθόγγῳ παραλήγεται, εἴτε ἑτέραν παραλήγουσαν ἔχει, φυλάττει αὐτὴν καὶ ἐν τοῖς ὑπερθετικοῖς. οἷον Πλεῖον, πλεῖστον. Ῥᾷον, ῥᾷστον. Λῷον, λῷστον. τὰ δὲ ὑπὲρ δύο συλλαβὰς, εἰ μὲν τῇ ει διφθόγγῳ παραλήγεται, συστέλλει αὐτὴν εἰς ι. οἷον Ἄρειον, ἄριστον. Χέρειον, χείριστον. εἰ δὲ τῷ ι, ἐπεὶ οὐκ ἔχει τοῦτο εἰς ὅ, τι ἂν ἄλλο συσταλείη, φυλάττει πάλιν αὐτό. οἷον Κάλλιον, κάλλιστον. Βέλτιον, βέλτιστον. Ἥδιον, ἥδιστον. Γλύκιον, γλύκιστον.

ἸΣΧΥΡΟΤΑΤΟΣ. Ποίου εἴδους τῶν παραγώγων; Ὑπερθετικοῦ. τούτου τὸ ἁπλοῦν, ὁ ἰσχυρὸς, ὃ γίνεται ἀπὸ τοῦ ἰσχύς. τὸ δὲ ἰσχύς, ἀπὸ τοῦ ἔχω, τὸ κρατῶ, οὕτως. ἔχω, καὶ πλεονασμῷ τοῦ σ, ἴσχω διὰ τοῦ ι. τὸ γὰρ ε, ἡνίκα πλεονάσει σύμφωνον, τρέπεται εἰς ι. οἷον Ἔχω, ἴσχω. μένω, μίμνω. ῥέπω, ῥίπτω. τοῦτο κατὰ παραγωγὴν γίνεται ἰσχύω. ὁ μέλλων ἰσχύσω. καὶ ἀπὸ τούτου κατὰ ἀποβολὴν τοῦ ω ἰσχύς.

Ἐπὶ τῷ ι, ψιλήν. Τὸ ι πρὸ τοῦ σ, ᾧ μὴ ὑποτέτακται τὸ τ, ψιλοῦται. οἷον Ἰσχύς. ἴσχω, ἰσχάνω. ἰσχάς.

χάς. ἵσημι. ᾧ μὴ ὑποτέτακται. τὸ τ, εἴρηται. ὅτι τὰ ἐπιφερόμενα αὐτὸ, δασύνονται. οἷον ἱσορία. ἵσημι. τὸ δὲ ἱσέον ψιλοῦται, διότι ἀπὸ τοῦ ἴσημι γέγονεν.

Ι'σχυρός. Τὸ χυ, ψιλόν. Τίνα διὰ τοῦ υρος, διὰ τοῦ υ ψιλοῦ γράφεται; Ταῦτα. Α'λμυρός. Βδελυρός. Ε'κυρὸς, ὁ πενθερός. Πυρὸς, ὁ σῖτος. Τυρὸς, τὸ τυρίον. Ι'σχυρός. Ο'χυρός. Ξυρὸς, τὸ ξυράφιον. Ο'ϊζυρός. Σάτυρος, προπαροξυτόνως. καὶ ἕτερα.

Τὸ χυ, μακρόν ἐστιν ἢ βραχύ; Μακρόν. Τὰ διὰ τοῦ υρος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ υ ψιλοῦ γραφόμενα, εἰ μὲν ἔχουσι τὴν ἀπὸ τέλους τρίτην συλλαβὴν μακρὰν φύσει ἢ θέσει, μακρὰν ἔχουσι καὶ τὴν παραλήγουσαν. εἰ δὲ βραχεῖαν, βραχεῖαν πάλιν καὶ αὐτήν.

Υ'ΜΕΤΕ'ΡΑΝ. Η' εὐθεῖα, ἡ ὑμετέρα. ἔστι δὲ ἀττικὴ ἀντωνυμία, ἀπὸ τοῦ ὑμεῖς παραγομένη.

Τὸ υ, ψιλόν. ἡμεῖς, ἐπὶ μὲν πρώτου προσώπου, ἡ ἐπὶ δὲ δευτέρου, ψιλόν.

Καὶ ἄλλως. Τίνα πρὸ τοῦ μ τὸ υ ψιλὸν ἔχουσιν ἐν ἀρχῇ λέξεως, καὶ τίνα τὴν διὰ τοῦ ο καὶ ι διφθόγγου; Τὸ μὲν υ ψιλὸν, ταῦτα. Υ'μὴν, τὸ λεπτότατον δέρμα τῆς παρθενίας. ἀφ' οὗ ὑμέναιος, ὁ ἐπιθαλάμιος ὕμνος. Υ'μηττὸς, ὄρος περὶ τὰς Α'θήνας, ἐν ᾧ ἄρισον μέλι ἐγένετο. Υ'μνος. Υ'μμες, καὶ Υ'μεῖς, ἀντωνυμίαι δευτέρου προσώπου. καὶ ἕτερα.

Τίνα τὸ οι διὰ τῦ ο καὶ ι διφθόγγυ; Ταῦτα. Οἶμος, ἡ ὁδός· ἀφ' οὗ παροιμία, καὶ προοίμιον. ὃ καὶ φροίμιον λέγεται. Οἶμαι, ἀντὶ ὑπολαμβάνω Οἰμώζω, τὸ θρηνῶ. ἀφ' ὗ οἰμωγὴ, ὁ θρῆνος. Οἴμοι, ἀντὶ φεῦ. καὶ ἕτερα.

Τὸ με, ψιλόν. Τὰ διὰ τῦ αιτερος, καὶ αιτατος προπαροξύτονα ὑπερβαίνοντα τὴν τρισυλλαβίαν, εἰ μὲν ἔχουσι τὴν ἀπὸ τέλους τετάρτην συλλαβὴν βραχεῖαν, διὰ τῆς αι διφθόγγυ. ἔχουσι τὴν μετ' αὐτὴν, ἤγουν τὴν ἀπὸ τέλους τρίτην. οἷον Παλαίτερος, παλαίτατος. Προυργιαίτερος, προυργιαίτατος. Πρωϊαίτερος, πρωϊαίτατος. Μεσαίτερος, μεσαίτατος. Ὀψιαίτερος, ὀψιαίτατος. Γεραίτερος, γεραίτατος. καὶ ἕτερα. Εἰ δὲ μακρὰν ἔχουσι τὴν ἀπὸ τέλους τετάρτην, διὰ τῦ ε ψιλῦ τὴν μετ' αὐτὴν ἔχουσιν, ἤγυν τὴν ἀπὸ τέλυς τρίτην. οἷον Ὑμέτερος, καὶ ἡμέτερος. ἅτινα διὰ τῦ εταῖος οὐκ ἔχουσιν· οὐδὲ γάρ εἰσι συγκριτικά· Τὰ δὲ τρισύλλαβα ἀεὶ διὰ τῦ ε ψιλῦ γράφεται. οἷον Ἕτερος. Σφέτερος.

ΒΟΗ'ΘΕΙΑΝ. Ἡ εὐθεῖα, ἡ βοήθεια. Πόθεν γίνεται; Ἀπὸ τῦ βοηθῶ. τὸ βοηθεῖν δὲ λέγεται κυρίως ἐπὶ τῆς μάχης. ὥσπερ τὸ βοηδρομεῖν, ἀπὸ τῦ ἐπὶ τὴν βοὴν θεῖν, ἤγουν τὴν μάχην. ὡς παρ' Ὁμήρῳ, „ Βοὴν ἀγαθὸς μενέλαος.

ΘΕΙΟ'ΤΑΤΟΣ. Ποίυ μέρους λόγυ ἐστίν; Ὀνόματος. Ποίυ εἴδους τῶν παραγώγων; Ὑπερθετικῦ. τούτυ τὸ ἁπλοῦν ὁ θεῖος, σημαίνει δὲ τὸ θεῖος δύο, τὸν τῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὸν, καὶ τὸν θαυμαστόν. ἐξαιρέ-

τως

τως δὲ λέγεται θεῖον, ἐπὶ τȣ̃ θεȣ̃. θεῖον δὲ ἄπυρον, ἡ κοινῶς τεάφη. Θεῖος ὁ θαυμαστὸς, πόθεν γίνεται; Ἀπὸ τȣ̃ θεὸς γίνεται θέϊος, καὶ κατὰ συναίρεσιν, θεῖος. ἀφ' ȣ̃ γίνεται τὸ θαυμάζειν. ἤγουν τὸ ὁρᾶν τι μετ' ἐκπλήξεως, διὰ τὸ θεῖον εἶναι. καὶ τὸ θεέω, θεῶ· θεήσω, ποιητικῶς, τὸ θαυμάσω. ὥσπερ γὰρ πολεμέω, μὲν πολεμῶ· πολεμήσω, τὸ μαχέσομαι. ἐκ πολεμόω δὲ, ἐκπολεμῶ, τὸ εἰς μάχην παρακινῶ τινα. καὶ βοάω, βοῶ· βοήσω. βοόω δὲ, βοώσω, τὸ βοῦν ποιήσω· οὕτω καὶ θεάομαι μὲν, θεῶμαι, τὸ βλέπω. θεέω δὲ θεήσω, τὸ θαυμάσω. ἀφ' ȣ̃ τὸ θηεῖτο, καὶ τὸ θειεῦντο.

Τὸ θει, δίφθογγος. Τίνα διὰ τȣ̃ ειος, διὰ τῆς ε καὶ ι διφθόγγȣ γράφεται, καὶ τίνα διὰ τȣ̃ ι; Διὰ μὲν τῆς ει διφθόγγȣ, ταῦτα. Καδμεῖος, ὁ θηβαῖος. ἐπὶ δὲ θηλυκȣ̃ λέγεται καδμεία νίκη παροιμιωδῶς, ἐπὶ τῶν κακῶς νικώντων. καὶ καδμεία ἰδίως, ἡ ἀκρόπολις τῶν θηβῶν. ἀπὸ Κάδμου τȣ̃ πρώτȣ τὴν πόλιν κτίσαντος. ὡς ἡ τῶν ἀθηναίων, ἀκρόπολις ἰδίως ἐλέγετο. καὶ ἡ τῆς κορίνθȣ, ἀκροκόρινθος. Βακχεῖος. Ἀνδρεῖος, ὁ εὐκάρδιος, καὶ καρτερικὸς ἐν ἅπασιν. ᾧ ἐναντίον ὁ δειλός. Σπονδεῖος. Θεῖος. Οἰκεῖος. Ἀστεῖος, ὁ πολιτικὸς καὶ κομψὸς, καὶ χαρίεις. Ἀργεῖος. Δαρεῖος. Ἠλεῖος. Ὀθνεῖος, ὁ ξένος. Ἑταιρεῖος, ἐπίθετον τȣ̃ Διός. Ἰαμβεῖος. Ἀχρεῖος. Κεῖος, ὁ ἀπὸ τῆς κέω. καὶ ἕτερα.

Διὰ δὲ τȣ̃ ι, ταῦτα. Κίος νῆσος, παροξυτόνως, κῖος δὲ, ὁ ἀπὸ ταύτης τῆ νήσȣ, προπερισπωμένως. Βίος, ἡ περιουσία, καὶ ἡ ζωὴ, καὶ ἡ πολι-

τεία. Δῖος, ὁ λίαν ἔνδοξος. ἀπὸ τοῦ Ζεὺς, διὸς, δίϊος, καὶ δῖος. Ἐναντίος. Τίος, πόλις ἐν τῇ παφλαγονίᾳ, παροξυτόνως. καὶ τῖος, ὁ ἀπὸ ταύτης προπερισπωμένως. Χίος, νῆσος, ὁμοίως παροξυτόνως. χῖος δὲ, ὁ ἀπὸ ταύτης, προπερισπωμένως. κατὰ παραγωγὴν γὰρ καὶ συναλοιφὴν γίνονται ταῦτα. ὥσπερ ἀπὸ τοῦ διὸς, δίϊος καὶ δῖος, οὕτως ἀπὸ τοῦ χίος, χίϊος καὶ χῖος. καὶ ἀπὸ τοῦ κίος, κίϊος καὶ κῖος. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ ἕτερα.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς θι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Θὶν, ὁ αἰγιαλός. ὃ καὶ θὶς λέγεται. καὶ ὁ σωρός. Θίασος, τὸ συναθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ θεοῦ, ἢ ἁγίου. ἀφ' οὗ θιασῶται, καὶ συνθιασῶται, οἱ κοινωνοῦντες τῶν θιάσων. Θίμβρων, ὄνομα κύριον. Θίβη, κιβωτίου εἶδος. Θίγω, τὸ ψαύω, καὶ προσεγγίζω. ἀφ' οὗ ἄθικτον ἀγγεῖον, ᾧ οὐ προσήγγισέ τι. Θιγγάνω τὸ αὐτό. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Θήγω, τὸ ἀκονῶ. ἀφ' οὗ θηγάνη, ἡ ἀκόνη. Θησεὺς, κύριον. θησεῖον, τὸ ἀνειμένον τέμενος τῷ θησεῖ. Θῆβαι, πόλις. θηβαῖος, ὁ ἀπὸ ταύτης. Θῆλυ. θήλεια. Θηλύμητρις. Θὴς, ὁ πενιχρὸς, καὶ ἐπὶ μισθῷ δουλεύων. θητεύω. θητεία, ἡ μισθαρνία. θητικὸν παρ' Ἀθηναίοις, τὸ τέλος ὅπερ ἐτέλουν οἱ θῆτες. καὶ τὸ στράτευμα, ὅπερ ἀπὸ τῶν θητῶν ἐποίησαν. καὶ θῆσσα παρ' αὐτοῖς, ἡ πενιχρὰ κόρη, καὶ κλῆρον οὐκ ἔχουσα πατρῷον. παρὰ δὲ τῇ καθολικωτέρᾳ χρήσει θῆσσα ἡ ἐπὶ μισθῷ δουλεύουσα.

καὶ

καὶ θητικὸν στράτευμα, τὸ ἐπὶ μισθῷ δουλεῦον, ἀπὸ ξένης ἐλθόν. Θηλὴ, ὁ μαστός. ἐξ οὗ τὸ θηλάζειν. Θησαυρός. Θήκη. ἀφ' οὗ ἀποθήκη. συνθήκη. προσθήκη. καὶ τὰ τοιαῦτα. Θηρίον. Θήρ. Θηρεύω, τὸ ἀγρεύω. ἀφ' οὗ θηρευτής. Θηράω. Θηρῶ, τὸ αὐτό. ἀφ' οὗ ποιητικῶς μὲν τὸ θηρητήρ. κοινῶς δὲ τὸ θηρατής. Θηητὸς, ὁ θαυμαστός. Θηρίκλειον, ἀπὸ τοῦ τεχνίτου τοῦ Θηρικλέους τοῦτο προσηγορεύθη. ἔστι δὲ εἶδος ἐκπώματος. Θημὼν, ἡ κοινῶς θημωνία. ἤγουν ἡ συνθήκη τῶν ἀσταχύων. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Θεῖος, ὁ θαυμαστός. Θειάζω, τὸ ἐνθουσιῶ. Θειασμὸς, ὁ ἐνθουσιασμός. Θείνω, τὸ τύπτω ποιητικῶς. Θείην εὐκτικὸν, ἀπὸ τοῦ τίθημι. καὶ θεῖναι ἀπαρέμφατον. καὶ ἕτερα.

ΚΗ'ΡΥΚΕΣ. Ἡ εὐθεῖα τῶν ἑνικῶν, ὁ κῆρυξ. Πόθεν γίνεται; Ἀπὸ τοῦ κηρύττω. τὸ δὲ κηρύττω, ἀπὸ τῶν γαρύω, τὸ φωνῶ. κατὰ παραγωγὴν, καὶ τροπὴν τῶν α εἰς η. καὶ τοῦ γ εἰς κ.

ΠΡΟΒΑΛΛΟ'ΜΕΘΑ. Κανόνισον. Βάλλω, τὸ ῥίπτω καὶ πέμπω· ἀφ' οὗ βέλος, ὃ δηλοῖ τρία· τὸ πεμπόμενον, καὶ τὴν βολὴν, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. παρὰ δὲ τῷ Ὁμήρῳ καταχρηστικῶς, καὶ τὴν ὠδίνουσαν ὀξὺ βέλος ἔχειν. ἀπὸ τούτου καὶ βολὴ, καὶ ἐπήβολος, κατὰ προσθήκην τοῦ η, καὶ ἀποβολὴν τοῦ ι διὰ τὰ μέτρα. ἔστι δὲ ἐπίβολος ὁ φρόνιμος, καὶ ἐπιβάλλων τῷ προκειμένῳ σκοπῷ. καὶ ὁ ἐπιτυχὴς καὶ ἐγκρατής τινος. ὡς παρ' Ὁμήρῳ, Οὐ γὰρ νηὸς ἐπήβο-

λος, ἐδ' ἐρεταίων Γίγνομαι. τὸ παθητικὸν, βάλλομαι. ὃ λαμβάνεται μὲν καὶ ἐπὶ τῦ πεμπομένυ, καὶ ἐπὶ τῦ δεχομένυ τὴν βολήν. λέγεται δὲ ποιητικῶς καὶ ἐπὶ τῦ ἐπιτυχῶς λαμβάνειν. ὡς παρ' Ὁμήρῳ, Σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι. καὶ μετὰ τῆς προ προθέσεως, προβάλλομαι, τὸ προφασίζομαι καὶ τὸ ἔμπροσθέν με ἄγω τινὰ εἰς βοήθειαν· οἷον καλέμενος εἴς τι πόνυ δεόμενον, προβάλλομαι νόσον, ἀντὶ προφασίζομαι. καὶ προβάλλομαί τινα μάρτυρα ἢ βοηθόν. ἤγουν πρόβολον ποιοῦμαι. ἀπὸ μεταφορᾶς τῶν ἔμπροσθεν ἱςαμένων ἐν πολέμῳ, καὶ βοηθούντων αὐτοῖς ὄπισθεν. τὸ δεύτερον πρόσωπον, προβάλλῃ. τὸ πρῶτον τῶν πληθυντικῶν, προβαλλόμεθα.

ΕΠΙΚΕΚΛΗΜΕ'ΝΟΙ. Κανόνισον. Καλέω, καλῶ. ὁ μέλλων καλέσω. ὁ παρακείμενος κέκληκα. ὡς ἀπὸ τῦ κλῶ ἀχρήςυ. ὁ γὰρ ἀπὸ τῦ καλῶ, ἄχρηςος. εἰσὶ καὶ ἕτερα ῥήματα τοιαῦτα, ἐν ἄλλοις μὲν χρόνοις ἄχρηςα, ἐν ἄλλοις δὲ εὔχρηςα. Δεῖ οὖν ἐν τοῖς τοιούτοις ζητεῖν ἕτερον ῥῆμα ταυτοδύναμον εὔχρηςον, ἔνθα τὸ προκείμενόν ἐςιν ἄχρηςον, καὶ λαμβάνειν ἐξ ἐκείνυ εὔχρηςα, καὶ ἁρμόζειν τῷ προκειμένῳ, καὶ ποιεῖν πάντα εὔχρηςα· καὶ μὴ ἐθίζειν τὴν γλῶτταν εἰς βάρβαρα καὶ ἄχρηςα. τοιῦτόν ἐςι τὸ τρέχω, ἐν μὲν τῷ ἐνεςῶτι εὔχρηςον, ἐν δὲ τοῖς ἄλλοις χρόνοις ἄχρηςον. λέγομεν οὖν ἀφ' ἑνὸς ῥήματος μέλλοντα δραμῦμαι. καὶ ὁ Ἀόριςος ἔδραμον. καὶ ἔτι ἀφ' ἑτέρυ παρακείμενον δεδράμηκα. τοιῦτον καὶ τὸ φέρω. ἄχρηςος γὰρ ὁ Μέλλων αὐτῦ, καὶ οἱ ἄλλοι χρόνοι. ἁρμόζομεν οὖν ἀφ' ἑτέρων ῥημάτων αὐτοὺς, καὶ κανονίζομεν οὕτω. Φέρω, ὁ μέλλων οἴσω. ὁ παρακείμενος

νος ἐνήνοχα. καὶ ὁ Α᾽όριςος ἤνεγκα. καὶ ἄλλα πολλὰ τοιαῦτά ἐςιν εὑρεῖν. ἔςιν οὖν ἐνταῦθα ὁ παρακείμενος κέκληκα. ὁ παθητικὸς, κέκλημαι. καὶ μετὰ τῆς ἐπι προθέσεως, ἐπικέκλημαι. ἡ μετοχὴ ὁ ἐπικεκλημένος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἐπικεκλημένοι.

ΚΟΡΥΦΑΙΟΣ. Πόθεν γίνεται; Α᾽πὸ τοῦ κορυφή. τὸ δὲ κορυφὴ, ἀπὸ τοῦ κορύπτω.

Τὸ φαι, δίφθογγος. Τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν, καὶ ἑνικῶς γραφομένων, καὶ πληθυντικῶς διὰ τοῦ αιος γινόμενα ὀνόματα ἀρσενικὰ, διὰ τῆς αι διφθόγγου γράφεται. Α᾽πὸ μὲν τῶν εἰς α. οἷον Α῎ρουρα, Α᾽ρουραῖος. ἄρουρα δὲ ἡ ἠροτριασμένη γῆ. χέρσος γὰρ ἡ ξηρὰ καὶ ἀνήροτος. Μήθυμνα, Μηθυμναῖος. Κέρκυρα, κερκυραῖος. Μοῖρα, μοιραῖος. Γέννα, γενναῖος. Ω῞ρα, ὡραῖος. Α᾽θῆναι, ἀθηναῖος. Θῆβαι, θηβαῖος. καὶ ἕτερα.

Α᾽πὸ δὲ τῶν εἰς η. οἷον Μιτυλήνη, μιτυληναῖος. Ι῎δη, ὄρος περὶ τὸ ἴλιον, ἰδαῖος. Γαλήνη, γαληναῖος. Υ῞λη, ὑλαῖος. καὶ ὑλαῖα δαιμόνια. Εἰρήνη, εἰρηναῖος. Σελήνη, σεληναῖος. Τύχη, τυχαῖος. Α᾽νάγκη, ἀναγκαῖος. Κορυφὴ, κορυφαῖος. καὶ ἕτερα.

Εἰσὶ δὲ καίτινα γραφόμενα διὰ διφθόγγου, οὔτε ἀπὸ τῶν εἰς α, οὔτε ἀπὸ τῶν εἰς η θηλυκῶν γινόμενα. οἷον Σαδδουκαῖος. Ι᾽δουμαῖος. Φαρισαῖος. Ε῾βραῖος. Ποδιαῖος. Πλεθριαῖος. Χερσαῖος. Α᾽γκαῖος, καὶ Α᾽νταῖος, κύρια, καὶ ἕτερα.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/173 gefördert von der Deutschen Forschungsgemeinschaft

ΠΙ´ΣΤΙΣ. Πόθεν γίνεται; Ἀπὸ τοῦ πείθω, ἀφ' οὗ γίνεται πιστὸς, ὁ ἄξιος πιστεύεσθαι.

ἈΡΩΓΗ´. Πόθεν γίνεται; Ἀπὸ τοῦ ἀρήγω, τὸ βοηθῶ. κατὰ τροπὴν τοῦ η εἰς ω.

ἈΡΗ´ΓΟΙΤΕ. Κανόνισον. Ἀρήγω, καὶ ἡ μετοχὴ ὁ ἀρήγων, τοῦ ἀρήγοντος. καὶ τὸ εὐκτικὸν, ἀρήγοιμι. τὸ δεύτερον, ἀρήγοις. τὸ τρίτον, ἀρήγοι. τὸ πρῶτον τῶν πληθυντικῶν, ἀρήγοιμεν. τὸ δεύτερον, ἀρήγοιτε.

Τὸ ρη, η. Τίνα διὰ τοῦ ηγω βαρύτονα καὶ περισπώμενα, διὰ τοῦ η γράφεται, καὶ τίνα διὰ τοῦ ι, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ η, ταῦτα. βαρύτονα μὲν, οἷον Θήγω, τὸ ἀκονῶ. Τμήγω, τὸ διαχωρίζω. Λήγω, τὸ παύω. ἐξ οὗ καὶ λῆξις, ἡ κατάληξις. καὶ ἄληκτον. Ἀρήγω, τὸ βοηθῶ. περισπώμενα δὲ, Ὁδηγῶ. ποδηγῶ. Χορηγῶ, τὸ ἀπ' ἐμαυτοῦ καὶ χωρὶς ἀνάγκης καταβάλλω. εἰσφέρω δὲ, τὸ κατὰ νόμους. Κυνηγῶ. Στρατηγῶ καὶ ἕτερα. Διὰ δὲ τοῦ ι, ταῦτα. βαρύτονα μὲν, Πνίγω. Σφίγγω. Θίγω, τὸ ψαύω, καὶ προσεγγίζω. Μίγω. ὃ καὶ σμίγω γράφεται. περισπώμενα δὲ, Σφριγῶ, τὸ ἀκμάζω. Ῥιγέω, ῥιγῶ, τὸ φοβοῦμαι, συζυγίας πρώτης τῶν περισπωμένων καὶ ῥιγόω, ῥιγῶ ἐπὶ κρύους, συζυγίας τρίτης τῶν αὐτῶν. καὶ ἕτερα. Διὰ δὲ τῆς ει διφθόγγου, Ἐπείγω, ἀντὶ ἐπισπεύδω. ἐπείγομαι δὲ ἐγώ. ἐξ οὗ ἔπειξις, καὶ ἐπειγωλὴ, ἡ σπουδή.

ΣΤ ΟΦΗ´Ν. Ἡ εὐθεῖα, ἡ στροφή. Πόθεν γίνεται; Ἀπὸ τοῦ στρέφω.

Τὸ

Τὸ στρο, μικρόν. Τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν, ἔχουσι τὸ ο ἀντὶ παρακείμενον ἐν τοῖς ὀνόμασι.

Καὶ ἄλλως. Τὰ ἀπὸ τῆς στρο συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου.

Τίνα διὰ τοῦ ο μικροῦ; ταῦτα. Στρόβιλος, παρὰ μὲν τῇ πολλῇ χρήσει ἡ κοινῶς στροβίλα, καὶ τὸ ποιοῦν αὐτὴν δένδρον. παρὰ δὲ τοῖς καθαροῖς καὶ ἀρχαίοις, πνεῦμα εἰλούμενον κάτωθεν ἄνω. Στροφάλιγξ ποιητικῶς, ἡ συστροφή. Στροβῶ, τὸ ταράσσω. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Στρωμνή. Στρῶμα. Στρωφῶ τὸ στρέφω, ποιητικῶς. καὶ ἕτερα.

ἙΛΙΓΜΑΤΩ΄ΔΗ. Ἡ εὐθεῖα, ἡ ἑλιγματώδης, ὃ κλίνεται τῆς ἑλιγματώδεος, καὶ ἑλιγματώδους. Πόθεν γίνεται; Ἀπὸ τοῦ ἑλίσσω, τὸ συστρέφω. ἐπὶ τῷ ε δασεῖαν. Τὸ ε πρὸ τῆς λι συλλαβῆς δασύνεται, εἰ μὴ ἐκπίπτει τῆς λήξεως. οἷον ἑλικών, ἑλίσσω, τὸ συστρέφω. ἕλιξ. Τὸ λι, ι.

Τίνα διὰ τοῦ ισσω ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η; Διὰ μὲν τοῦ ι, ταῦτα Πτίσσω, τὸ τύπτω. ὅπερ κυρίως ἐπὶ τοῦ σίτου λέγεται, ἀφ' οὗ πτισσάνη, τὸ κοινῶς πίτυρον. καὶ κατὰ μεταφορὰν, περιεπτισμένος, ὁ κεκαλλωπισμένος. καὶ ἁπλῶς ὁ κεκαθαρμένος. Φοινίσσω,

σω, τὸ κοκκίνῳ βάπτω. Φρίσσω, ὅταν αἱ τρίχες μου φοβηθέντος ὀρθαὶ γίνωνται. ἀπὸ μεταφορᾶς τῆς θαλάσσης. φρίττει γὰρ κυρίως ἡ θάλασσα. ἀφ' οὗ φρίξ, τὸ διανεστηκὸς τῆς θαλάττης ἐπιπολῆς, ἥτις κλίνεται φρικός. ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ ἐπὶ συὸς λέγεται φρίττειν, ὡς παρ' Ὁμήρῳ, Φρίξας εὐλοφίην. „ καὶ ἐπὶ μάχης, ὡς παρὰ τῷ αὐτῷ, Ἔφριξε μάχη φθισίμβροτος ἐγχείῃσι. καὶ ἐπὶ λήϊον. Δεδίσσομαι, τὸ ἐκφοβῶ. Ἀΐσσω, τὸ ὁρμῶ. Μειλίσσω, τὸ καταπραΰνω. Αἰνίσσομαι, τὸ διὰ συμβόλων αἰνιγματωδῶς δηλῶ. Ἑλίσσω, τὸ συστρέφω. καὶ ἕτερα.

Τίνα διὰ τοῦ η; Ταῦτα. Ῥήσσω, τὸ ῥηγνύω. ὃ λέγεται ἐπὶ φωνῆς, καὶ ἱματίων, ἢ τοιούτου τινὸς, ὅταν διασπᾷ τις αὐτά. Θωρήσσω, τὸ καθοπλίζω. Πήσσω, τὸ πηγνύω. Πλήσσω. Πτήσσω, τὸ φοβοῦμαι. καὶ ἕτερα.

Ἰστέον ὅτι τὸ ἐλιγματώδης τριγενές ἐστιν. ἔστι γὰρ ὁ ἐλιγματώδης. ἡ ἐλιγματώδης. τὸ ἐλιγματῶδες.

Τὸ τω, μέγα. Τίνα διὰ τοῦ ωδης, διὰ τοῦ ω μεγάλου γράφεται; Ταῦτα. Λιμνώδης. λοιμώδης. Νοσώδης. Εὐώδης. Δυσώδης. Καπνώδης. Αἰθαλώδης. Κτηνώδης. Γεώδης. Ἑλιγματώδης. Σωτηριώδης. Χρειώδης. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ο μικροῦ; Ὅσα παρὰ τὸ πους σύγκειται. οἷον Ξυλοπόδης. Ὀξυπόδης, τριπόδης ὁ τριῶν ποδῶν μῆκος ἔχων. καὶ τὰ ὅμοια.

ΕΥΜΑΡΗ. Η εὐθεῖα ἡ εὐμαρής. ἔςι δὲ ϗ τοῦτο τριγενές. ὁ εὐμαρὴς γὰρ, ἡ εὐμαρὴς, ϗ τὸ εὐμαρές.

Πόθεν γίνεται; Ἀπὸ τοῦ εὖ μορίου, ϗ τοῦ μαρμαίρω, τὸ λάμπω.

ΕΛΠΙΔΑ. Η εὐθεῖα, ἡ ἐλπίς. Πόθεν γίνεται; Ἀπὸ τοῦ ἐλπίζω.

ΕΓΧΕΙΡΟΥΜΕΝ. Κανόνισον. Ἐγχειρέω ἐγχειρῶ. τὸ δεύτερον, ἐγχειρέεις ἐγχειρεῖς. τὸ τρίτον, ἐγχειρέει, ἐγχειρεῖ. τὸ πρῶτον τῶν πληθυντικῶν, ἐγχειρέομεν ἐγχειροῦμεν. ἔςι δὲ ἐγχειρῶ μὲν, τὸ ἔργου τινὸς ἅπτομαι. ϗ συντάσσεται δοτικῇ, ὥσπερ καὶ τὸ ἐπιχειρῶ. Ἐγχειρίζω δὲ, τὸ εἰς χεῖρας δίδωμι. καὶ συντάσσεται ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Διαχειρίζομαι δὲ, το φονεύω. ϗ συντάσσεται αἰτιατικῇ. Μεταχειρίζομαι δὲ, τὸ ἕτερον ἀφεὶς, ἕτερον εἰς χεῖρας λαμβάνω. ϗ συντάσσεται ϗ τοῦτο αἰτιατικῇ. οἷον Μεταχειρίζομαι τὸ τόξον, ἢ τὸ δόρυ, ἢ τὶ ἕτερον ὅμοιον.

Πόνοι γεννῶσι δόξαν, καὶ κάματοι προξενοῦσι ταινίας, ὥσπερ φησὶν ὁ Μέγας Βασίλειος. καὶ χωρὶς πόνων οὐδὲν κατορθοῦται χρησὸν. εἰ δὴ τοῦτο ἀληθὲς,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/177 gefördert von der Deutschen Forschungsgemeinschaft

πονεῖτε ϰαὶ ὑμεῖς, ϰαὶ φιλεῖτε τὴν μελέτην, ϰαὶ τῇ ἀναγνώσει πρόσκαθε, ἵνα σοφώτατοι γένηϑε.

ΠΟΝΟΙ. Ἡ εὐθεῖα, ὁ πόνος. Πόθεν γίνεται; Ἀπὸ τοῦ πονῶ. ὃ ϰαὶ πονοῦμαι γράφεται ϰαὶ διαπονοῦμαι. τὸ δὲ πονῶ, ἀπὸ τοῦ πένομαι.

Τὸ πο, μικρὸν. Τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν, ἔχουσι τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασι.

ΓΕΝΝΩΣΙ. Συζυγίας δευτέρας τῶν περισπωμένων. ἐγκλίσεως ὁριστικῆς. χρόνου ἐνεστῶτος. προσώπου τρίτου τῶν πληθυντικῶν. τὸ πρῶτον τῶν ἑνικῶν, γεννάω, γεννῶ.

ΚΑΜΑΤΟΙ. Ἡ εὐθεῖα τῶν ἑνικῶν, ὁ κάματος.

Πόθεν γίνεται; Ἀπὸ τοῦ κάμνω τὸ κοπιῶ. ἔστι δὲ κάματος μὲν τὸ πρᾶγμα, ἤγουν ὁ κόπος. μετὰ δὲ τοῦ στερητικοῦ α, ἀκάματος, ὁ μὴ κοπιῶν.

ΠΡΟΞΕΝΟΥΣΙ. Κανόνισον. Προξενέω προξενῶ. τὸ δεύτερον, προξενέεις προξενεῖς. τὸ τρίτον τῶν πληθυντικῶν, προξενέουσι προξενοῦσιν. ἀπὸ τούτου ὄνομα πρόξενος. γίνεται δὲ τὸ προξενεῖν, ἀπὸ τῆς προ προθέσεως, ϰαὶ τοῦ ξένος. ἀφ᾽ οὗ γίνεται ϰαὶ ἰδιόξενος, ϰαὶ αὐτόξενος. ϰαὶ δορύξενος. ϰαὶ πρόξενος μέν ἐστιν, ὁ τοὺς ἀπ᾽ ἄλλης πόλεως ἀναδεχόμενος. ϰαὶ προσόδου

φρον-

φροντίζων τῆς πρὸς τὸν δῆμον αὐτῶν. ἰδιόξενος δὲ, ὁ ἰδίᾳ τινὶ τῶν ξένων φίλῳ χρώμενος, καὶ καταγωγῆς αὐτῷ προνοούμενος. αὐτόξενος δὲ, ὁ αὐτὸς τῷ ἰδιοξένῳ. ἢ ὁ γένει μὲν ξένος, τιμῇ δὲ ἀστός. δορύξενος δὲ, ὁ ἐκ τοῦ πολέμου γνωσθεὶς, ἀπὸ τοῦ προξενεῖν, τὸ ἀναδέχεσθαι. καὶ προξενῶ τόδε, ἤγουν προσάγω τάδε, καὶ αἴτιος γίνομαι τοῦδε.

Τὸ ξε, ψιλόν. Τίνα ἀπὸ τῆς ξε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται; Ταῦτα. Ξενοφῶν. Ξέρξης. Ξένος. Ξενίζω, τὸ ξένῃ διαλέκτῳ χρῶμαι. ἢ μᾶλλον, τὸ ἐν τῇ ξένῃ διατρίβω. ξενίζω, καὶ τὸ ἑστιῶ. Ξενικὸν ἐν κορίνθῳ, παρ' Ἀριστοφάνει ἐν πλούτῳ, στράτευμα μισθοφορικὸν, ὃ συνεστήσατο πρῶτον ὁ Κόνων· παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕστερον καὶ Χαβρίας. ᾧ χρησάμενοι, τὴν Λακεδαιμονίων μοῖραν κατέκοψαν, στρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ Καλλίου. ξενιτευόμενοι οἱ μισθοφοροῦντες. καὶ ἕτερα.

Ξαίνω δὲ τὸ διαλίω, καὶ μαστίζω, δίφθογγος.

ΤΑΙΝΙΆ. λέγεται μὲν κυρίως ἡ στηθοδεσμίς. λέγεται δὲ καὶ ὁ στέφανος. καὶ γίνεται ἀπὸ τοῦ τανύω, κατὰ πλεονασμὸν τοῦ ι, καὶ τροπὴν τοῦ διχρόνου εἰς δίχρονον. τὸ δὲ τανύω, ἀπὸ τοῦ τείνω.

ΦΗΣΙ'. Κανόνισον. Φημί. τὸ δεύτερον, φῂς. τὸ τρίτον, φησί. Ποίας συζυγίας; Δευτέρας τῶν εἰς μι. Πῶς ἔχει τοῦ τόνου; Ὀξύνεται. Τὰ εἰς μι πάντα βαρύνεται, πλὴν τοῦ εἰμί. καὶ φημί. ὃ καὶ ἠμὶ κατὰ ἀποβολὴν τοῦ φ γράφεται, διὸ καὶ ἐγκλίνεται. τὰ

γὰρ

γὰρ τροχαϊκὰ ῥήματα ὀξύτονα ὄντα πάντα ἐγκλίνεται. ἐγκλίνεσθαι δὲ λέγεται, ἀπὸ μεταφορᾶς τῶν μὴ δυναμένων ἐφ᾽ ἑαυτοῖς στηρίζεσθαι, καὶ διὰ τοῦτο ἐφ᾽ ἑτέροις ἀνακλινομένων. καὶ ταῦτα γὰρ εἰ λέξεσιν ἑτέραις ἐπάγεται, οὐκέτι ἐφ᾽ ἑαυτοῖς τὴν ἀνάπαυσιν ἔχει τοῦ τόνου. ἀλλ᾽ αἱ προηγούμεναι λέξεις τόν τε τόνον αὐτῶν λαμβάνουσι, καὶ αὐτὰ σὺν αὐτοῖς ἐκφωνοῦσι, καὶ οἷον αἴρουσιν, ὡς τοὺς ἀῤῥωστοῦντας αἱ κλίναι. οἷον εἰμὶ, σύνειμι. φημὶ, σύμφημι. εἰπὲ, κάτειπε.

Φημὶ, τὸ φη, η. Τίνα ἀπὸ τῆς φη συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Φιάλη. ἣν καὶ φιέλην τινὲς τῶν παλαιῶν ἔλεγον, ἀττικισμοῦ μὴ φροντίζοντες. ἥ τις κατὰ τὸν Ἀριστοτέλην, σχήματι μὲν ὡρισμένον ἔχει σταθμόν, μέτρον δὲ οὐκέτι. ἀνισότης γὰρ ταῖς φιάλαις καὶ ἀμετρία. ὅθεν ὑπερφίαλος παρ᾽ Ὁμήρῳ, ὁ ὑπερβάλλων τῇ ἀμετρίᾳ καὶ τὸ ἄμετρον τῆς φιάλης. ὥσπερ ἀτάλαντος παρ᾽ αὐτῷ, ὁ ἔξω τῆς ἀνισότητος τῶν ταλάντων, ἤγουν ὁ ἴσος. πάντα γὰρ ὁλκὸν νομισμάτων, τάλαντον ἔλεγον. καὶ μέτρον μὲν εἶχεν, οὐκέτι δὲ σταθμὸν ὡρισμένον. εἰσὶ δὲ τῶν φιαλῶν, αἱ μὲν ἐκπώματα, αἱ μικραί. αἱ δὲ νιπτῆρες, ἤ τοιουτόν τι, αἱ μεγάλαι. Φιλῶ, τὸ ἀγαπῶ, καὶ καλῶς διατίθεμαι πρός τινα. οὗ ἐναντίον, τὸ μισῶ. Φιλῶ καὶ τῷ στόματί τινα. οὗ ἐναντίον οὐκ ἔχει. Φιλεῖ καὶ τόδε γίνεσθαι παρ᾽ ἀττικοῖς, ἤγουν εἴωθε. καὶ ὅσα ἀπ᾽ αὐτοῦ. Φίλος, ὁ οἰκεῖος, καὶ κατὰ γένος προσήκων. ὡς παρ᾽ Ὁμήρῳ. Φίλος υἱός. Φίλη μητρί. καὶ φίλα γυῖα. καὶ φίλαι χεῖρες. διαφέρει δὲ τοῦ ἑτέρου, ὅπερ ὁ ἔτης τοῦ γειτο-

νος.

νος. Φίλος μὲν γὰρ αὐτὸ, ὅπερ εἴρηται. ἑταῖρος δὲ, ὁ προσοικειωθεὶς κατὰ φιλίαν. ἅπερ Ὅμηρος διακρί-
„ νων λέγει, Εἰ μετὰ οἷς ἑτάροισι δάμη τρώων ἐνὶ
„ δήμῳ, Ἢ ἐ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε. καταχρώμενος δὲ λέγει φύζαν φόβου κρυόεντος ἑταίρην. καὶ ἄνεμον ἐσθλὸν ἑταῖρον. ἔτης δὲ, ὁ συνέστιος φίλος. γείτονες δὲ, οἱ πλησίον μένοντες. Φιλοσοφῶ, τὸ τὴν ἀληθῆ σοφίαν ἀσκῶ, ἀμεταβάτως. καὶ φιλοσοφῶ εὐτέλειαν, μεταβατικῶς, ἤγουν ἀσκῶ. καὶ φιλοσοφεῖ τοῦτο παρὰ Μενάνδρῳ, ὅπως καταπράξηται τὸν γάμον. ἤγουν φάσκει. καὶ παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Ταῦτά μοι περὶ θεοῦ πεφιλοσοφήσθω τανῦν. ἤγουν εἰρήσθω. καὶ πεφιλοσόφηται παρ' αὐτῷ ἐν ἄλλοις, ἀντὶ τεθεολόγηται. ὡς ἐν τῷ,
„ Ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται. Φι-
„ λόγονος, Φιλάμμων, Φιλίσκος. καὶ Φιλογόνιος, κύρια. Φίλιππος, κύριον καὶ ἐπίθετον. Φίλιος, ἐπίθετον τοῦ διός. ὥσπερ καὶ τὸ ξένιος. καὶ ἕτερα. ἤγουν ὁ ἔφορος τῆς φιλίας. Φιλέταιρος, ὁ φιλῶν τοὺς ἑταίρους. Φιλοπάτωρ. Φιλολόγος. Φίλοινος, ὁ ἀγαπῶν τὸν οἶνον. Φιλάνθρωπος. Φινεὲς, κύριον. Φύτυς, ὁ πατήρ. Φιλότιμος, ὁ εἰς ἐπίδειξιν ποιῶν τι, ἢ πρὸς δόξαν. καὶ φιλότιμον, τὸ κατ' ἐπίδειξιν γινόμενον. Φιλόγελως. Φιλόπλωχος. Φιλίτης, καὶ Φιλαίτης, τὸ αὐτό. Φίλαυτος, ὁ φιλῶν ἑαυτόν. Φιλαυτία. Φιλομειδὴς, διὰ διφθόγγου παρ' Ὁμήρῳ, ἐπίθετον τῆς Ἀφροδίτης. ἤγουν φιλόγελως. παρὰ δὲ Ἡσιόδῳ, διὰ τοῦ η. Ὅτι, φησὶ, τῶν μηδέων ἐξεφαάνθη. ἤγουν τῶν αἰδοίων. Φιλόνεικος, ὁ διὰ λόγων μαχόμενος, οὐχ ὑπὲρ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τοῦ συνιστᾶν ἑαυτόν. Φιλαδέλφεια, πόλις. τὸ φει, δίφθογγος. Φιλαδελφία δὲ, ι.

Φι-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/181 gefördert von der Deutschen Forschungsgemeinschaft

Φιμὸς, ὁ λεγόμενος κημός. ἤγουν ὁ κοινῶς χάβος. Φιτρὸς, ὁ κοινῶς κορμός. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Φηγὸς, ἡ δρῦς. ἀφ' οὗ φήγινος ἄξων, ἢ τοιοῦτόν τι. Φήληξ, ἡ ἀγρία συκή. Φηλῶ, τὸ ἐξαπατῶ, συζυγίας τρίτης τῶν περισπωμένων. ἀφ' οὗ φηλώματα, αἱ ἐξαπάται. Φήμη, ὃ λέγεται ἐπὶ τῆς θείας κληδόνος, καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως. ἀπὸ τούτου εὐφημεῖν παρ' ἀττικοῖς, τὸ σιγᾷν. Φῆναι, ἀντὶ δεῖξαι· καὶ ἀντὶ εἰπεῖν, ἀπὸ τοῦ φάναι. Φημὶ, φὴς, ὀξυτόνως. καὶ ἕτερα.

Διὰ δὲ διφθόγγου, ταῦτα. Φειδίας, κύριον. ὅστις ἦν ἄριστος λιθοξόος. Φείδομαι, τὸ ἀκριβολογοῦμαι, καὶ ἐλεῶ. Φειδωλὸς, ὁ κοινῶς σκνιφός. Φεισσῶν, ὄνομα ποταμοῦ. Φειὰ, πόλις. Φειδιππίδης. καὶ ἕτερα.

ΧΩΡΙ'Σ. Ποίου μέρους λόγου ἐστίν; Ἐπιρρήματος. Ποίου τῶν ἐπιρρημάτων; Τάξεως. Δηλοῖ δὲ τὸ κεχωρισμένως. καὶ κατὰ μεταφορὰν τούτου, τὸ ἄνευ.

Τὸ χω, μέγα. καὶ τὸ ρις, ι. Χωρὶς, ἀντὶ τοῦ ἄνευ, καὶ ἀντὶ τοῦ κεχωρισμένως, μέγα καὶ ι. Χωρεῖς, ἀντὶ τοῦ ὁρμᾷς, μέγα καὶ δίφθογγον. Χοροῖς ἐπὶ δοτικῆς τῶν πληθυντικῶν, ἡ εὐθεῖα τῶν ἑνικῶν, ὁ χορός. μικρὸν καὶ δίφθογγον, ο καὶ ι.

ΟΥ'ΔΕ'Ν. Ποίου μέρους λόγου ἐστὶν ἐνταῦθα; Ὀνόματος. Ποίου γένους; Οὐδετέρου. Ποίας πτώσεως; Εὐθείας τῶν ἑνικῶν. τούτου τὸ ἀρσενικὸν, οὐδείς. τὸ θηλυκὸν, οὐδεμία. καὶ κλίνεται οὐδεμιᾶς. ὡς μία, μιᾶς.

μιᾶς, τὸ δὲ οὐδὲν, κλίνεται οὐδενὸς, ὡς τὸ ἀρσενικὸν αὐτοῦ. ἐνίοτε δὲ καὶ ἐπίῤῥημά ἐστιν, ἀντὶ οὐδαμῶς, ὅτε κατὰ τὴν τῶν ἐπιῤῥημάτων τάξιν ἄκλιτον μένει.

ΚΑΤΟΡΘΟΥ͂ΤΑΙ. Κανόνισον. Ὀρθόω, ὀρθῶ. καὶ τὸ παθητικὸν, ὀρθόομαι ὀρθοῦμαι. τὸ δεύτερον, ὀρθόῃ ὀρθοῖ. τὸ τρίτον, ὀρθόεται, ὀρθοῦται. καὶ μετὰ τῆς κατὰ προθέσεως κατορθοῦται.

ΧΡΗΣΤΟ'Ν, λέγεται τὸ χρήσιμον, καὶ γίνεται ἀπὸ τοῦ χρῶμαι. τούτῳ ἐναντίον τὸ φαῦλον. ὥσπερ τῷ καλῷ ὁ αἰσχρός. ἤγουν ὁ δυσειδής. καὶ τῷ ἀγαθῷ ὁ κακός.

Ε'ΙΔΗ'. Ποίου μέρους λόγου ἐστί; Συνδέσμου συναπτικοῦ. σύγκειται δὲ ἀπὸ τοῦ ει συναπτικοῦ, καὶ τοῦ δὴ παραπληρωματικοῦ.

Τὸ δη, η. Δὴ σύνδεσμος παραπληρωματικὸς, η. Δεῖ δὲ ἀντὶ πρέπει. ὅπερ οὔτε πρῶτον ἔχει πρόσωπον, οὔτε δεύτερον. καὶ δεῖ, ἀντὶ χρεία ἐστίν. οἷον Δεῖ μοι χρημάτων. καὶ δεῖ, ἀντὶ λείπεται. οἷον Πολλοῦ γε καὶ δεῖ. ὅπερ καὶ πρῶτον ἔχει πρόσωπον τὸ δέω, τὸ λείπομαι, ὡς παρὰ Συνεσίῳ, „Μικροῦ δέω λέγειν ἐν ὁμοτίμοις ἀγόμενος. δίφθογγος.

Α'ΛΗΘΕ'Σ. Πόθεν γίνεται; Ἀπὸ τοῦ ἀληθής. τὸ δὲ ἀληθὴς, ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ λήθω τὸ λανθάνω.

Ἰστέον ὅτι ταῦτα τὰ εἰς ης, ὅτε τριγενῆ ἐστιν, ἀπαράλλακτον κατὰ τὴν ἐκφώνησιν τό, τε ἀρσενικὸν καὶ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/183 gefördert von der Deutschen Forschungsgemeinschaft

τὸ θηλυκὸν γένος ἔχει, καὶ μόνοις τοῖς ἄρθροις αὐτὰ διακρίνει. οἷον ὁ εὐσεβὴς, ἡ εὐσεβής. ὁ ἀληθής. ἡ ἀληθὴς· ὁ ἀμαθὴς, ἡ ἀμαθής. καὶ τὰ ὅμοια.

Ἀληθές. Τὸ θες, ψιλόν. Τὰ ἀπὸ τῶν εἰς ης Ἀρσενικῶν, εἰς ες γινόμενα οὐδέτερα, εἰ μὲν ὀξύνεται τὰ ἀρσενικὰ, καὶ ταῦτα ὀξύνεται, καὶ διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον Ἀσθενὴς, ἀσθενές. Μονογενὴς, μονογενές. Ἀκλινὴς, ἀκλινές. καὶ τὰ ὅμοια. Εἰ δὲ παροξύνεται τὰ ἀρσενικὰ, ταῦτα προπαροξύνεται, πλὴν τῶν διὰ τοῦ ωδης. καὶ διὰ τοῦ ε ψιλοῦ γράφονται πάλιν. οἷον Συνήθης, σύνηθες. Κακοήθης, κακόηθες. Εὐήθης, εὔηθες. καὶ τὰ ὅμοια.

ΦΙΛΕΙ͂ΤΕ. Τὸ θέμα, φιλῶ. Πόθεν γίνεται τὸ φιλῶ; Ἀπὸ τοῦ φίλος.

Ἰστέον ὅτι τὸ φιλῶ, καὶ ὁ φίλος, ὡς ἐπιτοπλεῖστον μὲν βραχὺ ἔχει τὸ ι. ἐνίοτε δὲ καὶ μακρόν. καὶ ὅτι ὁ φίλος πρὸς τὸν πολέμιον ἀντίκειται. καὶ ὅτι τὸ φιλῶ, ποθῶ, ἀγαπῶ, ἀσπάζομαι, ἐνστερνίζομαι, μισῶ, βδελύττομαι, τὸ κοινῶς συγχαίνω, ἀπαναίνομαι, αἰτιατικῇ συντάσσεται. Φιληδῶ δὲ, τὸ πρόσκειμαι. στοιχῶ, τὸ συμφωνῶ. ἐνασμενίζω, προσκαρτερῶ, ἐμμένω, προσταλαιπωρῶ, προσανέχω, καὶ ἀγαπῶ τὸ ἀρκοῦμαι, δοτικῇ.

ΜΕΛΕ'ΤΗΝ. ἡ εὐθεῖα, ἡ μελέτη. Ἔστι δὲ μελέτη, ἡ ἄσκησις καὶ ἡ γυμνασία. καὶ γίνεται ἀπὸ τοῦ μέλειν διʼ ἑνὸς λ. ὃ δηλοῖ τὸ φροντίδα εἶναι. καὶ συντάσσεται ἀπὸ δοτικῆς εἰς γενικὴν ἀττικῶς. οἷον Μέλει-

λειμοι τȣ῀ ἀνθρώπȣ. ἀντὶ Φροντίς ἐϛιν. ἰωνικῶς δὲ ἀπὸ δοτικῆς εἰς εὐθεῖαν. οἷον Μέλειμοι ὁ ἄνθρωπος. ἀντὶ διὰ Φροντίδος ἐϛί. κ) ἔϛιν ἀπρόσωπον.

Τὸ λε, ψιλόν. Τίνα διὰ τȣ῀ ετη θηλυκὰ, διὰ τȣ῀ ε ψιλȣ῀ γράφονται; Ταῦτα. Μελέτη. Δημαινέτη. Ἀμαιμακέτη χίμαιρα παρ' Ὁμήρῳ καὶ ἀμαιμάκετος, ἤγουν μεγάλη· πρὸς ἣν οὐκ ἔϛι μῆκος τῶν ὁμοίων παραβαλεῖν. ὥσπερ ἀπέλεθρον ἐν ἄλλοις παρ' αὐτῷ. ἤγουν ἀμέτρητον, κ) ᾧ ȣ̓κ ἔϛι πελέθρῳ μετρῆσαι. καὶ ἕτερα.

Διὰ δὲ διφθόγγȣ, ταῦτα. Χαίτη, ἡ ἐπὶ τȣ῀ τραχήλȣ τȣ῀ ἵππȣ θρίξ. ἀφ' ȣ῟ Εὐχαίτης ἵππος, κ) κυανοχαίτης ποσειδῶν. ἤγουν μελανόθριξ.

ἈΝΑΓΝΏΣΕΙ. Ἡ εὐθεῖα, ἡ ἀνάγνωσις. Πόθεν γίνεται; Ἀπὸ τῆς ἀνὰ προθέσεως, καὶ τȣ῀ γνώσομαι. ȣ῟ τὸ θέμα ἄχρηϛον. ἀντ' αὐτȣ῀ δὲ χρώμεθα τῷ γινώσκω.

Τὸ γνω, μέγα. Τὰ ἀπὸ τῆς γνω συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τȣ῀ ω μεγάλȣ γράφεται, τινὰ δὲ διὰ τȣ῀ ο μικρȣ῀. Τίνα διὰ τȣ῀ ω μεγάλȣ; Ταῦτα. Γνώμη, ὁ νοῦς. ἀφ' ȣ῟ βαθυγνώμων, κ) μεγαλογνώμων. Γνώμη κ) ἡ κοινῶς προαίρεσις. ἀφ' ȣ῟ γνωμοδοτῶ, κ) γνωμοδότημα. Γνωμικόν. Γνωϛὸς, ὁ γνώριμος. Γνωσιμαχῶ παρ' ἀττικοῖς, τὸ μετανοῶ. Γνωρίζω κυρίως τινὰ, ἀπὸ νόϛȣ ἀνασφήλας. ἤγουν ἀναγνωρίζω· Γινώσκω δὲ ὑγιῶς ἔχων, ἀντὶ οἶδα. Γνωρίζω καὶ ἕτερον ἑτέρῳ. ἤγουν γνώριμον ποιῶ. Γνῶσις, ἐπὶ τȣ῀ εἰδέναι τί. κ) παρὰ Δημοσθένει ἡ κρίσις. κ) ἕτερα.

Τίνα διὰ τȣ̃ ο μικρȣ̃; Ταῦτα. Γνόφος. γνοφερός. γνοφώδης. Γνοφομηνία, ἡ σκότωσις τῆς σελήνης. Γνόντες, ἀντὶ νοήσαντες. κ̀ ἕτερα.

ΠΡΟΣΚΕΙΣΘΕ. Κανόνισον. Κέημι, ἄχρηστον, καὶ τὰ ἐνεργητικὰ πάντα. τὸ παθητικὸν, κέεμαι, κεῖμαι. καὶ ὁ παρατατικὸς ἐκεέμην, ἐκείμην. ἐκέεσο, ἔκεισο καὶ τὸ προστακτικὸν κέεσο, κεῖσο. τὸ δεύτερον τῶν πληθυντικῶν, κέεσθε, κεῖσθε. καὶ μετὰ τῆς πρὸς προθέσεως, πρόσκεισθε.

Ἰστέον δὲ ὅτι τὰ τροχαϊκὰ ῥήματα τὰ προπερισπώμενα ἐν τῇ συνθέσει οὐκ ἀναβιβάζει τὸν τόνον. οἷον εἶπε, κατεῖπε. εἶχον, κατεῖχον. καὶ τὰ ὅμοια. πλὴν τȣ̃ οἶδα, σύνοιδα. οἶσθα, σύνοισθα. κεῖμαι, πρόσκειμαι. κ̀ ἑτέρων. ἐπὶ δὲ τῶν ἀπαρεμφάτων τὸ κεῖμαι οὐκέτι τὸν τόνον ἐν τῇ συνθέσει ἀναβιβάζει. οἷον συγκεῖσθαι. παρακεῖσθαι. ἀντικεῖσθαι. προσκεῖσθαι.

ἽΝΑ. Ποίȣ μέρους λόγȣ ἐστί; Συνδέσμȣ αἰτιολογικȣ̃.

Τὸ ι, ι. Ἵνα σύνδεσμος αἰτιολογικός. καὶ ἶνα, τὴν δύναμιν, ι. εἶνα δὲ τὸν ἕνα κατὰ προσθήκην τȣ̃ ι ποιητικῶς, δίφθογγος.

ΓΕΝΗΣΘΕ. Συζυγίας πέμπτης τῶν βαρυτόνων· ἐγκλίσεως ὑποτακτικῆς. τούτȣ τὰ μὲν ἐνεργητικὰ πάντα ἄχρηστα. τὰ παθητικὰ δὲ ἐν χρήσει. οἷον Γίνομαι, ἐνεστώς. ἐγινόμην παρατατικός. γενήσομαι

μαι μέλλων, ἀπὸ περισπωμένȢ θέματος παρεχηματισμένος. ἐγενόμην Ἀόριςος. ἀφ' Ȣ̔ ὑποτακτικὸν ἐὰν γένωμαι. τούτȢ τὸ δεύτερον τῶν πληθυντικῶν, ἐὰν γένησθε. Ἴςέον ὅτι τὸ γίνεσθαι ἀντὶ ὑπάρχειν ἐνίοτε οἱ ποιηταὶ λαμβάνουσι. Θεῶν γὰρ φασιν αἰειγενετάων. ἤγουν ἀεὶ ὄντων. καὶ τοιαῦτα ἕτερα.

Ἀ'Πόςολοι ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι, καὶ οἰκτίρμονι καὶ κηδεμόνι πάντων θεῷ, τῷ παροχεῖ καὶ δοτῆρι καὶ χορηγῷ παντοίων χρηςῶν, τȢ̃ φωτίσαι καὶ φωταγωγῆσαι τουτωνὶ τῶν παίδων τὴν διάνοιαν, ἵνα μὴ προςκόπτωσιν ἐν τῇ τȢ̃ ςχέδους ὁδῷ.

ἈΠΟ'ΣΤΟΛΟΙ. Ἡ εὐθεῖα τῶν ἑνικῶν, ὁ ἀπόςολος. Πόθεν γίνεται; Ἀπὸ τῆς ἀπὸ προθέσεως, καὶ τȢ̃ ςέλλω. Ἔςι δὲ ςέλλω μὲν τὸ κοσμῶ. ἀφ' Ȣ̔ ςολαὶ, καὶ καταςολαὶ, τὰ διάφορα ςχήματα τῶν ἐσθήτων. ἐσθὴς δὲ ἁπλῶς τὸ ἱμάτιον. ςέλλομαι δὲ παθητικῶς, τὸ πορεύομαι. λέγεται δὲ κυρίως ἐπὶ θαλάσσης. οἷον Ἐςείλατό τις τόνδε τὸν πλοῦν. καὶ παρὰ Φιλοςράτω, „ Ὅτε κατὰ τοὺς Ἀχαιοὺς ἀπὸ αἰγῶν ςέλλεται. μετὰ δὲ τῆς ἀπὸ προθέσεως, ἀποςέλλω, τὸ πέμπω. καὶ ὑφ' ἑτέρȢ ἐγὼ ἀποςέλλομαι.

Ε'ΛΕΗ'ΜΟΝΙ. Ἡ εὐθεῖα, ὁ ἐλεήμων. Πόθεν γίνεται; Ἀπὸ τοῦ ἐλεῶ.

Τὸ λε, ψιλόν. Τίνα διὰ τοῦ εω ῥήματα, ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς, διὰ τοῦ ε ψιλοῦ γράφονται, καὶ τίνα διὰ τῆς αι διφθόγγου; Διὰ μὲν τοῦ ε ψιλοῦ, ταῦτα. Θεῶ, τὸ θεότητος μεταδίδωμι, συζυγίας τρίτης τῶν περισπωμένων. Θεῶμαι δὲ παθητικῶς, τὸ βλέπω, συζυγίας δευτέρας τῶν αὐτῶν. Θεέω δὲ θεῶ, θεήσω ποιητικῶς, τὸ θαυμάζω. ἀφ' οὗ τὸ θηεῖτο, καὶ τὸ θηεῦντο. Ἀνανεῶ, τὸ νέον αὖθις ποιῶ. Ἱλεῶ, τὸ ἐξευμενίζω. Ἐλεῶ. Στερεῶ. Ἐῶ τὸ καταλιμπάνω. καὶ ἕτερα.

Διὰ δὲ τῆς αι διφθόγγου, ταῦτα. Κραταιῶ. Παλαιῶ. Περαιῶ. Βεβαιῶ. Ἑδραιῶ, τὸ στηρίζω. Ὡραιῶ, τὸ ὡραΐζω. καὶ ἕτερα.

ΚΗΔΕΜΟ'ΝΙ. Ἡ εὐθεῖα, ὁ κηδεμών. Πόθεν γίνεται; Ἀπὸ τοῦ κήδομαι, τὸ φροντίζω.

Τὸ κη, η. Τίνα διὰ τοῦ ειδω ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς, διὰ τῆς ει διφθόγγου γράφεται, καὶ τίνα διὰ τοῦ η; Διὰ μὲν τῆς ει διφθόγγου, ταῦτα. Εἴδομαι, τὸ φαίνομαι. καὶ εἴσομαι ἐπὶ μέσου μέλλοντος, ἀντὶ γνώσομαι· Εἰδέω εἰδῶ περισπωμένως, ἐπὶ τοῦ αὐτοῦ. ὁ μέλλων εἰδήσω. Ἀείδω ποιητικῶς, τὸ κοινῶς ᾄδω, ἤγουν τὸ ψάλλω. καὶ ἁπλῶς, τὸ ἐμμελῶς καὶ κατὰ ῥυθμὸν λέγω. ἀφ' οὗ ἀοιδὴ, ἡ κοινῶς ᾠδή. ὅπερ ἐπεκράτησεν ἐπὶ τῆς ποιήσεως λέγεσθαι. καὶ ἀοιδὸς, ὁ ποιητής. Ἐρείδω, τὸ ἐπιστηρίζω. Δείδω, τὸ φοβοῦμαι. Φείδομαι. καὶ ἕτερα.

Διὰ

Διὰ δὲ τȣ̃ η, ταῦτα. Μήδομαι, τὸ βουλεύομαι. Κήδομαι, τὸ φροντίζω. Ἥδομαι, τὸ εὐφραίνομαι. καὶ Πηδῶ περισπωμένως, καὶ Φιληδῶ.

Τὸ δε, ψιλόν. Δαίμων. εὐδαίμων. καὶ Λακεδαίμων, δίφθογγα. Κηδεμὼν δὲ, ὁ φροντιςής· καὶ Πολέμων, κύριον· καὶ Ἡγεμὼν, ψιλά.

Κηδεμόνος. τὸ μο, μικρόν. Τὰ εἰς μων ὀξύτονα, ἐνίοτε μὲν φυλάττει τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ, ἐνίοτε δὲ συςέλλει αὐτό. Ἐν τίσι φυλάττει; Ἐν τούτοις. Κευθμὼν, κευθμῶνος, ὁ ἀπόκρυφος τόπος. ὃς καὶ κευθμὸς λέγεται ποιητικῶς, ὡς καλός. Λειμὼν, λειμῶνος, τόπος ἐν ᾧ εἰσιν ἄνθη. Χειμὼν, χειμῶνος. Πλαταμὼν, πλαταμῶνος, ἡ ἐπίπεδος ἄκρα τȣ̃ ποταμȣ̃. ὃ γὰρ ἐπὶ θαλάσσης αἰγιαλὸς, τοῦτο ἐπὶ ποταμȣ̃ πλαταμών. καὶ ὅπερ ἐπὶ τȣ̃ ποταμȣ̃ ὄχθη, τὸ ἀνεςηκὸς δηλονότι καὶ κρημνῶδες, τοῦτο ἐπὶ θα„ λάττης ἀκτή. ὡς παρ' Ὁμήρῳ, Ἀκτῇ ἐπὶ προχούσῃ. καὶ Δρυμὼν, δρυμῶνος, τὸ κοινῶς δάσος. ὃ καὶ ἄλσος καὶ λόχμη λέγεται, καὶ ὕλη παρὰ τοῖς ποιηταῖς· παρὰ δὲ τοῖς ῥήτορσιν ὕλη ἡ ὑπόθεσις αὐτῶν. παρὰ δὲ τοῖς φιλοσόφοις ὕλη ἡ ἀνείδεος. καὶ ταῦτα μὲν, ἤγουν ὁ δρυμὼν, ὃς καὶ δρυμὸς λέγεται, καὶ τὰ ἰσοδυναμοῦντα αὐτῷ ἐπὶ ξηρᾶς λέγεται. ἕλος δὲ τὸ λιμνῶδες καὶ καλαμῶδες. Ἐν τίσι συςέλλει; Ἐν τούτοις. Κηδεμὼν, κηδεμόνος. Στρυμὼν, ὄνομα ποταμȣ̃, ςρυμόνος. Ἡγεμὼν, ἡγεμόνος. καὶ ἐν ἑτέροις.

ΠΑΡΟΧΕ~Ι. Ἡ εὐθεῖα, ὁ παροχεύς. Πόθεν γίνεται; Ἀπὸ τȣ̃ παρέχω.

ΔΟΤΗ͂ΡΙ. Ἡ εὐθεῖα, ὁ δοτήρ. Τὸ δο, μικρόν. βώτωρ, ὁ βωτὴρ, ποιητικῶς. καὶ δώτωρ, ὁ δοτήρ, καὶ βωτιάνειρα παρ' Ὁμήρῳ, ἐπίθετον τῆς εὐκάρπου γῆς, καὶ τοὺς ἄνδρας τρεφούσης, μεγάλα. βατὴρ δὲ καὶ δοτὴρ, καὶ βότειρα, καὶ δότειρα, μικρά.

Τὸ τηρ, η. Δοτὴρ, καὶ βοτὴρ, η. ὡς λουτήρ. Βότειρα δὲ καὶ Δότειρα, δίφθογγος. βωτιάνειρα δὲ ι, τὸ τι. καὶ τὸ νει δίφθογγος.

ΠΑΝΤΟΊΩΝ. Ἡ εὐθεῖα, τὸ παντοῖον. οὗ τὸ ἀρσενικὸν, ὁ παντοῖος.

Τὸ τοι, δίφθογγος, ο καὶ ι. Τίνα διὰ τοῦ οιος, διὰ τῆς οι διφθόγγου γράφεται; Ταῦτα. Παντοῖος. Γελοῖος, ὁ ἄξιος γέλωτος. οὗ τὸ οὐδέτερον οἱ ἀττικοὶ γέλοιον λέγουσι, προπαροξυτόνως. Ὁποῖος. Ἑτεροῖος, Ἀλλοῖος. Τοῖος, ὁ τοιοῦτος. Ποῖος. Ὁμοῖος, ὁ ὅμοιος. Οἷος, ἀντὶ ὁποῖος, δασυνόμενον. Οἶος δὲ ὁ μόνος, ψιλούμενον, καὶ ἕτερα.

ΦΩΤΑΓΩΓΗ͂ΣΑΙ. Τὸ θέμα, Φωταγωγέω, Φωταγωγῶ.

Τὸ γῶ, μέγα. Τὰ διὰ τοῦ αγωγος ἅπαντα διὰ τοῦ ω μεγάλου γράφεται. οἷον Φωταγωγὸς, μυσταγωγὸς, ὁ διδάσκαλος. Προαγωγός. Νυμφαγωγὸς, ὁ κοινῶς προξενητής. Δημαγωγός. Ὑδραγωγός. Χειραγωγός. Ἀγωγὸς, ὁ ὁδοῦ ἡγεμών. καὶ Ἀγωγὸς, δι' οὗ τὸ ὕδωρ ἕλκεται· καὶ τὰ ὅμοια.

ΔΙΑ-

ΔΙΑ'ΝΟΙΑΝ. Η' εὐθεῖα, ἡ διάνοια. Πόθεν γίνεται; Α'πὸ τῆς δια προθέσεως, καὶ τοῦ νοῦς.

Τὸ νοι, δίφθογγος. Τὰ παρὰ τὸ νους, καὶ χρους, καὶ ρους, καὶ πλους, καὶ βους γινόμενα θηλυκὰ, διὰ τοῦ οια, ἢ οὐδέτερα εἰς οιον, διὰ τῆς ο καὶ ι διφθόγγου γράφονται.

Παρὰ τὸ νους. οἷον Εὔνοια. ἥτις λέγεται ἐπὶ τοῦ ἀγαθὰ φρονεῖν τινι. λέγεται δὲ ἀπὸ μικρῶν προσώπων πρὸς μεγάλα. ἐνίοτε καὶ ἀπὸ μεγάλων πρὸς μικρά. Ε'υμένεια δὲ, ἀπὸ τοῦ εὐμενὴς, διὰ τῆς ε καὶ ι διφθόγγου. καὶ λέγεται ἀπὸ μεγάλων προσώπων πρὸς μικρά. Δύσνοια, τὸ ἀντικείμενον τῇ εὐνοίᾳ. Κακόνοια. Παράνοια. Α'πόνοια. Ε'πίνοια. Διάνοια. Πρόνοια, ἡ ὑπέρ τινος ἀγαθὴ βούλησις. καὶ ἕτερα.

Παρὰ τὸ χρους. οἷον Εὔχροια, καὶ χροιὰ, ὀξυτόνως.

Παρὰ τὸ ρους, οἷον Εὔροια. Καταῤῥοια, Σύῤῥοια. Διάῤῥοια. Ε'πίῤῥοια. Α'πόῤῥοια.

Παρὰ τὸ πλους, οἷον Εὔπλοια. Δύσπλοια.

Παρὰ τὸ βους, οὐδέτερα. Ε'κατόμβοια. Ε'ννεάβοια. παρὰ δὲ τοῦτο δοκεῖ καὶ ἡ Εὔβοια τὴν ὁμοίαν αὐτοῖς γραφὴν ἔχουσα.

ΜΗ' ΠΡΟΣΚΟ'ΠΤΩΣΙ. Τὸ μη, ποίου μέρους λόγου ἐστίν; Ε'πιῤῥήματος, ἐνταῦθα μὲν ἀρνητικοῦ· ἐν ἑτέροις δὲ καὶ ἀπαγορευτικοῦ. ἔστιν ὅτε καὶ κατ' ἐρώτησιν λέγεται.

Ἰσέον ὅτι ὅτε μὲν κατ' ἐρώτησιν τοῦτο λέγεται, ἢ ἀρνητικόν ἐστιν, οὐδέποτε ὑποτάσσει. ὅτε δὲ ἀπαγγελτικόν ἐστιν, εἰ μὲν μετὰ παρατατικοῦ λέγεται χρόνου οὐδ' οὕτως οὐδέποτε ὑποτάσσεται. προστακτικῷ „ γὰρ συντάσσεται. ὡς παρ' Ὁμήρῳ, Μὴ κλέπτε „ νόῳ. καὶ Μήμοι οἶον ἄειρε. ἢ εὐκτικῷ προστακτικοῦ „ δύναμιν ἔχοντι. ὡς ἐν τῷ, Ἀρσενικὴ φιλότης μή „ ποτέ σε κλονέοι. Εἰ δὲ μετὰ Ἀορίστου, ἀεὶ ὑπο„ τάσσει. ὡς παρ' Ἀριστοφάνει, Μηδὲν εἴπῃς νήπιον, ἤγουν μὴ εἴπῃς.

Τὸ μη, η. Τίνα ἀπὸ τῆς μι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Μισῶ. ὃ ποιητικῶς ἐχθαίρω λέγεται. ἀφ' οὗ μῖσος προπερισπώμενον, τὸ παρὰ τοῖς ποιηταῖς ἔχθος. μακρὸν γὰρ ἔχει τὸ ι. μύσος δὲ τὸ μίασμα, ἀπὸ τοῦ μυσάττομαι, τὸ βδελύττομαι, διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ παροξύνεται. βραχὺ γὰρ ἔχει τὸ υ. Μιαίνω, τὸ μολύνω, καὶ τὸ μιγνύω, καὶ βάπτω. ὡς παρ' Ὁμή„ ρῳ, Ὡς δ' ὅτε τίς ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ. ἀφ' οὗ μίασμα. Μιαρὸς, καὶ μιαιφόνος. Μιχαήλ. Μίτρα, ἡ πολεμικὴ ζώνη, καὶ τὸ αἰτάνιον, ὡς „ παρ' Εὐριπίδῃ, Ἀναδέτοις μίτραισιν ἐρρυθμιζόμην. Μίλιον, μέτρον γῆς, ὅπερ ἔχει στάδια ἑπτά. Μισθὸς, τὸ διδόμενον τοῖς περί τι πονουμένοις. ὅπερ ἐπὶ τῶν ἀγῶνα νικησάντων ἆθλον λέγεται, καὶ ἔπαθλον, καὶ βραβεῖον· ἐπὶ δὲ τῶν χειροτεχνῶν, ἐπίχειρον. ἀφ' οὗ μισθωτὸς, ὁ ἐπὶ μισθῷ δουλεύων, καὶ μίσθιος. Μι„ σθόω μισθῶ, ἕτερον ἑτέρῳ, ὡς παρὰ Φιλοστράτῳ, „ Ταῦτά τοι καὶ ἀπομισθοῖ τοὺς ὀφθαλμοὺς ἐκείναις.

ἤγουν

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/192 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

ἤγουν τὴν ἐνέργειαν τῶν ὀφθαλμῶν ἐπὶ μισθῷ δίδωσι. μισθοῦμαι δὲ ἐγώ τινα, ἤγουν ἐπὶ μισθῷ λαμβάνω. Μία. καὶ κλίνεται μιᾶς. Μίδας, κύριον. ὃν λέγουσι μάλιστα πάντων ἀνθρώπων ἐρασθῆναι χρυσοῦ. καὶ εὐξάμενον τῷ Διῒ, πᾶν ὅπερ ἂν ἅψηται, χρυσὸν γίνεσθαι, καὶ τυχόντα, λιμῷ ἀποθανεῖν, τῶν σιτίων αὐτῷ εἰς χρυσὸν μεταβαλλομένων. Μὶν, ἀντωνυμία τρίτου προσώπου. Μικρός. ὃ καὶ μετὰ τοῦ σ λέγεται σμικρὸς, ἀττικῶς. Μίξις. Μιγνύω. Μίγω. ὃ καὶ σμίγω γράφεται. Μίνως, κύριον. καὶ κλίνεται μίνωος. Μίτος, τὸ μιτάριον. Μίκυλλος, κύριον. Μίνθος, ἡ κόπρος. Μινυὸς, ὁ μικρός. Μίλητος, ὄνομα τόπου. Μιμηλός. Μιμιτός. Μιτυλήνη. Μιχαίας, κύριον. Μιμὼ, ζῶον. Μίμνω, ἀντὶ μένω. Μινυρίζω, τὸ κλαυθμυρίζομαι. Μινύρομαι, τὸ αὐτό. Μίλτος, κοκκινόντι βάμμα. ἀφ' οὗ μιλτοπάρηος. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Μῆκος, τὸ Μάκρος. ἀφ' οὗ μηκεδανὸς ποιητικῶς, ὁ μακρός, Μήκιστος, ὁ μακρότατος. Ἐπίμηκες. καὶ Ἑτερόμηκες, τετράγωνον τὸ πλέον ἔχον τοῦ πλάτους τὸ μῆκος. καὶ Προμήκης λιμὴν. καὶ Ἐπιμήκης, ὁ εἰς μῆκος πολὺ ἐκτεταμένος. Μήκων, ὄνομα κύριον, καὶ εἶδος φυτοῦ. Μήσομαι, τὸ βουλεύσομαι, ποιητικῶς. καὶ ἐμήσατο, ἀντὶ ἐβουλεύσατο. Μήδεα, τὰ βουλεύματα, καὶ τὰ αἰδοῖα. ἀφ' οὗ παρ' Ἡσιόδῳ, φιλομηδὴς ἡ Ἀφροδίτη. ὅτι φησὶ, τῶν μηδέων ἐξεφαάνθη. Μῆτις ποιητικῶς, ἡ βουλή. Μῆδοι, ὄνομα ἔθνους. Μήδεια, ὄνομα γυναικὸς, καὶ ὄνομα τόπου. Μήνη, ἡ σελήνη. ἀφ' οὗ μὴν, ὁ τριακονθήμερος χρόνος. καθ' ὃν ὀλίγου τινὸς δέοντος, ἡ σελήνη τὰ δώδεκα διέρχεται ζώδια. καὶ μηνίσ-

νίσκοι τὰ τȣ͂ κύκλȣ τμήματα. Μήτρα, ἔνθα ὁ σπόρος καταβαλλόμενος μεταβάλλεται, καὶ εἰς ζῶον τυποῦται. ἀφ' ȣ͂ μητρικὰ πάθη παρ' ἰατροῖς. Μήνιγξ, ὁ μεταξὺ τῶν ὀφθαλμῶν τόπος, καὶ τῶν ὠτίων. Μήθω ἄχρηστον, τὸ μανθάνω. ἀφ' ȣ͂ τὸ ἔμαθον. Μηκηθμὸς, ἡ τῆς αἰγὸς φωνή. Μηρυκίζειν, τὸ μαρυκᾶσθαι. Μηρύομαι, τὸ σχοινίον συνάγω. Μήρινθος, τὸ συνειλεγμένον σχοινίον. Μηονία χώρα. καὶ ἀπὸ ταύ„ της, μηονίς. ὡς παρ' Ὁμήρῳ, Μηονὶς ἠὲ κάειρα. Μηρὸς, τὸ μηρίον. Μῆλον, εἶδος ὀπώρας, καὶ τὸ πρόβατον, ποιητικῶς. ἀφ' ȣ͂ μηλωτὴ, ἡ ἀπὸ τούτȣ γοῦνα. ὅπερ ἐν χρήσει καὶ παρὰ τοῖς κοινοῖς. Μήτηρ. Μητρυιά. ὅπερ ἐπ' ἀνδράσιν ὁ πατρωὸς, τοῦτο ἐπὶ γυναιξὶ μητρυιά. ἤγουν ἡ γυνὴ ἣν ὁ πατὴρ ἄγεται, ἀποθανούσης τῆς τῶν παίδων μητρὸς. Μήτρων, ὁ πρὸς μητρὸς θεῖος. ὁ δὲ πρὸς πατρὸς, πάτρων. Μητρῷον γένος, ἢ κτῆμα. ὡς πατρῷον. καὶ Μητρῷον παρ' Ἀθηναίοις, τὸ τῇ μητρὶ τῶν παρ' αὐτοῖς θεῶν ἀνειμένον. ὥσπερ θησεῖον, τὸ τῷ θησεῖ ἀνειμένον. Μῆνις, ἡ μνησικακία. μηνίω, τὸ μνησικακῶ. μηνιθμὸς, ὁ τῆς μνησικακίας χρόνος. Μηνύω σοι τόδε. ἤγουν δηλῶ σοι. ἀφ' ȣ͂ μηνυτής. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγȣ, ταῦτα. Μειδιῶ, τὸ ἠρέμα γελῶ. ἐξ ȣ͂ ἀμειδὴς ᾅδης. καὶ φιλομειδὴς Ἀφροδίτη παρ' Ὁμήρῳ. Μείζων, ὁ μεγαλότερος. Μείων, ὁ ἐλάττων. Μειράκια, καὶ μειρακύλλια. τοὺς ἄῤῥενας ἔτως οἱ ἀττικοὶ ἔλεγον. μείρακας δὲ, τὰς θηλείας. Μειδίας, κύριον. μειλίσσομαι, καὶ ἐκμειλίσσομαι, τὸ καταπραΰννω. Μειλίχιος, ὁ πρᾷος. Μείλιγμα, ἡ θεραπεία. Μειῶ, τὸ ἐλαττῶ. Μειονεκ-

νεκῶ, τὸ ἔλατῖον προλιμήσας ἔχω. Μείλινον δόρυ, τὸ ἐκ μελίας δένδρυ. Μεὶς, ὁ μὴν, αἰολικῶς. καὶ ἕτερα.

Προσκόπῖωσιν, ἀντὶ προσκρούωσι. Κανόνισον. Προσκόπῖω. καὶ ἡ μετοχὴ ὁ προσκόπῖων, τῦ προσκόπτονῖος. καὶ ὁ παρατατικὸς προσέκοπῖον. καὶ τὸ ὑποτακῖικὸν, ἐὰν προσκόπῖω. τὸ τρίτον τῶν πληθυνῖικῶν ἐὰν προσκόπῖωσιν.

Ο'ΔΩ͂. Η' εὐθεῖα, ἡ ὁδός. ἀφ' ὗ εἴσοδος, ἡ εἰσέλευσις. ᾧ ἐναντίον ἡ ἔξοδος. Σύνοδος, ὅταν συνέρχωνῖαι δύο τινὰ, ἢ καὶ πλείω εἰς ταυτό. Πρόσοδος, ἐπὶ προσελεύσεώς τινος πρός τινα, καὶ ἐνδημίας. ᾧ ἐναντίον ἡ ἄφοδος. καὶ πρόσοδος, τὸ κοινῶς προσόδιον. Πρόοδος, ἡ ἐκπόρευσις. Α'νοδος, ᾧ ἐναντίον ἡ κάθοδος. Πάροδος, ἡ ποιηῖικῶς ἀτραπὸς, δι' ἧς παρέρχονῖαι τινές. Μέθοδος. Ε'φοδος, ἐπὶ τῶν ἐρχομένων κατά τινων. περίοδος, ὅταν ἀπό τινός τις ἀρξάμενος, εἰς αὐτὸ πάλιν καταλήξῃ, ὡς παρ' ἰατροῖς περίοδοι. καὶ τὰ περιοδικὰ νοσήμαῖα, ἅτινα ἀρξάμενα καὶ διαλείπονῖα, πάλιν ἐν μεμετρημένῳ χρόνῳ ἐπαναστρέφεῖαι.

Ο'δός. Τὸ ο, μικρόν. Τίνα ἀπὸ τῦ ο ἀρχόμενα, ἔχοντα ἐπαγόμενον τὸ δ, διὰ τῦ ο μικρῦ γράφεῖαι, καὶ τίνα διὰ τῦ ω μεγάλυ.

Διὰ μὲν τῦ ο μικρῦ, ταῦτα. Ο'δὸς, ἡ πορεία καὶ ὁ λόχος. ὡς παρὰ Δημοσθένει, Η' ἐν ὁδῷ καθελών. τοιοῦτον εἶναί φασι, καὶ τὸ Ο'μηρικὸν, Η'

„ὁδὸν

„ ὁδὸν ἐλθέμεναι. Ὀδυσσεὺς, κύριον. Ὀδύσσεια, τὸ ἐπ᾽ ὀδυσσεῖ τοῦ Ὁμήρου βιβλίον. Ὀδύσσομαι, τὸ ὀργίζομαι. Ὀδὰξ, ἐπίῤῥημα, ἀντὶ μετὰ τῶν ὀδόντων. Ὄδωδα, καὶ Ὀδωδώς. Ὀδαγὸς παρ᾽ ἀττικοῖς, ὁ ὁδηγός. Ὁδοιπόρος. ὁδοιπορία. Ὁδοιδόκος, ὁ λῃστής. Ὀδύρομαι, τὸ θρηνῶ. Ὀδυνῶμαι, τὸ ἀλγῶ, Ὀδύνη. ἀφ᾽ οὗ περιωδυνία διὰ τοῦ ω μεγάλου, ἡ ἄμετρος λύπη. Ὀδοὺς, καὶ κλίνεται ὀδόντος. Ὀδμὴ, ἡ ὀσμή. Ὅδε, ἀντὶ οὗτος. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ω μεγάλου, ταῦτα. Ὧδε καὶ Ὡδὶ, ἀντὶ ἐνταῦθα, καὶ ἀντὶ οὕτως. καὶ ἀμφότερα δασυνόμενα. Ὠδύνειν, τὸ ἐγκυμονεῖν. ὠδῖνες, οἱ πόνοι τοῦ τοκετοῦ. Ὠδώδει, ἐπὶ ὑπερσυντελικοῦ. ἀντὶ ὀσμὴν ἔπεμπε. Ὠδὴ, ἡ παρὰ τοῖς ποιηταῖς ἀοιδή. Ὠδηκὼς, ὁ ἐξωγκωμένος παρ᾽ ἀττικοῖς. ὃ παρὰ τοῖς κοινοῖς οἰδηκὼς λέγεται. καὶ ἕτερα.

Ἔχε ἐπὶ λογισμῶν ὦ παῖ τὰ γραφόμενά σοι ῥησείδια καὶ λεξείδια, τὰ τιμιώτερα ὑπὲρ χρυσίον, καὶ προτιμώτερα ὑπὲρ μυριάδας ἀργυρίων· καὶ ἡδύτερα ὑπὲρ μέλι καὶ κηρίον. ταῦτα γάρ σε θήσει κλεινὸν καὶ ἀρίδηλον, καὶ ἀρίζηλον, καὶ ἀριδείκετον, καὶ ἐν βροτοῖς περιώνυμον.

ἜΧΕ.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/196 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Ε'ΧΕ. Τὸ θέμα, ἔχω. Τὸ ε. ψιλόν. Τὰ ἀπὸ τȣ̃ εχω ῥήματα, διὰ τȣ̃ ε ψιλȣ̃ γράφονται. οἷον Βρέχω, τὸ παρὰ τοῖς ἀττικοῖς ὕω. Τρέχω. Α'μπέχω, τὸ ἐνδύομαι. Ε'΄χω καὶ τὰ ὅμοια.

Καὶ ἄλλως. Τὰ διὰ τȣ̃ ε ἀρχόμενα, ἔχοντα ἐπαγόμενον τό χ, ὡς ἐπιτοπλεῖστον μὲν διὰ τȣ̃ ε ψιλȣ̃ γράφονται· τινὰ δὲ αὐτῶν καὶ διὰ τῆς αι διφθόγγȣ. Τίνα διὰ τȣ̃ ε ψιλȣ̃; ταῦτα. Ε'΄χω τὸ φορῶ, καὶ κέκλημαι, καὶ διάκειμαι, καὶ κρατῶ. Ε'΄χις, εἶδος ὄφεως. Ε'΄χθος παρὰ ποιηταῖς, τὸ μῖσος. καὶ ἐχθαίρειν, τὸ μισεῖν. Ε'΄χιδνα, εἶδος ὄφεως. Ε'χενηὶς, εἶδος ἰχθύος. Ε'χέτλη, τὸ ἄκρον τȣ̃ ἀρότρȣ. ὃ κρατοῦντες οἱ γεωργοὶ, κινȣ̃σιν ὅλον τὸ ἄροτρον. Ε'χῖνος, ζῶον θαλάττιον καὶ χερσαῖον· καὶ σκεῦός τι παῤ ἀττικοῖς χαλκοῦν, τῆς δικαστικῆς τραπέζης. ἐν ᾧ τὰ γραμματεῖα ἐπετίθεσαν. Ε'χῖνος καὶ πόλις, ἧς μνημονεύει Δημοσθένης ἐν πέμπτῳ φιλιππικῶν. Ε'χθρὸς, ὁ ἐν τῷ αὐτῷ τόπῳ. πολέμιος δὲ, ὁ ἀπ' ἀλλοτρίας γῆς. Ε'χθραίνω. Ε'χυρὸν, τὸ ἀσφαλές. Ε'χεμυθῶ, τὸ τοὺς λόγους φυλάσσω. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγȣ; Ταῦτα. Αἰχμὴ, τὸ ξίφος τȣ̃ δόρατος. καὶ ἀπὸ τούτȣ, ὅλον τὸ δόρυ. ἀφ' ȣ̃ αἰχμάλωτος. καὶ αἰχμαλωσία. καὶ αἰχμητὴς, ὁ τῇ αἰχμῇ χρώμενος. αἰχμάζω, τὸ ἀκοντίζω. καὶ „ τὸ ὁπλίζω. ὡς παρὰ Σοφοκλεῖ, Η῏ καὶ πρὸς ἀ„ τρείδαισιν ἤχμασας χέρα, καὶ Μεταίχμιον, τὸ μέσον τῶν παρατάξεων. ὃ καὶ μεσαίχμιον λέγεται. καὶ ἕτερα.

ΛΟΓΙΣΜΩΝ. Ἡ εὐθεῖα τῶν ἑνικῶν, ὁ λογισμός.

Τὸ γι, ι. Τὰ εἰς μος ὀξύτονα, εἰ μὲν ἀπὸ τῶν διὰ τȣ͂ ιζω ῥημάτων γίνονται, διὰ τȣ͂ ι γράφονται. οἷον Ὑβρίζω, ὑβρισμός. Ὀνειδίζω, ὀνειδισμός. Μυκτηρίζω, μυκτηρισμός. Προπηλακίζω, προπηλακισμός. Ὡραΐζω, ὡραϊσμός. Νοσφίζω, τὸ χωρίζω, νοσφισμός. Λογίζωμαι, λογισμός. ϗ τὰ ὅμοια.

Εἰ δὲ ἀπὸ τῶν εἰς ω περισπωμένων γίνονται, διὰ τȣ͂ η γράφεται. οἷον Ἐξουδενῶ, ἐξουδενήσω, ἐξȣδενησμός. Μαχησμὸς, ἀπὸ τȣ͂ μαχέσομαι. ȣ̓ τὰ ἐνεργητικὰ πάντα ἄχρηστα καὶ τὰ παθητικὰ, πλὴν τȣ͂ μέλλοντος, καὶ τȣ͂ Ἀορίστȣ, καὶ ὁ μέλλων δὲ ȣ̓ τοσοῦτον ἐν χρήσει. οἱ γὰρ ἄριστοι τῶν ἑλλήνων τῷ μαχοῦμαι. χρῶνται. τὸ μαχέσομαι δὲ, οἱ τȣ͂ πλήθους. Τεμμαχισμὸς δὲ, ι. ὅτι ἀπὸ τȣ͂ τεμμαχίζω. Λοιδορῶ, λοιδορήσω, λοιδορησμός. Συγκροτῶ, ἐπὶ τῶν χαλκέων κυρίως, καὶ ἀπὸ τούτȣ ἐπὶ τῶν συμφωνούντων, συγκροτήσω, συγκροτησμός. Ξεναγῶ, ξεναγήσω, ξεναγησμός. ϗ τὰ ὅμοια.

ΠΑΙΣ. Ἡ εὐθεῖα, ὁ παῖς. λέγεται δὲ παῖς, ὁ τὴν τȣ͂ παιδίȣ μὲν παραδραμὼν ἡλικίαν οὔπω δὲ ἀφιγμένος ἐπὶ τὴν τῶν μειρακίων. Εἰσὶ δὲ ἡλικίαι ἑπτὰ, ὥς φησιν Ἱπποκράτης. ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέομεν, παιδίον. παῖς. μειράκιον. νεανίσκος. ἀνήρ. πρεσβύτης. γέρων. Καὶ παιδίον μὲν ἄχρις ἑπτὰ ἐτέων, ὀδόντων ἐκβολῆ. Παῖς δ᾽ ἄχρις ἐκ φύσεως, ἐς τὰ δὶς ἑπτά. Μειράκιον δ᾽ ἄχρι γενείȣ

λαχ-

λαχνώσεως, ἐς τὰ τρὶς ἑπλά. Νεανίσκος δ' ἐς τ' ἄχρις αὐξήσεως ὅλȣ τȣ̃ σώματος, ἐς τὰ τετράκις ἑπλά. Ἀνὴρ δὲ ἄχρις ἑνὸς δέοντος ἐς τὰ ἑπτάκις ἑπλά. Πρεσβύτης δὲ ἄχρις ἐτῶν πεντήκοντα ἓξ, ἐς τὰ ἑπτάκις ὀκτώ. Τὸ δὲ ἐντεῦθεν, γέρων. λέγεται παῖς καὶ ὁ υἱὸς, καὶ παρὰ τοῖς ἀττικοῖς, ὁ δοῦλος, κἂν ἢ γέρων.

Τὸ παις, δίφθογος. Τὰ ἀπὸ τῆς πε συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τȣ̃ ε ψιλȣ̃ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγγȣ.

Τίνα διὰ τȣ̃ ε ψιλȣ̃; Ταῦτα. Πέτρος, ὄνομα κύριον, καὶ παρὰ τοῖς ἀττικοῖς, ἡ πέτρα. ὥσπερ ὁ σκότος παρὰ τοῖς αὐτοῖς, τὸ παρὰ τοῖς κοινοῖς οὐδετέρως σκότος. Πελαργὸς, ζῶον. ἀφ' ȣ̔ ἀντιπελάργωσις, ἐπὶ τῶν ἐπισαμένων χάριν, ὑφ' ὧν εὖ ἔπαθον, καὶ ἀντιδιδόντων, διὰ τὴν τῶν πελαργῶν πρὸς τοὺς ἑαυτῶν πατέρας, ὅταν γηράσκωσι, κηδεμονίαν καὶ ἀντίδωσιν τῆς γεννήσεως ἑαυτῶν καὶ ἀνατροφῆς. Πέπερι. Πεδίον, ἡ ὁμαλὴ γῆ. ὃ καὶ πέδον λέγεται, καὶ πεδιάς. ἐλέγετο καὶ πεδίον ἰδίως, μοῖρά τις ἐν Ἀθήναις, ἀπὸ τȣ̃ συμβεβηκότος. ἣ καὶ προβάτων εἶχε νομάς. καὶ τὰ ἐντεῦθεν ἐλέγετο πεδιακά. Πεσσοὶ παρ' ἀττικοῖς, οἱ παρὰ τοῖς ἄλλοις ἕλλησι κύβοι. Πεπράσσομαι, παρ' αὐτοῖς ἀντὶ πραθήσομαι. Περίστωον ὁμοίως παρ' αὐτοῖς, τὸ παρὰ τοῖς ἄλλοις περίστυλον. Πεττύκια δωρικῶς, τὰ λεπτὰ περιτμήματα τῶν δερμάτων. ἀφ' ȣ̔ ἡμεῖς πιττάκια λέγομεν. Πεντηκόντορος ναῦς, ἡ ὑπὸ πεντήκοντα ἐρεσσομένη. ἀφ' ȣ̔ πεντηκόνταρχος παρὰ Δημοσθένει ἐν τῷ περὶ τȣ̃ ἐπι-

τετραρχήματος, ὁ τῆς πεντηκοντῆρος ἄρχων. Περιδέραια, τὰ κοινῶς περιτραχήλια. Πελιδνὸν, τὸ βαρβάρως οὕτω λεγόμενον μελανόν. Πεντέτηρὶς παρ᾽ ἀττικοῖς, διὰ τοῦ ε. καὶ Πεντέμηνον. καὶ Πεντέκλινον. ἃ παρὰ τοῖς ἄλλοις ἕλλησι πενταέτηρὶς ἐλέγετο. καὶ πεντάμηνον. καὶ πεντάκλινον, διὰ τοῦ α. Πέτομαι παρὰ τοῖς αὐτοῖς διὰ τοῦ ο μικροῦ, τὸ παρὰ δὲ τοῖς κοινοῖς πέταμαι. Πεπολέμωται, ἀντὶ εἰς ἔχθραν προήχθη. Πεντηκοστή. ἐλέγετο καὶ παρ᾽ Ἀθηναίοις πεντηκοστὴ, τέλος τί. ἀφ᾽ οὗ πεντηκοστολόγοι παρ᾽ αὐτοῖς, οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες. Πεζαίτεροι. οἱ παρὰ τῷ Ἀλεξάνδρῳ πεζοὶ οὕτω προσηγορεύθησαιν. τοὺς μὲν γὰρ ἐνδοξοτάτους φασὶν αὐτῶν ἱππεύειν συνεθίσας, ἑταίρους προσηγόρευσε· τοὺς δὲ πλείστους καὶ τοὺς πεζοὺς, εἰς λόχους καὶ δεκάδας, καὶ τὰς ἄλλας ἀρχὰς διελὼν, πεζαιτέρους ὠνόμασεν. ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρίας, προθυμότατοι διατελῶσιν ὄντες. Πενέσαι, οἱ παρὰ Λακεδαιμονίοις εἵλωτες, οὓς καὶ θετταλοικέτας ἐκάλουν. Πεπάρηθος, νῆσος οὐκ ἄπωθεν Εὐβοίας. Περίοδος. καὶ περιοδικὰ νοσήματα, τὰ τεταγμένως ἀνιέμενα, καὶ αὖθις ἐπιγινόμενα. Περιστοιχίζεται, ἀντὶ περιλαμβάνεται. ἐκ μεταφορᾶς τῶν κυνηγετῶν, οἳ κατὰ τὰς ἐκδρομὰς τῶν θηρίων, ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους, καταπετανύντες αὐτῶν δίκτυα, ἵνα ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. Περγασὴ, δῆμος ἐν Ἀθήναις. ἧς τὸν δημότην διχῶς ἔλεγον. περγασέα, καὶ περγασῆθεν. Πέπλος, ἐξαιρέτως ἔνδυμά τι ὃ ἀνῆγον τῇ Ἀθηνᾷ ἐν τοῖς μεγάλοις παναθηναίοις. Περίανδρος, κύριον. Περίπολος, ἡ κατὰ κύκλον πορεία. Περίστασις, ἀντὶ συμφορὰ, ἢ παρουσία

πλή-

πλήθους, διά τινα τάραχον. Πέλανος, κυρίως τὸ λεπ]ὸν πέμμα. ἀπὸ τȣ̃ πεπλατύνθαι. ἢ ἀπὸ τȣ̃ πα- „ λύνειν, τὸ λευκαίνειν. λευκὰ γὰρ ἦν. ὡς παρ' Ὁ- „ μήρῳ, Ὅτεπερ χιὼν ἐπάλυνεν ἀρούρας. ἰδίως δὲ Εὐριπίδης λέγει πέλανον, τὸν πεπηγότα ῥύπον. Πέζα, ὁ ποῦς. Πεζός. Πεζεύω, ἀμεταβάτως. καὶ πεζεύω τὴν θάλασσαν, ἀντὶ πεζῆ πορεύομαι. Πέλεκις. καὶ κλίνεται πελέκεως, διὰ τȣ̃ ω μεγάλȣ. Πελεκὰν, ἐρημικὸν ὄρνεον. Πέλοψ, κύριον. Πελώριος, ὁ μέγας. Πέμμα. Πένομαι, ἀντὶ πένης εἰμί. πένης, ὁ ταῖς οἰκείαις χερσὶν ἐργαζόμενος καὶ ζῶν. ἀφ' ȣ̃ πενιχρὸν, τὸ εὐτελές. Πέδιλον, τὸ ὑπόδημα. Πέτηλον ποιητικῶς, κατὰ τροπὴν τȣ̃ α εἰς η, τὸ φύλλον. Πέλεια, καὶ πελειὰς, ἡ περιστερά. Πεπαίνω, τὸ ὡριμάζω. Πέπειρον, τὸ ὥριμον. Πέπονες, πάντα τὰ ἐν πεπάνσει. Πεπρωμένη, ἡ μοῖρα. Πέρσης, ἐθνικὸν, καὶ ὄνομα κύριον. Περόνη, τὸ σουβλίον. Πέρδιξ, ζῶον πτηνόν. Περιωπὴ, ὁ ὑψηλὸς τόπος. Περσεφόνη, θεὰ παρ' ἕλλησι καταχθόνιος. ἣν καὶ περσέφασαν λέγουσι καὶ Φερσεφόνην. Περίψημα, τὸ ἀποσπόγγισμα. Περισσόν. Πέρας, τὸ τέλος. Περαίνω, τὸ τελειῶ. Περαιῶ, μεταβατικῶς. καὶ ἐπεραιώθην. Περῶ δὲ, ἀμεταβάτως. Περαιτέρω, ἀντὶ ἔμπροσθεν. Πέτ]ω, τὸ χωνεύω. Πετεινὸν, καὶ Πετεεινὸν, ποιητικῶς, τὸ κοινῶς πτηνόν. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγȣ; Ταῦτα. Παῖς. Παιδίον παρ' ἀττικοῖς, τὸ θυγάτριον. παιδεύω. παιδεία. Παίζω, ᾧ ἐναντίον τὸ σπουδάζω. Παῖσαι παρ' ἀττικοῖς, ἀντὶ παῖξαι. Παιδιὰ, τὸ ἐναντίον τῇ σπουδῇ. Παίγνιον. Παιὰν, ὕμνος εἰς ἀπόλλωνα. ἐπὶ ἀ-

φέσαι λοιμȣ ᾀδόμενος. παιανίζω, τὸ παιᾶνα ᾄδω. Παιανιεῖς, δῆμος ἐν Ἀθήναις. καὶ Παιονίδαι, ὁμοίως ἕτερος δῆμος. ἀφ' ὧν οἱ δημόται. παιανιεὺς, καὶ παιονίδης. Παιήων, ὁ τῶν θεῶν ἰατρός. ἀφ' ȣ̃ παιώνια φάρμακα. Παίω, τὸ τύπτω. Παίονες, ὄνομα ἔθνους. Παιδοτρίβης, καὶ Παιδαγωγὸς, ἐπ' ἀνθρώπων, ὅπερ ἐφ' ἵππων ὁ πωλοδάμνης. Παιπάλη, τὸ λεπτὸν τȣ̃ ἀλέυρȣ. Παικτὸν, τὸ ἄξιον παίζεσθαι. Παίκτης. κ ἕτερα.

ῬΗΣΕΊΔΙΑ. Τὸ ρη, η. Τίνα ἀπὸ τῆς ρη συλλαβῆς ἀρχόμενα, διὰ τȣ̃ ι γράφεται, καὶ τίνα διὰ τȣ̃ η, καὶ τίνα διὰ τῆς ε κ ι διφθόγγȣ; Διὰ μὲν τȣ̃ ι, ταῦτα. Ῥίπτω. ἀφ' ȣ̃ ῥίψασπις, ὁ συγχυθεὶς ὑπὸ δειλίας ἐν πολέμῳ, καὶ τὴν ἀσπίδα ῥίψας. Ῥιγέω ῥιγῶ, τὸ φοβοῦμαι, συζυγίας πρώτης τῶν περισπωμένων. ἀφ' ȣ̃ ῥιγεδανὸς, ὁ φρικώδης. Ῥιγόω δὲ ῥιγῶ ἐπὶ κρύους, συζυγίας τρίτης τῶν αὐτῶν. ἀφ' ȣ̃ ῥίγιον, τὸ ἀλγεινόν. καὶ ῥίγιστον, ἐπὶ ὑπερθετικȣ̃. Ῥίζα. Ῥιπὴ, ἡ ὁρμή. Ῥὶν, ἡ μίτυς. Ῥικνȣ̃σθαι, τὸ ἀσχημόνως κινεῖσθαι. Ῥίνη, τὸ ῥινίον. Ῥινηλάτης, κυρίως ἐπὶ κυνός. καὶ ῥινηλατεῖν, ἐπὶ τȣ̃ αὐτȣ̃. διώκει γὰρ ὁ κύων ταῖς ῥισὶν ὀσμώμενος. Ῥίον, ἀκρωτήριον πελοποννήσȣ, ἐναντίως τῷ καλουμένῳ ἀντιῤῥίῳ τετραμμένον. Ῥιπίδιον. Ῥιπὶς, τὸ αὐτό. Ῥινὸς, τὸ δέρμα τȣ̃ βοός. κ ἕτερα.

Διὰ δὲ τȣ̃ η, ταῦτα. Ῥῆμα. ὃ παρὰ τοῖς γραμματικοῖς, ἐν ἄλλοις λαμβάνεται, καὶ παρὰ τῷ Ἀριστοτέλει ἐν ἄλλοις. παρὰ δὲ τῇ θείᾳ γραφῇ ῥήματα ἁπλῶς οἱ λόγοι. Ῥῆσις. Ῥήτωρ. Ῥήγιον, ὄνομα

τόπȣ. Ρ῾ῆγος, τὸ βαπτὸν ἱμάτιον. ἀφ᾽ ȣ῟ ῥηγεὺς, ὁ βαφεύς. Ρ῾ήσσω, ποιὰ λέξις. λέγεται δὲ ἐπὶ βροχῆς. ἀφ᾽ ȣ῟ ῥαγδαῖος ὑετός. ϗ ἐπὶ φωνῆς. ϗ ἐπὶ τῶν διασπωμένων ὡς ἦχον ἀποτελεῖν. ἀπὸ τούτȣ ϗ ἐπ᾽ ἄλλων. Ρ῾ηγνύω, τὸ αὐτό. Ρ῾ήν, τὸ πρόβατον. καὶ κλίνεται ῥηνός. Ρ῾ῆσος, ὄνομα κύριον. Ρ῾ηϊδίως ποιητικῶς, ἀντὶ ῥαδίως. Ρ῾ηγμὴν, ἡ τῆς θαλάσσης ἄκρα, ἔνθα ῥήγνυνται τὰ κύματα. Ρ῾ῆνος, ὄνομα ποταμȣ῀. Ρ῾ητίνη, τὸ ἐκ τῆς πεύκης ὑγρόν. Ρ῾ὴξ παρὰ ῥωμαίοις, ὁ δικαίαν ἄρχων ἀρχὴν καὶ ἔννομον, καὶ ἑκόντων τῶν ὑπηκόων, οὐχὶ βιαίαν ὡς τύραννος. καὶ κλίνεται ῥηγός. Ρ῾ητορεία. Ρ῾ητὸν, τὸ δυνάμενον ῥηθῆναι, ἢ τὸ πρέπον ῥηθῆναι. καὶ ἄῤῥητον ὁμοίως, τὸ ἀδυνάτως ἔχον ῥηθῆναι, ἢ τὸ μὴ πρέπον ῥηθῆναι. Ρ῾ηξήνωρ, ὁ ἰσχυρὸς, καὶ ῥηγνύων ἐν πολέμῳ τὰς φάλαγγας τῶν ἀνδρῶν. ϗ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγȣ, ταῦτα. Ρ῾εῖα ποιητικῶς, ἀντὶ εὐκόλως. Ρ῾εῖθρον, τὸ ῥεῦμα. Ρ῾ειώνη, ἡ ἀπὸ τῆς ῥέας. Ρ῾εῖ, κοινῶς, ὃ ποιητικῶς λέγεται ῥέει διαλελυμένως. ϗ ἕτερα.

Υ῾ΠΕ῾Ρ ΧΡΥΣΙ΄ΟΝ. Πόσα μέρη λόγȣ εἰσί; Δύο. Υ῾πὲρ, πρόθεσις. χρυσίον, ὄνομα.

Τὸ υ, ψιλόν. Τίνα ἀπὸ τȣ῀ υ ἀρχόμενα, ἔχοντα ἐπαγόμενον τὸ π, διὰ τȣ῀ υ ψιλȣ῀ γράφεται; Ταῦτα. Υ῾πὲρ, πρόθεσις. Υ῾πέροχος, καὶ ὑπείροχος ποιητικῶς, τὸ αὐτό. Υ῾περῷον, οἴκημα τὸ ὑφ᾽ ἑτέρῳ ᾠκοδομημένον. ὃ παρὰ τοῖς ἀττικοῖς δίηρες λέγεται. Υ῾πόστρωμα. Υ῾πνομαχῶ, τὸ τὸν ὕπνον ἀποστρέφομαι.

Ὑποκορίζομαι, τὸ κοινῶς κολακεύω. Ὑπάτη, ἡ τελευταία χορδὴ τῆς μουσικῆς. Ὕπατος, ὁ ἔξοχος. Ὕπερον, τὸ κοινῶς κόπανον. Ὑπάτιος, ὄνομα κύριον. Ὑπερήφανος, ὁ ἀλαζών. Ὑπέργηρως. Ὑπέραι, ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας. ἀφ' ἧ παροιμία, Ἀφεὶς τὴν ὑπέραν, τὸν πόδα διώκει, ἐπὶ τῶν παριόντων τὰ σπουδαιότερα, καὶ περὶ τὰ φαῦλα διατριβόντων. Ὑπηρέτης. ὑπηρεσία. Ὑπερώη, ὁ κοινῶς ἐρανίσκος. Ὑπερίδης, κύριον. Ὑπέρβολος, καὶ τοῦτο κύριον. Ὑποςήσας, ἀντὶ ὑποβαλόμενος. Ὑπόνομος, ὁ ἀγωγεὺς τοῦ ὕδατος. Ὑπονομεύοντες ἀντὶ ὑπονόμους ὀρύττοντες. Ὑπὸ λόγον ἐςὶν ὁ δεῖνα, ἀντὶ ἐν λόγῳ. Ὑπωμοσία, τὸ ὑπερτίθεσθαι δίκην, προφάσει χρωμένους ἀποδημίᾳ ἢ νόσῳ, ἤ τινι τῶν παραπλησίων, μεθ' ὅρκου. καὶ τὸ τοῦτο ποιεῖν, ὑπόμνυσθαι ἐλέγετο. Ὑπερήμεροι παρ' Ἀθηναίοις, οἱ δίκην ὀφείλοντες ὁποιανοῦν, καὶ τὰ ἐπιτίμια τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις. Ὑπερημερία, ἐπὶ τούτου. Ὑπήνη, τὸ γένειον. Ὑπηνείτης, ὁ γενειήτης. Ὑπερχειλὴς κρατὴρ, ἤ τι τοιοῦτον ἀκριβῶς γεγεμισμένον. Ὕπαρ ἐπίῤῥημα, ἀντὶ ἐν ἐγρηγόρσει, καὶ οὐκ ἐν ὕπνῳ. Ὕπνος. Ὑπνώττω, τὸ κοιμῶμαι. Ὑπνόω ὑπνῶ, τὸ αὐτό. Ὕφαλος πέτρα, ἡ τοῖς κύμασι καλυπτομένη, ὅσον μόνον μὴ φαίνεσθαι. καὶ ἀπὸ τούτου ὕφαλος, ὁ κακοήθης μὲν καὶ πονηρὸς ἄνθρωπος, ὅμως κεκρυμμένην ἔχων τὴν ἑαυτοῦ κακοήθειαν. Ὕπουλος, ὁ πανοῦργος. Ὑπόσπονδος, ὁ εἰρηναῖος. Ὕπαρχος, ὁ ὑπ' ἀρχὴν ἄλλων ὤν· ἔπαρχος δὲ, ἀξίωμα. Ὑφορῶμαι, τὸ ὑποπλεύω. Ὑποβλέπειν, τὸ ταυρηδὸν βλέπειν. Ὑπόδρα ποιητικῶς, ἐπίῤῥημα, ἀντὶ ταυρηδόν. Ὑπόβλητον, καὶ Ὑποβολιμαῖον, τὸ ξένον,

νον, ὅπερ ἂν ὡς οἰκεῖόν τις λάϐῃ. Ὑποπιέζω, τὸ συνθλίϐω, διὰ τοῦ ο μικροῦ. Ὑποπιάζω δὲ, μέγα. Ὑπώπια, τὰ ἀνεξηκότα ὑπὸ τοὺς ὀφθαλμοὺς, διὰ τοῦ ω μεγάλου καὶ τοῦ ι. Ὑπόπυον δὲ, τὸ ἀνάπλεων ἕλκους, διὰ τοῦ ο μικροῦ, καὶ υ ψιλοῦ. Ὑπόγαια. καὶ ἕτερα.

Χρυσίον. Τὸ σι, ι. Τὰ διὰ τοῦ ιον οὐδέτερα μὴ ὄντα κτητικὰ, μηδὲ περιεκτικὰ, μηδὲ μετουσιαστικὰ, μηδὲ μέρος σώματος δηλοῦντα, διὰ τοῦ ι γράφονται; ταῦτα γὰρ διὰ τῆς ε καὶ ι διφθόγγου γράφονται. Κτητικὰ μὲν, οἷον Αἰάντειον σάκος. Ἑκτόρειον ὅπλον. Ἀχίλλειον δόρυ. Σοφόκλειον βιϐλίον. καὶ Εὐριπίδειον. καὶ Πλατώνειον. καὶ Γαλήνειον. καὶ Ἱπποκράτειον. καὶ Ἡσιόδειον. καὶ Ὁμήρειον. καὶ ἕτερα. Περιεκτικὰ δὲ, οἷον Μουσεῖον. Σχολεῖον. Κουρεῖον. Ἰατρεῖον. Μαγειρεῖον. Πανδοχεῖον. Διδασκαλεῖον. Πατριαρχεῖον. Ὡρεῖον, τὸ σιτοδοχεῖον. Ἀρχεῖον, τὸ παλάτιον. καὶ ἕτερα. Μετουσιαστικὰ δὲ, οἷον Χρύσειον ἔκπωμα καὶ ἀργύρειον. Σιδήρειον ὅπλον. ἃ ποιητικῶς οὕτω λέγεται. ἐνίοτε δὲ καὶ χωρὶς τοῦ ι. οἷον Χρύσεον. σιδήρεον. ὥσπερ κάννεον. λίνεον, κυάνεον. παρὰ δὲ τοῖς κοινοῖς συνῃρημένως ταῦτα πάντα λέγεται. οἷον Χρυσοῦν. ἀργυροῦν. σιδηροῦν. καννοῦν. λινοῦν. κυανοῦν. Κεράμειον σκεῦος. καὶ ἕτερα. Μέρος δὲ σώματος δηλοῦντα. οἷον Δρακόντειον αἷμα. Βόειον κέρας. Ἐλάφειον ὀστοῦν. Ὕειον κρέας, τὸ τοῦ χοίρου. Οἰάτειον, τὸ τοῦ προϐάτου. καὶ ἕτερα.

ὙΠΕ'Ρ ΜΥΡΙΑ'ΔΑΣ. Πόσα μέρη λόγου εἰσί, Δύο. Ὑπὲρ, πρόθεσις. μυριάδας, ὄνομα. Ἡ εὐθεῖα τῶν ἑνικῶν, ἡ μυριάς. καὶ κλίνεται τῆς μυριάδος.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/205 gefördert von der Deutschen Forschungsgemeinschaft

Τὸ μυ, ψιλόν. Τίνα ἀπὸ τῆς μυ συλλαβῆς ἀρχόμενα, διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ υ ψιλοῦ, ταῦτα. Μύρων, ὄνομα κύριον. Μύρομαι, τὸ θρηνῶ. Μύω. ὃ μετὰ τῆς κατὰ προθέσεως λέγεται καταμύω καὶ κατὰ συγκοπὴν, καμμύω ποιητικῶς. ἐν ᾧ ἡ πρόθεσις ὡς συλλαβὴ κεῖται, οὐκ ἐμφαίνουσα τὴν ἑαυτῆς δύναμιν. ὅθεν καὶ ἐκτὸς αὔξει. οἷον ἐκάμμυον, ὡς ἐδάκρυον. Μυήσομαι, ἀντὶ τὰ μυστήρια διδάξω. ἀφ᾽ οὗ μεμύημαι. καὶ ἐμυήθην, καὶ ὀνόματα, μύστης, ὁ μαθητής. καὶ μυσταγωγὸς, ὁ διδάσκαλος. καὶ μύησις, ἡ τῶν μυστηρίων μάθησις. Μύσταξ, τὸ μυστάκιον. ὃ καὶ ὑποῤῥίνιον λέγεται. Μύξα, ἡ παρ᾽ ἀττικοῖς κόρυζα. καὶ τὸ ταύτην ἀφαιρεῖν, ἀπομύττειν. Μύρια προπαροξυτόνως, αἱ δέκα χιλιάδες. Μυρία δὲ παροξυτόνως, τὰ πολλὰ, καὶ ἀναρίθμητα. Μύσος, τὸ μίασμα. Μυσάττομαι, τὸ βδελύττομαι. Μυῤῥῖναι παρ᾽ ἀττικοῖς, αἱ κοινῶς μυρσῖναι. Μύλη, τὸ κάτω τοῦ μύλου. Μύλος, τὸ ἄνω. Μύλων δὲ μύλωνος, τὸ ἐργαστήριον ὅλον. Μύλαι, οἱ ἐσώτεροι ὀδόντες. Μυλωθρὸς, ὁ μύλωνα κεκτημένος, καὶ ἐργαζόμενος αὐτόν. Μυσία, τόπος. Μυσῶν λεία, παροιμία ἐστὶν οὕτω λεγομένη. λέγουσι δὲ λαβεῖν τὴν ἀρχὴν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν μυσίαν κατὰ τὴν τηλέφου τοῦ βασιλέως ἀποδημίαν. λέγεται δὲ ἐπὶ τῶν ἀφανισθέντων τόπων, ἢ τοιούτων τινῶν. Μῦρον, πᾶν ὑγρὸν εὐωδίαν ἀποπέμπον. εἰσὶ δὲ τῶν μύρων τὰ μὲν χριστά. οἷον τὸ νάρδον. τὰ δὲ στακτά· οἷον τὸ ῥοδόσταγμα. καὶ ἔτι τούτων τὰ μὲν θεῖα, τὰ δὲ ὑπ᾽ ἀνθρώπων σκευαζόμενα. Μύρα, τόπος. Μυριὰς, μυριάδος. Μῦς, ὁ κοινῶς ποντικός. καὶ κλίνεται μυός. Μυωξία, ἡ κατάδυσις αὐτοῦ. Μυ-

χὸς, τὸ βάθος. Μυχαίταλος, ὁ ἐν τῷ μυχῷ βαθύταλα ὤν. Μυκῆναι, ὄνομα πόλεως. Μύδρος, ὁ πεπυρακτωμένος σίδηρος. Μῦθος. Μυθάριον. Μυκᾶται βοῦς. Μυκηθμὸς, ἡ τούτε φωνή. Μῦκλος, ὁ τράχηλος. Μύραινα, ὄνομα, ἰχθύος. Μυχία, ἐπίθετον τῆς Ἀφροδίτης. Μύωψ, ὁ κώνωψ, καὶ ἡ κοινῶς βύτζα. ἐξ ἕ μυωπίζω, τὸ διεγείρω. Μύρμηξ. μυρμηκιὰ, ἡ τούτε ὀπή. Μυρεψός. Μυελός. Μύκητες. Μυδῶν ἐπὶ τῆ ἀπὸ σήψεως ὑγρῆ, καὶ ἰχῶρας ἔχοντος. καὶ ἕτερα.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγε, ταῦτα. Μοῖρα, ἡ μερίς. καὶ τὸ πρέπον, ὡς παρ' Ὁμήρῳ, Ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπας. ἤγουν κατὰ τὸ πρέπον. μοῖρα, καὶ ἡ παρ' ἕλλησι τύχη. ἀφ' ἕ μοιρηγενής. καὶ μοιραῖος. καὶ εὐμοιρῶ. καὶ ἀμοιρῶ. Μοιροκλῆς, ὄνομα κύριον. Μοιχὸς, ὁ εἰς ἄλλε γυναῖκα ἀσελγαίνων. μοιχεύω. μοιχεία. μοιχαλὶς, ἡ μοιχευομένη γυνή. Μοῖσα, ἡ μῦσα, ποιητικῶς. καὶ ἕτερα.

Τὸ ει, ι. Τίνα διὰ τῆ ιας ὀνόματα θηλυκὰ, διὰ τῆ ι γράφονται, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγε; Διὰ μὲν τῆ ι, ταῦτα. Χιλιάς. Μυριάς. Τριάς. Ἰὰς, ἡ διάλεκτος τῶν Ἰώνων. Πεδιὰς, ἡ ὁμαλὴ γῆ. Ἰλιὰς, τὸ τὰς ἐν τῷ ἰλίῳ πράξεις περιέχον τῆ Ὁμήρου βιβλίον. Ἀλεξιὰς, βιβλίον καὶ τοῦτο περιέχον τὰ κατὰ Ἀλέξιον τὸν βασιλέα. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγε, ταῦτα. Γενειάς. Πελειάς, καὶ ἕτερα.

ΑʹΡΓΥΡΙʹΩΝ. Ηʹ εὐθεῖα, τὸ ἀργύριον. γίνεται δὲ ἀπὸ τȣ͂ ἄργυρος.

ΗʹΔΥʹΤΕΡΑ. Ηʹ εὐθεῖα, τὸ ἡδύτερον. ἔστι δὲ ὄνομα συγκριτικόν. τούτȣ τὸ ἁπλοῦν ἐστι τὸ ἡδύ. Ιʹστέον δὲ ὅτι τὰ συγκριτικὰ τȣ͂ ἡδὺς, διπλῶς ἐκφέρονται, καὶ τὰ ὑπερθετικά. οἷον ἡδὺς, ἡδύτερος, ἡδύτατος. καὶ ἡδὺς, ἡδίων, ἥδιστος. τȣ͂ δὲ ταχὺς, τριχῶς· ταχὺς, ταχύτερος, ταχύτατος. ταχὺς, ταχίων, τάχιστος. καὶ ταχὺς, θάσσων.

Τὸ η, η. Τίνα ἀπὸ τȣ͂ η ἀρχόμενα, ἔχοντα ἐπαγόμενον τὸ δ, διὰ τȣ͂ ι γράφεται. καὶ τίνα διὰ τȣ͂ η. καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγȣ; Διὰ μὲν τȣ͂ ι, ταῦτα. Ιʹʹδη, ὄνομα ὄρους περὶ τὸ ἴλιον. καὶ ὁ ἀπὸ τούτȣ, ἰδαῖος. Ιʹʹδη, καὶ βοτάνη τίς. Ιʹδέα, ἡ μορφή. Ιʹʹδρις, ὁ ἔμπειρος, καὶ εἴδησιν ἔχων. ἀφʼ ȣ͂ Αʹΐδριες παρὰ ποιηταῖς, οἱ ἄπειροι. Ιʹδουμαῖοι, ἔθνος. Ιδομενεὺς, κύριον. Ιʹδρόω ἰδρῶ. Ιʹδρώς. καὶ τὸν ἰδρῶ παρʼ ἀττικοῖς. τὸν ἱδρῶτα δὲ κοινῶς. Ιʹδρύω, τὸ καθίζω ἕτερον. ἢ τὸ θεμελιῶ. Ιʹδάλιμος, ὁ δίϋγρος. Ιʹδίω, τὸ κοπιῶ. ἀφʼ ȣ͂ ἶδος, ὁ κόπος. Ιʹʹδιον, τὸ μόνον τινὸς ὄν. ᾧ ἐναντίον τὸ κοινὸν. καὶ παρὰ Δημοσθένει τὸ ἰδιωτικὸν ἐν τῷ κατὰ Κώνωνος αὐτȣ͂ λόγῳ. παρὰ δὲ τοῖς φιλοσόφοις ἴδιον, ὃ μόνῳ τῷ εἴδει πρόσεστι, καὶ παντὶ, καὶ ἀεί. ἰδίᾳ ἐπίῤῥημα, ἀντὶ καταμόνας. καὶ ἰδίως, ἀντὶ μεμονωμένως καὶ κεχωρισμένως. Ιʹδιώτης, ὁ τȣ͂ δήμȣ ἄνθρωπος, ὁ ἐν ἑαυτῷ ζῶν, καὶ μὴ τὰ κοινὰ ἐπιτετραμμένος. ᾧ ἐναντίον ὁ ἄρχων. ἰδιώτης, καὶ ἐφʼ ἑκάστης τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν, ὁ μὴ μετέχων αὐτῆς. Ιʹʹδε, ἀντὶ θέασαι. καὶ ἴδε ἐπίῤῥημα

δεικ-

δεικτικόν. ἰδὲ ὁμοίως, ἀντὶ θέασαι. καὶ ἰδὲ ἐπίῤῥημα δεικτικὸν ὀξυτονούμενον. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Η῾δομαι, τὸ εὐφραίνομαι. ἀφ᾽ οὗ ἡδύς. οὗ τὰ συγκριτικὰ, καὶ τὰ ὑπερθετικὰ διττῶς ἐκφέρεται. οἷον ἡδὺς, ἡδίων, ἥδιστος. ἃ παρὰ τοῖς ἀττικοῖς εἰσιν ἐν χρήσει. καὶ ἡδὺς, ἡδύτερος, ἡδύτατος, παρὰ τοῖς κοινοῖς. τούτου τὸ θηλυκὸν, ἡ ἡδεῖα καὶ τὸ οὐδέτερον, τὸ ἡδύ. Η῾δύνω, τὸ ἀρτύω. Η῾δύσματα, τὰ ἀρτύματα. ἃ καὶ καρυκεύματα λέγεται. Η῾δύοσμον, βοτάνη. Η῾δυεπὴς, ὁ ἡδυλόγος. Η῎δε, ἀντὶ αὕτη. Η῏δος, τὸ ὄφελος. Η῾δωνοὶ, ἔθνος ἐν μακεδονίᾳ. Η῎δειν, ἀντὶ ἐγίνωσκον. ὃ καὶ ἐπὶ τρίτου προσώπου λέγεται μετὰ τοῦ ν, ἀντὶ ἤδει. ἐφ᾽ ὧν γὰρ τὸ πρῶτον εἰς ει δίφθογγον λήγει, ἐπὶ τούτων τὸ τρίτον τὸ ν σύνηθες προσλαμβάνειν, καὶ ὁμοφωνεῖν τῷ πρώτῳ, χασμωδίας ἴσης ἐν τῷ λόγῳ. ἐπὶ δὲ τῶν ἄλλως ἐχόντων, οὐκέτι. οἷον ἀπειλήφειν, παρ᾽ Α᾽ριστοφάνει.
„ καὶ προσήειν, παρ᾽ αὐτῷ. ὡς, ἐν τῷ, Ο᾽ δὲ θεὸς
„ ἡμῖν οὐ προσήειν οὐδέπω. καὶ εἰσήκειν, παρ᾽ Ο᾽μήρῳ. ὡς ἐν τῷ, Ο᾽υδ᾽ ἄρ᾽ ἔτι δὴν εἰσήκειν. καὶ βεβλήκειν παρ᾽ αὐτῷ, ἀντὶ τοῦ ἐβεβλήκει. ὡς ἐν τῷ,
„ Τληπόλεμος δ᾽ ἄρα μηρὸν ἀριστερὸν ὀξέϊ χαλκῷ
„ Βεβλήκειν. οὗτος δὲ καὶ ἤσκειν εἴρια καλὰ λέγει παρὰ τὴν ἀκολουθίαν ταύτην. ἤγουν ἐκαλλώπιζε. τοῦ γὰρ ἤσκει, τὸ πρῶτον ἤσκουν. Η῎δη ἐπίῤῥημα χρονικόν. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Εἶδος, μορφή, ἀφ᾽ οὗ εὐειδὴς, καὶ δυσειδής. καὶ ἔτι εἰδεχθής. παρὰ δὲ τοῖς φιλοσόφοις εἶδος, τὸ κατὰ πολλῶν καὶ

δια-

διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐςι κατηγορούμενον. ἢ τὸ διαιρούμενον ἀπὸ τȣ̃ γένους. Εἴδω, τὸ γινώσκω ἢ ὑπολαμϐάνω, ἄχρηςον. ὅπερ ἐπὶ τȣ̃ μέσȣ μέλλοντός ἐςιν ἐν χρήσει. οἷον εἴσομαι. καὶ ἐπὶ τȣ̃ Ἀορίςȣ. οἷον εἴσατο, ἀντὶ ὑπέλαϐε, παρ' Ὁμήρῳ. τοῦτο δὲ παρ' αὐτῷ καὶ ἀντὶ ὡμοιώθη λέγεται, ἀπὸ τȣ̃ εἴσκω, καὶ ἀντὶ ἐπορεύθην ἀπὸ τȣ̃ εἴω. Εἴδω τὸ βλέπω, κ̀ αὐτὸ ἄχρηςον. ἀφ' ȣ̃ εἶδον, κ̀ ἰπειδόμενος, διὰ διφθόγγȣ. κ̀ ἰδὼν διὰ τȣ̃ ι. κ̀ ἴδε. κ̀ ἴδοιμι. κ̀ ἐὰν ἴδω. εἴδομαι ποιητικῶς, ἀντὶ φαίνομαι. Ἐιδέω εἰδῶ, ἀντὶ γινώσκω. ἀφ' ȣ̃ τὸ, ἵνα εἰδῶμεν. κ̀ τὸ εἰδώς. κ̀ εἰδέειν. Εἰδήμων παρὰ τοῖς κοινοῖς, ὁ παρὰ τοῖς ποιηταῖς ἴδμων. Εἴδωλα, τὰ φαινόμενα ἐν ταῖς ἐρημίαις νυκτὸς ἢ μεθ' ἡμέραν φαντάσματα. παρὰ δὲ τῇ θείᾳ γραφῇ, τὰ τῶν ἑλληνικῶν θεῶν ἀγάλματα. Εἰδωλεῖον, ὁ ναὸς τῶν εἰδώλων. εἰδωλολάτρης. Εἴδησις κοινῶς, ἡ τινὸς γνῶσις. Εἰδοὶ παρὰ ῥωμαίοις, αἱ κατὰ τὸ τέλος τȣ̃ μηνὸς ἡμέραι. εἰς τρία γὰρ ȣ̃τοι τὰς ἡμέρας τȣ̃ μηνὸς διῄρουν. κ̀ τὰς μὲν αὐτῶν ὠνόμαζον καλάνδας. ἤγουν τὰς νȣμηνίας. τὰς δὲ νόνας. τὰς δὲ λοιπὰς, εἰδούς. Εἶδαρ, τὸ βρῶμα. κ̀ ἕτερα.

ΘΗ'ΣΕΙ. Κανόνισον. Τίθημι. ὁ μέλλων θήσω. τὸ δεύτερον, θήσεις. τὸ τρίτον, θήσει.

Ἰςέον ὅτι τὸ ἕξεις, τὸ δώσεις, τὸ θήσεις, τὸ εὑρήσεις, τὸ ἥσεις, ἀπὸ ἵημι. τὸ ἁμαρτήσεις, τὸ οἴσεις, ἀντὶ ὑπομενεῖς, ἢ κομίσεις. τὸ λήσεις, ἀντὶ λάθῃς. καὶ τὸ ἥξεις, ἀντὶ ἐλεύσῃ, ἀορίςους ȣ̉κ ἔχουσι. καὶ διὰ τοῦτο ȣ̉δέποτε ὑποτάσσονται. ȣ̉δὲ μετὰ

ὑπο-

ὑποτακτικῦ μορίȣ δικαίως ἂν τάττοιντο, ϗ κατὰ λόγον.

ΚΛΕΙΝΟ'Ν. Ἡ εὐθεῖα, ὁ κλεινός. Πόθεν γίνεται; Ἀπὸ τȣ̃ κλέος. ὡς δεινὸς, ὁ φοβερὸς, ἀπὸ τȣ̃ δέος, ὁ φόβος.

Τὸ κλει, δίφθογγος. Τὰ εἰς νος ὀξύτονα, εἰ μὲν εἰσι καιρȣ̃ παραστατικὰ, διὰ τȣ̃ ι γράφονται. οἷον Ἡμερινός. Νυκτερινός. Πρωϊνός. Δειλινός. Ἐαρινός. Θερινός. Μετοπωρινός. Χειμερινός. Μεσημβρινὸς, ἀπὸ τῆς μεσημβρίας. ἤγουν τȣ̃ μέσȣ τῆς ἡμέρας. Μεσημβρηνὸς δὲ, ὁ ἀπὸ μεσημβρίας τόπȣ, η. Ἑωθινός. ϗ ἕτερα.

Εἰ δὲ ἐθνικὰ, ἢ τοπικὰ εἴη, ὡς ἐπιτοπλεῖστον μὲν διὰ τȣ̃ η γράφεται. τινὰ δὲ αὐτῶν καὶ διὰ τȣ̃ ι. Καὶ διὰ μὲν τȣ̃ η, ταῦτα. Σαρακηνός. Μαγδαληνός. δαμασκηνός. Ἀβυδηνός. Ἀγαρηνός. Ῥαιδεστηνός. Ἐδεσηνός. Κομνηνός. Ἀσιηνός. Ἀμαστρηνός. Κυζικηνός. Λαμψακηνός. ϗ ἕτερα.

Διὰ δὲ τȣ̃ ι, ταῦτα. Μελιτινός. Ἀδραμυττινός. καὶ Παλαιστινός. ὃς καὶ παλαιστῖνος λέγεται. Εἰ δὲ ἀπὸ ȣ̓δετέρων εἰς ος ληγόντων γίνεται, ἢ ϗ ἀρσενικῶν ἢ ϗ θηλυκῶν εἰς ος ληγουσῶν, διὰ τῆς ε ϗ ι διφθόγγȣ. οἷον Ἄχθος, ἀχθεινός. Φάος, φαεινός. Σκότος, σκοτεινός. Ἄλγος, ἀλγεινός. Τάχος, ταχεινός. Ἄνθος, ἀνθεινός. Κλέος, κλεεινὸς, καὶ κλεινός. Δέος, δεεινὸς καὶ δεινός. Ὄρος, ὀρεινός. Ἕλος, ἐλεεινός. Αἶπος, τὸ ὕψος, αἰπεινός. Ψύ-

χος,

χος, ψυχεινός. Πόθος, ποθεινός. ταπεινός. Φῶς, φωτὸς, φωτεινός. καὶ ἕτερα.

Ἀπὸ δὲ θηλυκῶν εἰς α ληγόντων, ὑγιεινὸς μὲν καὶ εὐδιεινὸς, διὰ διφθόγγου. ἀληθινὸς δὲ, διὰ τοῦ ι. Ἀπὸ δὲ ἑτέρας παραγωγῆς παρὰ ταύτας, διὰ μὲν τοῦ ι, ταῦτα. Πυκινός. Μηδαμινός. Ῥαδινὸς, ὁ λεπτός. Ἀδινός. Πεδινὸς τόπος, ὁ ἐπίπεδος, καὶ ὁμαλός. Φυζακινὸς ἔλαφος, ἤγουν δειλή. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Εὐθηνός. Γαλαθηνὸς, ἐπὶ τῶν ἔτι γαλακτοτροφουμένων ζώων. Ἀμενηνὸς, ὁ ἀσθενής. Σιληνὸς, ὁ μωρός. Σειληνὸς δὲ, ἐπίθετον τῶν ὀπαδῶν τοῦ Διονύσου. Σειλινὸς δὲ, ὁ γέρων, ι. καὶ ἕτερα.

Τῶν δὲ εἰς νος μὲν ληγόντων, οὐ μὴν ὀξυτονουμένων, ἀλλὰ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους τὸν τόνον ἐχόντων, διὰ τοῦ η, ταῦτα. Σμῆνος, τὸ πλῆθος. Θρῆνος. Κτῆνος. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ι, ταῦτα. Σπῖνος, ὄρνεον. Πρῖνος καὶ σχῖνος, ὀνόματα δένδρων. Λίνος δὲ, κύριον. Ἐχῖνος. Κωνσταντῖνος. Καρκῖνος. Μαρτῖνος. Κρατῖνος. καὶ ἕτερα. Στεῖνος δὲ, ὁ στεναγμὸς, δίφθογγος.

Διὰ δὲ τοῦ ι προπαροξύτονα, ταῦτα. Ξύλινος. Δρύϊνος. Δερμάτινος. Σάρκινος. Γήϊνος. Πέτρινος. καὶ ἕτερα.

ἈΡΙ'ΔΗΛΟΝ. Ἡ εὐθεῖα, ὁ ἀρίδηλος. Πόθεν γίνεται; Ἀπὸ τοῦ ἀρι ἐπιτατικοῦ μορίου, καὶ τοῦ δῆλος, ὁ φανερός.

Ἰστέον

Ἴσεον ὅτι μόρια ἐπιτατικὰ εἰσὶ ταῦτα. Τὸ α. ἀφ' ȣ ἀχανὲς πέλαγος, τὸ ἐπιπολὺ κεχηνός. Τὸ δα. ἀφ' ȣ δαφοινοὶ θῶες, οἱ σφόδρα φοινικοί. Τὸ ζα. ἀφ' ȣ ζαμερδνὴ ἡ τῆς Ἀθηνᾶς ἀσπίς. ἤγουν ἄγαν μέρδουσα καὶ λάμπουσα. μέρδειν γὰρ παρὰ ποιηταῖς, τὸ μαρμαίρειν. Τὸ βȣ. ἀφ' ȣ βούλιμος, ὁ μέγας λιμός. καὶ βούπεινα. Τὸ ἀρι. ἀφ' ȣ τὸ ἀρίζηλον. ὅπερ ἐστὶ ποιητικόν. καὶ ὅσα παρὰ τὸ ἀρι. Τὸ ἐρι. οἷον ἐριαύχην, ὁ μεγαλοτράχηλος.

Τό ρι, ι. Τίνα ἀπὸ τȣ ἀρι καὶ ἐρι ἀρχόμενα, διὰ τȣ ι γράφεται; Ἀπὸ μὲν τȣ ἀρι, ταῦτα. Ἀρίας, καὶ Ἀρίων, κύρια. καὶ ὅσα σύγκειται ἀπὸ τȣ ἀρι ἐπιτατικȣ μορίȣ. οἷον Ἀρίδηλον ποιητικῶς, τὸ εὔδηλον. Ἀρίζηλος. Ἀριπρεπής. Ἀριδείκετος, ταυτὸν τῷ ἀρίδηλος. Ἀρίσημος δὲ, ὁ ἐπίσημος. Ἀριμάνιος, ὁ ἄγαν μανικός. Ἀρίσημος δὲ, ὁ καταράσιμος, ἀπὸ τȣ ἀρῶμαι. καὶ Ἀρηΐφατος, ὁ ἐν τῷ ἄρει, ἤγουν τῷ πολέμῳ ὀνομαστός. καὶ Ἀρηΐθεος. καὶ Ἀρήϊος, ὁ πολεμικὸς, η καὶ ι. Ἀρείων δὲ ποιητικῶς, ὁ κρείττων. καὶ Ἀρειμάνιος, ὁ ἐν τῷ ἄρει μαινόμενος, διὰ τῆς ε καὶ ι διφθόγγȣ.

Ἀπὸ δὲ τȣ ἐρι, οἷον Ἐρίδοξος ποιητικῶς. καὶ ὅσα ἀπὸ τȣ ἐρι ἐπιτατικȣ. Ἐριαύχην, ὁ μεγαλοτράχηλος. Ἐρίηρες ἑταῖροι παρ' Ὁμήρῳ, οἱ σφόδρα ἡρμοσμένοι. καὶ ἕτερα.

ἈΡΊΖΗΛΟΣ. Πόθεν γίνεται; Ἀπὸ τȣ ἀρι ἐπιτατικȣ μορίȣ, καὶ τȣ ζῆλος.

Τὸ

Τὸ ζη, η. Τίνα ἀπὸ τῆς ζη συλλαβῆς ἀρχόμενα, διὰ τοῦ η γράφεται, καὶ τίνα διὰ τοῦ ι, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ η, ταῦτα. Ζηνόδοτος. Ζήνων. Ζηνοβία. καὶ Ζηναΐς, ὀνόματα κύρια. Ζὴν ποιητικῶς, ὁ ζεύς. καὶ κλίνεται ζηνός. Ζῆν ἀπαρέμφατον, ἀντὶ βιοῦν. Ζηλῶ. ἐνίοτε μὲν τὸ μακαρίζω καὶ μιμοῦμαι. ἐνίοτε δὲ τὸ ζηλοτυπῶ. ἀφ᾽ οὗ καὶ ζῆλος, ἡ μετὰ θαύματος μίμησις. καὶ ἡ ζηλοτυπία. ζηλοτυπία δὲ, καὶ ζηλοτυπεῖν, ἐστιν ὅταν τις εἰς ἀπέχθειαν πολλὴν καταστῇ τινι, καὶ μῖσος δι᾽ ἕτερον, ὅπερ σφόδρα ἀγαπᾷ. καθὸ λέγεται ὁ τοῦ πέτρου ζῆλος. καὶ τὸ, Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. Ζητῶ. ζήτησις. ζήτημα. ὅπερ ἐστι καθολικὸν ὄνομα. καὶ διαιρεῖται εἰς ἀπόρημα, καὶ κατηγόρημα. ζητεῖ γάρ τις ἢ ἀπορῶν, ἢ κατηγορῶν. καταγίνονται δὲ καὶ ἀμφότερα ἢ περὶ λέξιν, ἢ περὶ πρᾶγμα. Καὶ εἰ ἐν πράγματι τὸ κατηγόρημά ἐστι, καθολικὸν καὶ τοῦτο ἐστι. καὶ διαιρεῖται εἴς τε τὸ ἐναντίον, καὶ τὸ ἀδύνατον, καὶ τὸ ἀνιστόρητον. καὶ ἄλογον, καὶ ἀσύμφορον, καὶ ἀπρεπές. ὧν ἕκαστον λύεται τρόποις πέντε. ἢ γὰρ διὰ λέξεως λύσει τὶς, ἢ ὀνόματι. ἢ προσώπῳ. ἢ χρόνῳ. ἢ ἔθει. Ζητητὴς, ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη, εἴποτε τοὺς ἀδικοῦντας τὰ δημόσια δέοι ζητεῖν. Ζητρεῖον, κοινῶς ὁ κοῦσπος. ἐστι δὲ εἶδος κολαστηρίου, ᾧ οἱ δοῦλοι ἐδεσμοῦντο. ἀπὸ τοῦ ζα, καὶ τοῦ τρέω, τὸ φοβοῦμαι. εἴρηται δὲ παρ᾽ Ἡροδότῳ καὶ ζήτρειον, προπαροξυτόνως. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ι, ταῦτα. Ζιβύνη, εἶδος ἀκοντίου. Ζιζάνια, τὰ ἐν τοῖς πόνοις τῶν γεωργῶν ἀναβλαστάνοντα νόθα βλαστήματα. καὶ ἕτερα.

Διὰ

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Ζειὰ, εἶδος σπέρματος. Ζείδωρος γῆ, ἡ τὰ πρὸς ζωὴν δωρουμένη. Ζεῖν, τὸ κοινῶς βράζειν. Ζειποίτης, ὁ τοῦ θερμοῦ ἐν τοῖς λουτροῖς ἐπιμελούμενος. Ζειρὰ, ἱμάτιον αἰγύπτιον. καὶ ἕτερα.

ΒΡΟΤΟ'Ι'Σ. Ἡ εὐθεῖα, ὁ βροτός. Τὸ βρο, μικρόν. Βροτὸς, ὁ ἄνθρωπος, μικρόν. βρωτὸν δὲ, τὸ δυνάμενον βρωθῆναι, μέγα.

Καὶ ἄλλως. Τὰ ἀπὸ τῆς βρο συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου. Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Βροτός, ὁ ἄνθρωπος. Βρότειον γένος, τὸ ἀνθρώπειον. καὶ βροτήσιον. Βρόμος, ὁ ἦχος τοῦ πυρός. ἀφ' οὗ βρόμιος, ἐπίθετον τοῦ Διονύσου. Βροντή. Βρόχος, τὸ ἐπ' ἀγχόνῃ σχοινίον. Βροχή. Βρουλήσιον, τόπος. Βροχθίζω ποιητικῶς. καὶ καταβροχθίζω, τὸ καταπίνω, καὶ ἀθρόως καὶ ἀπλήστως ἐκροφῶ. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Βρωτὸν, τὸ βιβρωσκόμενον. Βρῶμα. Βρῶσις. Βρωτὺς, ἡ βρῶσις ποιητικῶς. καὶ κλίνεται βρωτύος. Βρωμᾶται ὄνος, ἤγουν ὀγκᾶται. Βρωματίζω. Βρώμιον, εἶδος σπέρματος, ὃ διδόασι τοῖς ἀλόγοις ζώοις εἰς βρῶσιν. Βρῶμος, ἡ δυσωδία. καὶ ἕτερα.

ΠΕΡΙΩ'ΝΥΜΟΣ. γίνεται ἀπὸ τῆς περὶ προθέσεως, καὶ τοῦ ὄνομα.

Τὸ ω, μέγα. Ὄνομα, μόνον μικρόν. τὰ δὲ παρ' αὐτοῦ μεγάλα.

Τὸ νυ, ψιλόν. τρέπεται τὸ ο μικρὸν ἐνίοτε εἰς υ ψιλὸν, κατὰ συνήθειαν αἰολικήν. ὗτοι γὰρ τὸ ὄνομα ὄνυμα λέγουσι, καὶ τὸ σόμα, σύμα.

Αἴλουρος εἴσω χειᾶς κατοικιδίων ὀρνίθων δεδυκὼς, καὶ ὠφὼς ὄρνιν νόσῳ αἰνῇ συνεχομένην, ἠρωτήκει ταύτην, πῶς ἔχεις; ἡ δὲ ἔφη, εἰ σὺ ἀπίῃς τῶν ἐνταῦθα τόπων, κρεττόνως ἔχω. οὕτω δὴ καὶ ἀνθρώποις ἡ παρουσία τῶν ἐχθρῶν ἀποθύμιος.

Τῶν αἰλούρων αἱ μὲν εἰσιν οἰκογενεῖς, αἳ καὶ γαλαὶ λέγονται· αἱ δὲ ἐν τοῖς ἀγρίοις τάττονται ζώοις.

Τὸ αι, δίφθογγος. Αἴλουρος, τὸ ζῶον, δίφθογγος. ἔλουρος δὲ ὄνομα ἔθνους, ψιλόν.

ΕΙ'ΣΩ. Ποίου μέρους λόγου ἐστίν; Ἐπιῤῥήματος. Πόθεν γίνεται; Ἀπὸ τῆς εἰς προθέσεως.

Καὶ ἄλλως. Εἴσω, ἀντὶ ἐντὸς, δίφθογγος καὶ μέγα. ἴσῳ ἐπὶ ποσοῦ, οὗ ἡ εὐθεῖα, ὁ ἴσος, ἢ τὸ ἴσον, ι καὶ μέγα. Ἧσσω, τὸν ἐλάττονα. καὶ Ἥσω, ἀντὶ πέμψω. ἀπὸ τοῦ ἵημι, η καὶ μέγα.

Καὶ

Καὶ ἄλλως. Τίνα εἰς ω λήγοντα ἐπιῤῥήματα, διὰ τοῦ ω μεγάλου γράφεται, καὶ τίνα διὰ τοῦ ο μικροῦ; Διὰ μὲν τοῦ ω μεγάλου, ταῦτα. Α῎νω. Κάτω. Ε῎ξω. Ε῎σω καὶ εἴσω, ἃ κίνησιν εἰς τόπον δηλοῦσι. Πόῤῥω, ἀντὶ μακρὰν, καὶ ἀντὶ εἰς βάθος. οἷον Πόῤῥω νυκτῶν, ἀντὶ εἰς βάθος τῆς νυκτός. καὶ Πόῤῥω δεινῶν, ὁμοίως. Πρόσω, ἀντὶ ἔμπροσθεν. Ὀπίσω. Κύκλω. καὶ τὰ ἀπὸ τούτων. οἷον Α῎νωθεν. Κάτωθεν. Ε῎ξωθεν. Πόῤῥωθεν. ὀπίσωθεν· Πόσωθεν. Κύκλωθεν. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ο μικροῦ, ταῦτα. Δεῦρο, ἐπίῤῥημα παρακελευσματικὸν, ἀντὶ ἄγε. καὶ τοπικὸν, ἀντὶ ἐνταῦθα. ὅπερ εἰ μὲν παρακελευσματικόν ἐστι, μετὰ προστακτικοῦ λέγεται ἀεί. ὥσπερ τὸ ἄγε, καὶ τὸ ἴθι. εἰ δὲ τοπικὸν, μετὰ ῥήματος κίνησιν ἔχοντος. οἷον Η῏λθε δεῦρο. καὶ Δεῦρ᾽ ἴθι. Ε᾿νίοτε δὲ καὶ μόνον λέγεται, καὶ ἔχει ῥῆμα συνυπακουόμενον. ὡς παρ᾽ Α᾿ριστοφάνει, „ Δεῦρο δεῦρ᾽ ἀμυνίας. ἀντὶ δεῦρ᾽ ἴθι. σπανιώτατα δὲ τοῦτο, καὶ στάσιν δηλοῖ. εἰ δὲ προσλάβοι τὴν εἰς πρόθεσιν, ἀντὶ ἕως τοῦ νῦν λαμβάνεται. Α᾿πο, ἀντὶ μακρὰν, ἢ χωρίς, ἀφ᾽ οὗ τὸ ἄπωθεν διὰ τοῦ ω μεγάλου, ἔξω ἀκολουθίας. τὰ γὰρ εἰς θεν παράγωγα ἐπιῤῥήματα, τῶν πρωτοτύπων τὴν γραφὴν φυλάττουσιν, ἀφ᾽ ὧν γίνονται. οἷον Α῎λλος, ἄλλοθεν. Ο῏κος, οἴκοθεν. Α᾿μὸς, παρὰ δωριεῦσιν ἰσοδυναμοῦν τῷ τὶς, ἀμόθεν, ἀντὶ ἀπό τινος μέρους. καὶ οὐδαμόθεν, ἀντὶ οὐδέποθεν. πᾶς παντὸς, πάντοθεν. τὸ δὲ ἑτέρωθεν, ἐπεὶ συνέβαινε τρία ἐφεξῆς ἔχειν βραχέα, καὶ διὰ τοῦτο ἄχρηστον εἶναι τοῖς ἀρχηγοῖς τοῦ λόγου, καὶ δακτυλικῷ μέτρῳ χρωμένοις, διὰ τοῦ ω μεγάλου γρά-

φεται παρὰ ταύτην ἀκολουθίαν. Ὁμοίως καὶ ἀμφοτέρωθεν. καὶ πολλῷ μᾶλλον τὸ ἑκατέρωθεν. τοῦτο δὲ, ἐπεὶ καὶ οὕτω γραφόμενον, τρία ἐφεξῆς ἔχει βραχέα, παρ' Ὁμήρῳ καὶ συγκοπὴν ὑπομένει. λέγεται γὰρ παρ' αὐτῷ ἑκάτερθεν. καὶ ὅσα ἐφεξῆς πολλὰ βραχέα ἔχουσι, τοῦτον γράφονται τὸν τρόπον. τὸ δὲ ἀπωτέρω, καὶ ἀπωτάτω, τὴν ἀκολουθίαν ἔχει τῶν διὰ τοῦ ωτερος καὶ τατος.

ΧΕΙΑ'Σ. Ἡ εὐθεῖα, ἡ χειά. λέγεται δὲ κυρίως χειὰ ἡ κατάδυσις τοῦ ὄφεως. Τὸ χει, δίφθογγος. Τίνα διὰ τοῦ ια ὀξύτονα θηλυκὰ, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Καλλιὰ, τὸ ἐκ ξύλων οἴκημα. Λαλιά, Αἱμασιὰ, ὁ ἐξ ἀκανθῶν φραγμός. Στρατιά. Σκιά. Δεξιά. Πυρκαϊὰ. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Χειά. Ζειὰ, εἶδος σπέρματος. Παρειὰ, ἣ καὶ κόῤῥη λέγεται διὰ δύο ρρ. ἤγουν τὸ κοινῶς μάγουλον. Θαμειὰ, ἡ συχνή. Φειὰ, ὄνομα πόλεως, Φορβειά. Γωλειὰ, τὸ σπήλαιον. καὶ ἕτερα.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς χι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Χιών. καὶ κλίνεται χιόνος. Χιλὸς, ἡ τροφή. Χιτὼν, τὸ ἱμάτιον. καὶ κλίνεται χιτῶνος. Χίλων, ὄνομα κύριον. Χίλια. Χίος, νῆσος. ὁ ἀπὸ ταύτης, χῖος προπερισπωμένως. Χίμαρος ἐπὶ θηλυκοῦ, ἡ μήπω τετοκυῖα αἴξ, Χίμαιρα, ἡ ἀγρία αἴξ. ὑπὸ τοῦ Ὁμη-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/218 gefördert von der Deutschen Forschungsgemeinschaft

Ὁμήρου δὲ ἀναπλάττεται ζῶον κεφαλὴν μὲν ἔχον λέοντος, οὐραῖον δὲ δράκοντος, τὰ δὲ μέσα χιμαίρας. καὶ ὀνομάζεται αὐτὸ χίμαιρα. Χίδρα, παρά τισι μὲν τὰ ἄγρια λάχανα· παρὰ δὲ ἑτέροις τὰ ὄσπρια. καὶ ἔτι παρ' ἑτέροις τὰ ἀπὸ χλωρᾶς κριθῆς. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Χηλαὶ, οἱ ὄνυχες τῶν ἀλόγων ζώων. ἀφ' οὗ ἀγκυλοχήλης ἀετός. καὶ βοῦς διχηλῶν παρὰ τοῖς νόμοις. Χὴν, ὄρνεον. καὶ κλίνεται χηνός. ἀφ' οὗ χηνοβόσια παρ' ἀττικοῖς, τὰ κοινῶς χηνοβόσκια, καὶ ὄνομα τόπου. Χήμη, εἶδος ὀστρέου, ἤγουν τὸ κοινῶς χηβάδιον. Χηραμὸς, ὁ φωλεός. Χήρα γυνὴ, ἡ στερηθεῖσα τοῦ ἀνδρός. καὶ Χῆρος ἀρσενικῶς, ὁ στερηθεὶς τῆς γυναικός. Χηρῶ, τὸ στερίσκω. Χῆτις, ἡ στέρησις. Χηρεύω. Χηρεία. Χηλὸς, τὸ κιβώτιον. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Χείρ. ὅπερ ἐπὶ μὲν τῶν ἄλλων ἁπασῶν πτώσεών ἐστι θηλυκοῦ γένους. ἐπὶ δὲ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυϊκῶν, ἀρσενικοῦ. καὶ τὰ ἀπ' αὐτοῦ. οἷον ἐπίχειρα, κυρίως ὁ διδόμενος μισθὸς τοῖς ἐργαζομένοις ταῖς οἰκείαις χερσί. καὶ χεὶρ ἐπὶ χειροτεχνίᾳ τινός. οἷον Πολυκλείτου χεὶρ, τὸ ἄγαλμα. καὶ χεὶρ, ἡ βοήθεια, καὶ ἡ ἐξουσία. καὶ Χειροῦμαι, τὸ ὑπὸ τὴν χεῖρά μου ποιῶ τι. οἷον ἐχειρώσατό τις τήνδε τὴν πόλιν. καὶ χειροήθης, ὁ ἥμερος, καὶ ταῖς χερσὶ συνήθης. καὶ χειρουργία, ἐπ' αἰσχρᾶς τινος πράξεως. καὶ ἐπὶ τοῦ ταῖς οἰκείαις χερσὶν ἐργαζομένου. καὶ χειρωνάκτης, ὁ ταῖς οἰκείαις χερσὶν ἐργαζόμενος. καὶ χειριδωτὸς χιτὼν, ὁ χειρίδας ἔχων. ἤγουν τὰ λεγόμενα κοινῶς μανίκια. καὶ χει-

ῥίσοφος, καὶ χειρόμακτρον, τὸ μανδύλιον. καὶ ἐγχειρῶ. καὶ ἐπιχειρῶ. καὶ ἕτερα. Χείρων, ὄνομά τινος τῶν ἱπποκενταύρων. καὶ κλίνεται χείρωνος διὰ τοῦ ω μεγάλου. ἀφ' οὗ χειρώνια φάρμακα. Χείρων, καὶ ὁ μᾶλλον κακός. καὶ κλίνεται χείρονος διὰ τοῦ ο μικροῦ. Χείριστος, ὁ κάκιστος. Χειρῶναξ, κύριον. Χειμάζει, ἀμεταβάτως. καὶ χειμάζει τὶς ἐν τῷ δε τῷ τόπῳ, ἤγουν χειμῶνος ἐνταῦθα διάγει. καὶ χειμάζει τὶ τὴν πόλιν, ἤγουν ταράττει. Χειράδες, αἱ ἐν ταῖς χερσὶ ῥαγάδες. Χειμών. καὶ κλίνεται χειμῶνος, διὰ τοῦ ω μεγάλου. Χεῖμα ποιητικῶς, ὁ χειμών. Χειμερινός. καὶ χειμέριος. καὶ ἐπὶ θηλυκοῦ καὶ οὐδετέρου ὁμοίως. Χειμάῤῥους, ὁ κατὰ χεῖμα, ἤτοι τὸν χειμῶνα ῥέων ποταμός. Χειμεύω. Χειμεία, ἡ χείμευσις. Χειά. Χεῖλος, κυρίως μὲν ἐπ' ἀνθρώπων· καταχρηστικῶς καὶ ἐπ' ἄλλων. οἷον χεῖλος θαλάσσης, καὶ κύλικος, καὶ κρατῆρος. ἀφ' οὗ ὑπερχειλὴς κρατὴρ, ὁ πλήρης. Ἐπιχειλὴς δὲ, ὁ ἐνδεής. Χείλη καὶ οἱ λόγοι. ὄργανον γὰρ τῶν λόγων εἰσὶ τὰ χείλη. καὶ διὰ ταῦτο ἔστιν ὅτε ἀντὶ τούτων λαμβάνονται. ὥσπερ καὶ ἡ γλῶσσα, καὶ τὸ στόμα. καθὸ πολύγλωσσον λέγομεν τὸν πολυλόγον. καὶ μέγα στόμα ἔχειν, ἐπὶ τοῦ αὐτοῦ. καὶ χειληδόλια, τοὺς δολίους λόγους. Χειροτονῶ, καὶ χειροθετῶ. Χειραπτῶ, τὸ κρατῶ, παρὰ τῇ θείᾳ γραφῇ. καὶ ἕτερα.

ΚΑΤΟΙΚΙΔΙ'ΩΝ. Ἡ εὐθεῖα, ἡ κατοικίδιος. Πόθεν γίνεται; Ἀπὸ τῆς κατὰ προθέσεως, καὶ τοῦ οἶκος.

ΔΕΔΥΚΩ'Σ. Κανόνισον. Δύω, τὸ ὑπεισέρχομαι. ὁ μέλλων δύσω. ὁ παρακείμενος δέδυκα. καὶ ἡ μετοχὴ ὁ δεδυκώς.

Τὸ

Τὸ δυ, ψιλόν. Δεδοικὼς, ὁ φοβούμενος, δίφθογγος ο καὶ ι, καὶ μέγα. δεδυκὼς δὲ, ὁ ὑπεισελθὼν, ψιλόν.

Α'ΙΝΗ῀. Η' εὐθεῖα, ἡ αἰνή. Τὸ αι, δίφθογγος. αἰνῆ, τῇ χαλεπῇ, δίφθογγος καὶ η. αἰνεῖ, ῥῆμα συζυγίας πρώτης τῶν περισπωμένων, ἀντὶ ἐπαινεῖ, δίφθογγα τὰ δύο. ἐν ᾗ, δύο μέρη λόγου. ἐν, πρόθεσις. ᾗ ἄρθρον ὑποτακτικόν. ψιλόν, καὶ η. ἑνὶ ἐπὶ ἀριθμοῦ. οὗ ἡ εὐθεῖα, ὁ εἷς, ἢ τὸ ἕν. ψιλὸν καὶ ι.

Καὶ ἄλλως. Τίνα πρὸ τοῦ ν τὸ ε ἔχοντα ἐν τῇ ἀρχῇ αὐτῶν, διὰ τοῦ ε ψιλοῦ γράφονται, καὶ τίνα διὰ τῆς αι διφθόγγου, Διὰ μὲν τοῦ ε ψιλοῦ, ταῦτα. Ε'ν πρόθεσις. καὶ ἓν, ἡ μονάς. ἐι δὲ ἐπὶ τῶν πραγμάτων τίθεται, δηλοῖ μὲν τὸ τῷ ἀριθμῷ ἕν· δηλοῖ δὲ καὶ τὰ πολλὰ μὲν τῷ ἀριθμῷ, ἓν δὲ ὄντα τῇ φύσει. ἀφ' οὗ ἕνη, ἡ ἀρχὴ τοῦ μηνὸς, δι' ἑνὸς ν. καὶ δασυνόμενον. ὅπερ ποιητικῶς προσλαμβάνει ἕτερον ν, καὶ ψιλοῦται. παρὰ δὲ τοῖς Α'θηναίος ἕνη καὶ νέα, ἡ τριακὰς τοῦ μηνὸς, ἀπὸ τοῦ τὴν τελευτὴν ἔχειν τοῦ παρελθόντος μηνὸς, καὶ τοῦ ἐπιόντος ἀρχήν. ἐννέα δὲ διὰ δύο νν, ἀφ' οὗ ἔνατος, δι' ἑνός. ὃ ποιητικῶς λέγεται εἴνατος προσθήκῃ τοῦ ι, διὰ τὰ μέτρα. Ε'νενήκοντα. Ε''νος, ὁ χρόνος. Ε''ννους, ὁ φρόνιμος. Ε'νόω ἑνῶ, τὸ μιγνύω. καὶ ἕνωσις, ἡ μίξις. Ε'νετοὶ, ἔθνος παφλαγονικόν. Ε'νιαυτὸς, ὁ δωδεκάμηνος χρόνος. Ε'νιάυσιον, τὸ χρονιαῖον. Ε''ντεα, ποιητικῶς, τὰ ὅπλα. Ε'νυὼ, ἡ μάχη. ἀφ' οὗ ἐνυάλιος, ἐπίθετον τοῦ Α'ρεος. Ε'νηὴς, ὁ πρᾶος. Ε'νεὸς, ἐπὶ τοῦ ἰχνοφάνου, ἀπὸ τούτου, καὶ ἐπὶ τοῦ ἐκπλαγέντος. καὶ ἀφώνου μείναντος. Ε'νὸν, τὸ δυνατὸν

ὄν. ὃ καὶ ἀντὶ γενικῆς λαμβάνεται, ὥσπερ καὶ τ' ἄλλα πάντα τὰ μετοχικὰ οὐδέτερα. οἷον δέον ὂν γενέσθαι τόδε. ἐγένετο τόδε. ἤγουν δέοντος ὄντος. ἐνὸν, καὶ τὸ ἐνυπάρχον. Ἐνώτια, κόσμος γυναικεῖος. ἤγουν τὰ κοινῶς σκολαρίκια. Ἐναγίζειν, τὸ θυσιάζειν. ἀφ' οὗ ἐναγίσματα, αἱ σπονδαὶ, καὶ χοαί. Ἐναγὴς, ὁ μυσαρὸς, καὶ ἔμπλεως ἄγους. Ἐνειλινδεῖσθαι, ἀντὶ ἐγκαλινδεῖσθαι. Ἔναγχος, ἀντὶ πρὸ ὀλίγου. Ἔνιοι, ἀντὶ τινές. Ἐντέλλομαι, τὸ ἐπισκήπτω. Ἐνσημαινόμενος, ἀντὶ ἐνδεικνύμενος, καὶ ἐμφαίνων. Ἐνπαραβύσω, ἤγουν κρύφα καὶ οὐ φανερῶς Ἐννεάκρουνος, κρήνη τὶς ἐν Ἀθήναις. ἥτις πρότερον ἐκαλεῖτο καλλιῤῥόη. Ἔνδειξις, εἶδος δίκης δημοσίας. ὑφ' ἣν τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν, ἢ τόπων, ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον. Ἐνεσκευασμένην, ἀντὶ ἐσκευασμένην καὶ πεπλασμένην. καὶ ἕτερα.

Διὰ δὲ τῆς αι διφθόγγου, ταῦτα. Αἰνὸς, ὁ χαλεπός. καὶ τὸ θηλυκὸν, ἡ αἰνή. καὶ τὸ οὐδέτερον, τὸ αἰνόν. ἀφ' οὗ αἰνόμοροι παρ' Ὁμήρῳ, οἱ κακοθάνατοι. Αἰνῶ, τὸ ἐπαινῶ καὶ ὑμνῶ. αἶνος, ὁ ἔπαινος. καὶ ὁ ὕμνος. ἀφ' οὗ αἰνέτης, καὶ αἰνέσιμος. παρὰ δὲ τοῖς ποιηταῖς, ὁ λόγος. ἀφ' οὗ παραινῶ, καὶ συναινῶ, τὸ συμφωνῶ. Αἶνος, πόλις τῆς θρᾴκης. καὶ ἀπὸ τούτου ἐπίῤῥημα, αἰνόθεν. ὡς παρ' Ὁμήρῳ, Ὅς γὰρ „ αἰνόθεν εἰληλούθει. Αἰνείας, κύριον. οἱ ἀπὸ τούτου καταγόμενοι, αἰνειᾶνες. Αἰνῶς, ἀντὶ λίαν. Αἰάζω ποιητικῶς, τὸ θρηνῶ. Αἰνίσσομαι, τὸ διὰ συμβόλων τινῶν δηλῶ τι. ἀφ' οὗ αἴνιγμα, τὸ μὴ φανερῶς, ἀλλὰ διὰ συμβόλων τινῶν τὴν ἑαυτοῦ σημασίαν ἐμφαῖνον, καὶ ἕτερα.

ἩΡΩ-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/222 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Η'ΡΩΤΗ'ΚΕΙ. Κανόνισον. Ε'ρωτάω ἐρωτῶ. ὁ μέλλων ἐρωτήσω. ὁ παρακείμενος ἠρώτηκα. ὁ ὑπερσυντέλικος ἠρωτήκειν. τὸ δεύτερον, ἠρωτήκεις, τὸ τρίτον, ἠρωτήκει.

Ι'στέον ὅτι πρὸς μὲν τὴν ἐρώτησιν λέγεται ἡ ἀπόκρισις· πρὸς δὲ τὴν κατηγορίαν, ἡ ἀπολογία. ἐνίοτε καὶ ἡ ἀπόκρισις, ἀντὶ τῆς ἀπολογίας λέγεται.

Τὸ ρω μέγα. Ε'ρωτῶ. ἐρώτησις. ἐρώτημα. Ε"ρως ἀττικῶς. καὶ κλίνεται ἔρωτος. ἐρωτικός. ἐρωτόεις, ὁ ἐπιθυμητός. καὶ Ε'ῤῥωσο, ἀντὶ ὑγειῶς ἔχε, ἢ φθείρε, μέγα. ἔρος δὲ ἰωνικῶς, καὶ τὸν ἔρον ἐπὶ αἰτιατικῆς, μικρόν.

Ε'ΦΗ. Κανόνισον. Φημὶ, συζυγίας δευτέρας τῶν εἰς μι. ὁ μέλλων φήσω. ὁ δεύτερος Α'όριστος ἔφην. τὸ δεύτερον, ἔφης. τὸ τρίτον, ἔφη.

Τὸ φη, η. Ε"βη. ἔζη. ἔτλη. ἔστη ἔφη. κὶ βῆ. κὶ ζῆ. κὶ τλῆ. κὶ στῆ. κὶ φῆ. καὶ βαίη. κὶ ζαίη. κὶ τλαίη. κὶ σταίη. κὶ φαίη. καὶ τεθναίη, η γράφονται.

Α'ΠΙ'Η͵Σ. Ποίε μέρους λόγε ἐστί; Ρ'ήματος. σ'̓ γκειται δὲ ἐκ τῆς ἀπὸ προθέσεως, καὶ τε ἴῃς, ἀντὶ ἔλθῃς.

Τὸ πι, ι. κὶ τὸ ης, η. Ι"ῃς ἀντὶ, ἔλθῃς, ι κὶ η. καὶ κανονίζεται ἔτως. ἴω, τὸ πορεύομαι. ὃ κὶ διὰ τε ι γράφεται. ὁ δεύτερος Α'όριστος ἴον. καὶ τὸ ὑποτακτικὸν, ἐὰν ἴω. τὸ δεύτερον, ἐὰν ἴῃς. Ι"εις, ἀντὶ

ἔπεμπες, ι, καὶ δίφθογγος. καὶ κανονίζεται οὕτως. ἵημι, τὸ πέμπω, καὶ ὁ παρατατικὸς, ἵεον, ἵουν· ὡς ἐτίθεον, ἐτίθουν. τὸ δεύτερον, ἵεες, ἵεις. Εἴης ἀντὶ ὑπάρχοις, δίφθογγος ε καὶ ι, καὶ η. καὶ κανονίζεται οὕτως. εἰμὶ, τὸ ὑπάρχω. καὶ ὁ παρατατικὸς ἦν ἀττικῶς διὰ τοῦ η. ἡ μετοχὴ εἰς ὄντος. καὶ τὸ εὐκτικὸν, εἴην. τὸ δεύτερον, εἴης. Ἤεις, ἀντὶ ἦλθες η καὶ δίφθογγος. καὶ κανονίζεται οὕτως. εἴω, τὸ πορεύομαι. ὁ μέσος παρακείμενος εἶα. καὶ διαλύτει, ἔϊα. καὶ τροπῇ τοῦ ε εἰς η, ἦα, μένοντος καὶ τοῦ ι προσγεγραμμένου. ὁ ὑπερσυντελικὸς ἤειν. τὸ δεύτερον, ἤεις.

ἘΝΤΑΥ͂ΘΑ. Ποίου μέρους λόγου ἐστίν; Ἐπιρρήματος τοπικοῦ.

Ἰστέον ὅτι τὸ ἐνταῦθα νοεῖται ἐν πρώτῳ προσώπῳ. ἤγουν ἐνταῦθα ἔνθα εἰμὶ ἐγώ. τὸ δὲ αὐτοῦ, ἐν δευτέρῳ. ἤγουν αὐτοῦ ἔνθα εἶ σύ. τὸ δὲ ἐκεῖ, ἐν τρίτῳ.

ΤΟ͂ΠΩΝ. Ἡ εὐθεῖα, ὁ τόπος.

Τὸ το, μικρόν. Τὰ ἀπὸ τῆς το συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου. Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Τόπος. Τοπογραφῶ. Τόμος, τὸ κοντάκιον. τομὸς, ὁ κοπτικός. καὶ τομὸν ξίφος, τὸ κοπτικόν. Τόκος, ἡ γέννα, καὶ τὸ γεννηθέν. Τόνος, ἡ ἐπιπολὺ ἔκτασις. λέγεται καὶ ἐπὶ τῶν ἐπιπολὺ διαρκούντων μετὰ ὁμοίας ἰσχύος ἐν πόνοις, ἢ τοιούτοις τισίν. ἀφ᾽ οὗ ἄτονος ῥήτωρ, ὁ μὴ δυνάμενος ἐπιπολὺ διαρκεῖν μετὰ τῆς αὐτῆς ἰσχύος. Τονθορύζω, τὸ ἡσυχῇ λαλῶ. Τολύπη,

εἶδος βοτάνης πικρᾶς. Τοκὰς, ἡ μήτηρ. Τοκεὺς, ὁ γεννήτωρ. Τομεὺς, ὁ τμηῖικός. Τομίας, καὶ ἐκτομίας, ὁ ἐυνοῦχος. ὃς καὶ σπάδων λέγεται, καὶ γάλλος, καὶ βάκηλος. Τονόω τονῶ, τονώσω. Τόξον. τοξότης, ὁ τῷ τόξῳ χρώμενος. λέγεται δὲ καὶ τὰ τόξα πληθυντικῶς ἐπὶ ἑνός. ἡ δ᾽ αἰτία ὅτι μετὰ τὴν λαβὴν δύο τόξα ἐπὶ τῷ ἑνὶ κυρτοῦται. ὥσπερ καὶ τὰ πρόσωπα λέγεται ἐπὶ τȣ̃ προσώπȣ. ὅτι εἰς δύο τὸ πρόσωπον διήρηται. καὶ τὰ σέρνα ὁμοίως ἐπὶ τȣ̃ σέρνȣ. καὶ τὰ ἱςία, ἐπὶ τȣ̃ ἱςίȣ. ὅτι ἐκ πολλῶν ἐςι τὸ ἱςίον συνεῤῥαμμένον. Τοπάζω, ὃ μετὰ τῆς ὑπὸ προθέσεως ἀεὶ λέγεται ὑποτοπάζω. δηλοῖ δὲ τὸ ὑπονοῶ. Τοπάζιον, λίθος πολυτελής. Τορέυω. τορεία, ἡ τόρευσις. Τόσος. Τοσȣ̃τος. Τορὸν, τὸ ὑψηλὸν ἐπὶ φωνῆς καὶ διάτορον. ἀφ᾽ ȣ̃ διάτορος, ὁ ἑρμῆς. Τορῶ, τὸ τρυπῶ. Τομὶς, ἡ μάχαιρα. Τοναῖος δρόμος, ὁ ἐπιπολὺ ἐκτεταμένος μετὰ τῆς αὐτῆς ἰχύος. καὶ ἕτερα.

Τίνα διὰ τȣ̃ ω μεγάλȣ; Ταῦτα. Τωβὴτ καὶ Τωβίας, κύρια. Τωθάζω, τὸ σκώπτω. ἀφ᾽ ȣ̃ τωθασμοὶ, τὰ σκώμματα. Τῳκίδιον, κατὰ συναλοιφὴν, τὸ μικρὸν οἴκημα. Τῷτοι, ἐπίῤῥημα, ἀντὶ δ.ὲ τοῦτο. Τῳτέως, ἀντὶ ἐν τοσȣ́τῳ. Τέως γὰρ ἐπίῤῥημα χρονικὸν, ὅπερ ἔχει ἀνταποδοτικὸν τὸ ἕως. λαμβάνεται δὲ τὸ ἕως καὶ ἀντὶ μέχρι. καὶ ἀντὶ ἐν ὅσῳ χρόνῳ, ὡς „ παρ᾽ Ἐυριπίδῃ, Ἕως μὲν ȣ̃ν γῆς ὀρθ᾽ ἔκειθ᾽ ὁρίσματα. ἤγουν ἐν ὅσῳ χρόνῳ. ὥστε εἴη ἂν τὸ, τέως, ἀντὶ ἐν τοσούτῳ. τοῦτο δὲ προσλαμβάνει τὸ τῆς δοτικῆς ἄρθρον τὸ τῳ, καὶ λ᾽γεται τῳτέως, τὸ μεταξύ. καὶ ἕτερα.

ΚΡΕΙΤΤΟ'ΝΩΣ. Ε'πίῤῥημα μεσότητος. ὃ γίνεται ἀπὸ τῆς κρειττόνων γενικῆς τῶν πληθυντικῶν. ἧς ἡ εὐθεῖα τῶν ἑνικῶν, ὁ κρείττων. καὶ κλίνεται κρείττονος διὰ τοῦ ο μικροῦ.

Τὸ κρει, δίφθογγος ε καὶ ι. Τίνα ἀπὸ τῆς κρι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Κρίνω, ἐπὶ κρίσεως. ἀφ' οὗ κρίσις. καὶ κρίμα παροξυτόνως. καὶ κριτὸν, ὃ ὑπὸ κρίσιν. Ε'γκρίνω, τὸ ἔντινι τάττω. Συγκρίνω, τὸ συνάγω. ᾧ ἐναντίον τὸ διακρίνω. Προκρίνω, τὸ προτιμῶ. Α'νακρίνω, τὸ τὸ πραχθὲν ἐξετάζω, εἰ καλῶς ἐπράχθη ἢ κακῶς. ἢ τὸν ποιήσαντά τι εἰ καλῶς ἐποίησεν ἢ κακῶς. Ε'πικρίνω, τὸ τὸ κριθὲν βεβαιῶ. Α'ποκρίνειν μὲν ἐνεργητικῶς, τὸ ἀποπατεῖν, ἤγουν τὸ τὰ περιττὰ τῆς γαστρὸς ὑπάγειν. ὃ καὶ ἐκκρίνειν λέγεται. ἀποκρίνεται δέ τις παθητικῶς ἐρωτώμενος· ἀπολογεῖται δὲ κατηγορούμενος. Κρίνω παρ' ἀττικοῖς καὶ τὸ χωρίζω. Κρίνον παροξυτόνως, εἶδος φυτοῦ εὐώδους. εἰσὶ δὲ κρίνα, τὰ λευκά. τὰ δὲ μέλανα, ὑάκινθοι λέγονται. Κρινωνιὰ, ὁ περιέχων κρίνα τόπος. Κρίκος, τὸ κοινῶς κρικέλλιον. Κριὸς, ζῶον καὶ ὄργανον τειχομαχικὸν, κεφαλῇ κριοῦ κατὰ τὸ ἄκρον ἐοικός. Κρίσκης, ὄνομα κύριον. καὶ κλίνεται κρίσκεντος. Κριθή. Κριθωτὴ, πόλις μία τῶν ἐν χεῤῥονήσῳ. Κριθηΐς, ὄνομα γυναικὸς, ἥν τινα καὶ μητέρα λέγουσι τοῦ Ο'μήρου. Κρῖμνον, ἡ κριθή. καὶ κατὰ ἀποκοπὴν ἀττικὴν, κρῖ. Κριτίας, ὄνομα κύριον. καὶ ἕτερα.

Διὰ

Διὰ δὲ τȣ̃ η, ταῦτα. Κρήτη, νῆσος. ὁ ἀπὸ ταύτης κρής. καὶ κλίνεται κρητός. ἡ δὲ γυνὴ, κρῆσσα. ὥσπερ ὁ ἀπὸ τῆς Θράκης, Θράξ. ἡ δὲ γυνὴ, Θρᾶσσα. Κρημνός. Κρημνίζω, τὸ κατὰ κρημνȣ̃ ὠθῶ. Κρημνώρεια. Κρησφύγετον, τὸ καταφύγιον. Κρήδεμνον, τὸ κεφαλοδέσμιον. ἀπὸ τούτȣ λέγεται καὶ ἐπὶ „ τῶν τειχῶν τῶν πόλεων. ὡς παρὰ Φιλοςράτῳ, „ Ταυτὶ μὲν τὰ κρήδεμνα τȣ̃ ἡλίȣ. Κρῆς, τὸ κρέας. Κρένη, ἡ πισκίνα. Κρηπὶς, ἐφ᾽ ᾧ τις ποιεῖται τὴν βάσιν. οἷον ἐπὶ μὲν τῶν τειχῶν, τὸ θεμέλιον. ἐπὶ δὲ ἀνδρῶν, ἡ ἀρβύλη. ὅ ἐςιν εἶδος ὑποδήματος. ἢ ἡ ἐμβὰς, ἢ τοιȣ̃τόν τι. Κρήηνον ποιητικῶς, ἀντὶ τελείωσον. Κρήγυον παρ᾽ Ὁμήρῳ, ταυτὸν τὸ θυμῆρες, ἀπὸ τȣ̃ τὸ κῆρ ἡδύνειν. ϗ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγȣ, ταῦτα. Κρείττων, ὁ καλλίων. καὶ ἐπικρατέςερος. καὶ ἐπὶ θηλυκȣ̃, ἡ κρείττων. καὶ τὸ ȣ̓δέτερον, τὸ κρεῖττον. Κρείων, ὁ βασιλεύων. Κρειῶν, τῶν κρεῶν, κατὰ προσθήκην τȣ̃ ι.

ΔΗ'. Ποίȣ μέρους λόγȣ ἐςί. Συνδέσμȣ παραπληρωματικȣ̃. Τὸ δὴ, η. Δὴ σύνδεσμος παραπληρωματικὸς, η. δεῖ δὲ ἀντὶ πρέπει, ἢ ἀντὶ λείπεται. οἷον πολλȣ̃ γε ϗ δεῖ. ἢ ἀντὶ δεσμεῖ, δίφθογγος.

ΕʹΧΘΡΩ'Ν. Τὸ ε, ψιλήν. Τίνα ἀπὸ τȣ̃ ε ἀρχόμενα, ἔχοντα μετὰ τὸ ε δύο ἐφεξῆς σύμφωνα, διὰ τȣ̃ ε ψιλȣ̃ γράφεται, καὶ τίνα διὰ τῆς αι διφθόγγȣ; Διὰ μὲν τȣ̃ ε ψιλȣ̃, ταῦτα. Ἐχθρός. Ἐχθραίνω, τὸ μισῶ. ἐχθραίνω σοι, ἤγουν ἔχθραν ἔχω

σοι.

σοι. Ἕκτος. ἕκτη. ὅπερ ϗ χωρὶς προσθήκης τινὸς ἐπὶ ἡμέρας νοεῖται. ὥσπερ ϗ τρίτη ϗ τετάρτη. ϗ τὰ παραπλήσια. ἀφ' ἧ ἑκταῖος. οἷον Ἑκταῖός τις ἀφίκετο. ἤγουν κατὰ τὴν ἕκτην ἡμέραν. ὡς ἀπὸ τρίτης καὶ τετάρτης, τριταῖος, καὶ τεταρταῖος. ἃ λέγεται μὲν καὶ ἁπλῶς. λέγεται δὲ ϗ ἰδίως ἐπὶ πυρετῶν κατὰ τρίτην, ἢ τετάρτην ἡμέραν ἀφικνουμένων. ϗ ἑκταῖός τις τόδε ποιεῖ, ἢ πάσχει. ἤγουν ἕκτην ἡμέραν ἔχει ἀφ' ἧ τοῦτο ποιεῖ, ἢ πάσχει. ϗ ἑκταῖός τις ἐρᾷ ἤγουν ἢ ἕκτην ἡμέραν ἔχει ἀφ' ἧ ἐρᾷ. ἢ ἕκτης ἤδη ἐρᾷ γυναικὸς, πέντε πρὸ ταύτης ἐρασθείς. καθὸ λέ-
„ γεται, παρὰ Θεοκρίτῳ, Ἐγὼ δὲ ἔραμαι σχεδὸν ἐν-
„ δεκαταῖος. ἤγουν ἑνδεκάτης σχεδὸν ἐρῶ γυναικός. ταῦτα δὲ ἀποκρινεῖταί τις ἐρωτώμενος διὰ τοῦ ποσταῖος. οἷον Ἐρωτώμενος, ποσταῖος ἀπὸ Ἀθηνῶν ἥκει; ἀποκρινεῖται δωδεκαταῖος ἥκω τυχὸν, ἢ ἑκκαιδεκαταῖος. ἤγουν δωδεκάτην ἡμέραν ἔχω, ἀφ' ἧ ἦλθον, ἢ ἑκκαιδεκάτην. Ἔτνος, ἡ ἀθάρα, ϗ εἶδος ὀσπρίου. Ἐγχυτρισμὸς, ἡ τοῦ βρέφους ἔκθεσις. ἐπεὶ ἐν χύτραις ἐξετίθετο. Ἕλκω. Ἔχθιστος, ὁ ἐχθρότατος. Ἕρκος, τὸ περίφραγμα. Ἑρκάνη, τὸ αὐτό. Ἐλιννύων, ἀντὶ ἀναπαυόμενος. Ἐμπολὴ, τὰ φορτία παρ' ἀττικοῖς. παρὰ δὲ τοῖς ἄλλοις ἕλλησι, τὸ ἐκ τῶν φορτίων συνειλεγμένον. Ἔνθεον, τὸ θεῖον, ἢ τὸ θεόληπτον. ϗ ἔνθεος ὁμοίως. Ἔνθους δὲ, ὁ ἐνθουσιάσας, καὶ ὥσπερ ἐκστὰς ἑαυτοῦ. Ἕκτωρ, κύριον. Ἐγκανάξαι, ἀντὶ ἐγχέαι. κάναστρα γὰρ πινακίσκους τινὰς ἔλεγον φελλώδεις. ἀφ' ἧ Κανάξαι, καὶ ἐκκανάξαι, τὸ ἐκκενῶσαι ϗ ἐκπιεῖν. Ἔθνη, τὰ μεγάλα, ϗ πολυάνθρωπα γένη. ϗ ἰδίως ἔθνος, τὸ πονηρότατον μέρος τῶν ἐν τῇ πόλει πάντων ἐθνῶν. Ἐντείνω, τὸ τανύω. Ἐν-

τεί-

τείνεσθαι, τὸ ἐξαπλοῦσθαι. Ἔνλονον, τὸ τετανυσμένον. ἀπὸ τούτου, καὶ ἐπὶ ἰχύος, ἢ τοιούτου τινὸς οὐδέποτε χαυνουμένου. Ἔντα, τὰ ὄργανα τὰ διὰ χορδῶν. Ἔργον, ἡ πρᾶξις, καὶ ἡ δυσκολία, καὶ ἡ χρεία. „ ὡς παρὰ Σοφοκλεῖ, Καίσ' οὐδὲν εἴσω τῆσδε παπ- „ ταίνειν πύλης ἔτ' ἔργον ἐστίν. ἤγουν χρεία. Ἐμπιπλῶ, τὸ πληρῶ. καὶ Ἐμπιπρῶ, τὸ καίω. ἃ τὸ μ ἀποβάλλει. ἐπεὶ κακόφωνα κομιδῇ συνέβαινεν εἶναι, καὶ ἑτέρου προσγενομένου ἀπὸ τῆς συνθέσεως μ. ἀποβάλλει μὲν οὖν τὸ οἰκεῖον, ἔνθα ἔνεστι τὸ ἀπὸ τῆς συνθέσεως. προσλαμβάνει δὲ πάλιν αὐτὸ, ἔνθα οὐκ ἔτι ἐστὶν ἐκεῖνο. ὡς ἐπὶ τοῦ Παρατατικοῦ, ἐνεπίμπλων. καὶ ἐνεπίμπρων. Ἔμπουσα φάσμα τὶ τῆς ἑκάτης. Ἐκλώζετο, ἀντὶ διὰ ψόφου τινὸς ἐχλευάζετο. κλωσμὸν γὰρ ἔλεγον τὸν γινόμενον ἐν τοῖς στόμασι ψόφον. οἳ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων, ὧν οὐχ ἡδέως ἠκροῶντο. Ἐκπολεμῶσαι, ἀντὶ εἰς πόλεμον καταστῆσαι. καὶ ἕτερα.

Διὰ δὲ τῆς αι διφθόγγου, ταῦτα. Αἴτνη, ὄρος ἐν σικελίᾳ, ἐν ᾧ πυρὸς ἀναβλύζουσι κρατῆρες. Αἶκνον, τὸ δεῖπνον. Αἴγλη, ἡ λαμπηδών. Αἰγλήεις, ὁ λαμπρός. Αἰχμὴ, τὸ ξίφος τοῦ δόρατος. καὶ ἀπὸ τούτου, ὅλον τὸ δόρυ. καὶ αἰχμάλωτος. αἰχμαλωσία. Αἰσχύνη. Αἶσχος, τὸ αὐτό. καὶ ἕτερα.

ἈΠΟΘΥΜΙΟΣ. Πόθεν γίνεται; Ἀπὸ τῆς ἀπὸ προθέσεως, καὶ τοῦ θυμὸς, ἡ ψυχή.

Ἰστέον ὅτι ὁ θυμὸς λέγεται μὲν καὶ ἐπὶ ψυχῆς· λέγεται δὲ καὶ ἐπὶ τῶν μερῶν αὐτῆς. λέγεται μὲν

γὰρ

γὰρ θυμὸς καὶ ὁ λογισμός. καθὸ λέγεται τὸ, Ἕνα θυμὸν ἔχοντες. λέγεται δὲ καὶ ἡ ὀργὴ, καὶ ἔτι ἡ ἐπιθυμία. καὶ ὅτι ὀργὴ, ᾗ οὐδέποτε χρῆται Ὅμηρος, καὶ θυμὸς, καὶ χόλος, ποιητικῶς τὸ αὐτό. ὧν τὸ μὲν ἀπὸ τοῦ ὀρέγεσθαι, καὶ ἐν ἐφέσει εἶναι τοῦ κακῶσαι, γίνεται. τὸ δὲ ἀπὸ τοῦ θύειν, τὸ ὁρμᾷν. τὸ δὲ ἀπὸ τῆς χολῆς καὶ τοῦ χολᾷν. καὶ ὅτι ταῦτα τῶν ἐν κινήσει εἰσί. καὶ ὅτι τὸ ὀργίζεσθαι μετὰ ἀγανακτήσεως ἀμυντικῆς, χώεσθαι λέγεται ποιητικῶς, καὶ σκύζεσθαι κοινῶς. ὡς εἶναι τὸ χώεσθαι καὶ σκύζεσθαι, πρὸς τὸ χολοῦσθαι, ὅπερ τὸ ἄχθεσθαι, πρὸς τὸ ἄχνυσθαι, περιττεῦον τὴν ἀγανάκτησιν. καὶ ὅτι ὁ μὴ ἀφεθεὶς θυμὸς, μῆνις καὶ μένος λέγεται, ἀπὸ τοῦ μένειν. ἀφ᾽ οὗ μηνιθμὸς, ὁ πᾶς χρόνος τῆς μνησικακίας. οἷον πάνθ᾽ ὑπὸ μηνιθμόν. ὁ δὲ μεθεὶς τὸν χόλον, καὶ ἀμήνιτος, μεθήμων. καὶ ὅτι ἡ μῆνις προσειληφυῖα τὸ ἐπιτηρητικὸν μετὰ ἀγανακτήσεως κακοποιοῦ, κότος γίνεται. ὡς τὴν μὲν μῆνιν ἐκ τοῦ χόλου ἐναποκεῖσθαι. τὸν δὲ κότον, ἐκ τοῦ χώεσθαι, ἢ σκύζεσθαι.

Τὸ θυ, ψιλόν. Τίνα ἀπὸ τῆς θυ συλλαβῆς ἀρχόμενα, διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ υ ψιλοῦ, ταῦτα. Θύω τῷ θεῷ θυσίαν, μεταβατικῶς. καὶ θύω, ἀμεταβάτως. θύω, καὶ τὸ σφοδρῶς καὶ δίκην μαινομένου „ ὁρμῶ. ὃ καὶ θύνω λέγεται. ὡς παρ᾽ Ὁμήρῳ, Θῦνε διὰ προμάχων. ἀπὸ τοῦ θύειν, τὸ ὁρμᾷν, καὶ τοῦ εἰλεῖν, τὸ συστρέφειν. Θύελλα, ἡ κοινῶς ἀνεμοζάλη. ἣν οἱ ποιηταὶ ἄελλαν λέγουσιν, ἀπὸ τοῦ ἄειν, τὸ πνεῖν, καὶ τοῦ εἰλεῖν. ἀπὸ δὲ τοῦ θύειν, τὸ θυσιάζειν, θυσία. ἣν οἱ ποιηταὶ θυηλὴν λέγουσι. Θῦμα κοινῶς προπερισ-

πώ-

πώμενον. θύος, τὸ αὐτὸ ποιητικῶς, παροξύτονον. ἀφ' οὗ θυοσκόπος ποιητικῶς, ὁ ἱερεύς. ἤγουν ὁ τὰ θύη καίων. καὶ θυηπόλος. καὶ θύτης, τὸ αὐτὸ κοινῶς. Θυμὸς, ἡ ψυχὴ, καὶ ὁ λογισμὸς, καὶ ἡ ἐπιθυμία, καὶ ἡ ὀργή. ἀφ' οὗ θυμήρες, τὸ ἀρέσκον τῷ θυμῷ, ἤγουν τῇ ψυχῇ. Θύρα. θύριον ἀττικῶς, ἡ θύρα. θύραζε, ἀντὶ ἔξω τῆς θύρας. θύραθεν, ἀντὶ ἐκτὸς τῆς θύρας. θυραῖος, ὁ ἐκτός. ᾧ ἐναντίον ὁ ἔναυλος, ὡς παρὰ Σοφο-
„ κλεῖ, Ε῎ναυλος, ἢ θυραῖος. ἤγουν ἐντὸς, ἢ ἐκτός. Θυρεός. παρὰ μὲν Ο῾μήρῳ, καὶ τοῖς ἀρίστοις, λίθος ἀντὶ θύρας τὴν χρείαν παρέχων. παρὰ δὲ τοῖς πολλοῖς ἡ ἀσπίς. Θυρωρὸς, ὁ τὴν θύραν φυλάσσων. ἐλέγετο δὲ καὶ τὶς τῶν τοῦ νυμφίου φίλων θυρωρός. Θυόεις, ἐπὶ βωμοῦ. τῶν γὰρ βωμῶν, οἱ μὲν ἦσαν
„ θυόεντες. οἱ δὲ ἐν οἷς τὰ ἅρματα ἐτίθετο. ὡς παρ
„ Ο῾μήρῳ, ἅρματα δ' ἀμβωμοῖσι τίθει. Θύμον, εἶδος βοτάνης. Θυγάτηρ. θυγάτριον. Θύννος, ὄνομα ἰχθύος. ἀφ' οὗ θυννοσκόπος, ὁ ἀπὸ μετεώρου τοὺς θύννους περιεργαζόμενος. καὶ θυννοσκοπεῖον, ὁ τόπος ἐν ᾧ κάθηται ὁ θυννοσκόπος. καὶ ἕτερα.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγου, ταῦτα. Θοινῶμαι, τὸ εὐωχοῦμαι. ἐξ οὗ, βουθοίνας Η῾ρακλῆς, ὁ βοῦν ὅλον ἐν ἀρίστῳ ἐνὶ ἐσθίων. καὶ θοίνη, ἡ εὐωχία. Θοιμάτιον, Κατὰ συναλοιφὴν, τὸ ἱμάτιον. καὶ ἕτερα.

Ὁ τοῦ Πριάμου παῖς Ἀλέξανδρος τὰς ἀρχεκάκους ναῦς ἑληφὼς, ἃς Φέρεκλος ἐτεκτήνατο, ἐπὶ τὸν τῶν λακώνων χῶρον κατέπλευσε. καὶ Ἑλένην τὴν τῆς Λήδας παῖδα, ᾗ ὡμευνέτει νομίμως ὁ Ἀτρέιδης Μενέλαος, ἡρπακὼς, ἐπὶ τὴν οἰκέιαν αὐτοῦ ᾤχετο ἄγων, τὴν ἴλιον καὶ τροίαν κεκλημένην, καὶ ὠνομασμένην. καὶ πολλοῖς ὀλέθρου αἴτιος ἐγγόνει.

ΠΡΙΑΜΟΥ. Ἡ εὐθεῖα, ὁ Πρίαμος.

Τὸ πρι, ι. Τίνα ἀπὸ τῆς πρι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφονται, καὶ τίνα διὰ τοῦ η; Διὰ μὲν τοῦ ι, ταῦτα. Πρίαμος. Πριαμίδης. Πρίασθαι, ἀντὶ ὠνήσασθαι. ὅπερ ἐπὶ τοῦ Ἀορίστου μόνον ἐστὶν ἐν χρήσει. ἐπὶ δὲ τῶν ἄλλων χρόνων, τὰ ἀπὸ τοῦ ὠνοῦμαι γράφονται. οἷον ὠνοῦμαι. ὠνούμην. ὠνήσομαι. ἐώνημαι. ἐπὶ δὲ τοῦ Ἀορίστου ἔνθα τὸ πρίασθαι χώραν ἔχει, ἐστὶν μὲν καὶ τὸ ἀπὸ τοῦ ὠνοῦμαι ἐν χρήσει· ὅμως ἄμεινον τῷ πρίασθαι χρῆσθαι. πρίγκιψ, ἀξιώματος ὄνομα. καὶ κλίνεται πρίγκιπος. Πριμμικήριος, ἄρχων τίς. Πρίων, ἐργαλεῖόν τι τεκτονικόν. καὶ κλίνεται πρίονος. ἔστι δὲ ἡ λέξις πεποιημένη ἀπὸ τοῦ γινομένου ἀπὸ τῆς πρίσεως ἤχου. Πρῖσαι, τὸ τῷ πρίονι σχίσαι, προπερισπωμένως. Πρίομαι, ἀντὶ τέμνομαι καὶ οἱονεὶ

διαιροῦμαι ὑπὸ τῆς λύπης, ἢ τοιούτου τινός. ἀπὸ μεταφορᾶς τῶν διαιρουμένων τῷ πρίονι. Πρὶν, ἐπίῤῥημα. ὅπερ ἐνίοτε μὲν ἀντὶ πρότερον λαμβάνεται, ὅτε καὶ παρεληλυθότι συντάσσεται χρόνῳ. ὡς παρ' Ἡσιόδῳ, „ Πρὶν μὲν δὴ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων. ἐνίοτε δὲ ἀντὶ πρὸ τοῦ. καὶ συντάσσεται ἀπαρεμφάτῳ. οἷον Πρὶν τόδε γενέσθαι, τόδε ἐγένετο. ἤγουν πρὸ τοῦ τόδε γενέσθαι. ἐνίοτε δὲ κεῖται δύο πριν ἐν τῷ λόγῳ. ἔνθα τὸ ἓν ἐστιν ἐξ ἀνάγκης ἀντὶ πρότερον. τὸ δὲ δεύτερον, ἀντὶ πρὸ τοῦ. ὡς παρ' Ὁμήρῳ, Οὐδ' ὅγε πρὶν „ λοιμοῖο βαρείας χεῖρας ἀφέξει, Πρίν γ' ἀπὸ πα„ τρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην. Πρινή. ἀπὸ τούτου καὶ τὸ ἢ, ἀντὶ παρό. Πριστὰ ξύλα, τὰ τῷ πρίονι ἐσχισμένα. Πρῖνος, δένδρον. ἀφ' οὗ Πρίνινος ἄξων, ἢ τοιοῦτόν τι. Πρίσκος, κύριον. Πριήνη, πόλις. ὁ ἀπὸ ταύτης, πριηνεύς. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Πρηνὴς ἔπεσέ τις. ἤγουν ἐπὶ πρόσωπον. Πρηγορεὼν, ὁ γαργαρεών. Πρήσω, ἀντὶ καύσω, ἀπὸ τοῦ ἐμπιπρῶ. ὁ γὰρ ἐνεστὼς αὐτοῦ ἄχρηστος. ὃ μετὰ τῆς εν Προθέσεως ἀεὶ γράφεται. οἷον Ἐμπρήσω, καὶ ἐνέπρησα. ἀφ' οὗ ἐμπρησμός. καὶ πρηστήρ. ἔστι δὲ πρηστὴρ, πνεῦμα πυρωθὲν, οὐ μὴν ἐξαφθὲν δι' ὅλου. σφοδρὸν μέντοι καὶ ἀθρόον, ἄχρι τῆς γῆς διεκθέον. πρηστὴρ δὲ χθόνιος, πνεῦμα γῆς πολὺ φερόμενον, καὶ εἰλούμενον. Πρηὼν, ἡ ἐξοχὴ τοῦ ὄρους. Πρήσουσα, ἀντὶ περάσουσα. καὶ ἕτερα.

ἈΡΧΕΚΑΚΟΥ. Ἡ εὐθεῖα, ὁ ἀρχέκακος.

Τὸ χε, ψιλόν. Α᾿ρχέκακος. Α᾿ρχέπλουτος. ὁ „ ἐξ ἀρχῆς πλέσιος. ἢ ὁ ἄρχων τῦ πλούτυ. ὡς πα-„ ρὰ Σοφοκλεῖ, Μήμ᾿ ἄτιμον τῆς δ᾿ ἀποςείληλε τῆς γῆς, ἀλλ᾿ ἀρχέπλουτον. Α᾿ρχέβουλος. Α᾿ρχέδουλος. Α᾿ρχέλαος. Α᾿ρχέτυπος, ψιλά. Α᾿ρχαῖος δὲ, ὁ παλαιός. καὶ ἀπὸ μεταφορᾶς τούτυ, ὁ ἄχρηςος, καὶ μωρός. καὶ ὅσα ἀπ᾿ αὐτῦ, δίφθογγα. οἷον Α᾿ρχαιότης. ἀρχαιότατος. καὶ τὰ ὅμοια.

ΤΑ'Σ ΝΑ'ΥΣ. Ἡ εὐθεῖα, ἡ ναῦς. ἥτις ποιητικῶς, νηῦς λέγεται. ὡς καὶ ἡ γραῦς, γρηῦς. Ι᾿ςέον δὲ ὅτι εἰ καὶ τὴν γραφὴν ἡ γραῦς καὶ ἡ ναῦς καὶ τὴν ἐκφώνησιν ὁμοίαν ἔχει, καὶ τῷ αὐτῷ χρῆται τόνῳ, ὅμως διαλλάτlει τὶ περὶ τὴν κλίσιν. τῦ μὲν γὰρ ἐςιν ἡ εὐθεῖα, ἡ γραῦς. Ἡ γενικὴ, τῆς γραός. καὶ ποιητικῶς γρηός. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως πλώσεων. Ἡ δοτικὴ, τῇ γραΐ, καὶ γρηΐ. Ἡ αἰτιατικὴ, τὴν γραῦν, καὶ γρηῦν. Ἡ κλητικὴ, ὦ γραῦς. καὶ ποιητικῶς γρηῦς. Καὶ ἐπὶ τῶν πληθυντικῶν, ἡ εὐθεῖα, αἱ γραίες, καὶ γρῆες. Ἡ γενικὴ, τῶν γραῶν, καὶ γρηῶν. Ἡ δοτικῆ, ταῖς γραυσί. καὶ ποιητικῶς ταῖς γρηυσί. Ἡ αἰτιατικὴ, τὰς γραῦς, καὶ γρηῦς. Ἡ κλητικὴ, ὦ γραίες, καὶ ὦ γρῆες. Τῦ δὲ ἡ εὐθεῖα, ἡ ναῦς. Ἡ γενικὴ, κοινῶς μὲν τῆς νηὸς, ἀτlικῶς δὲ τῆς νεὼς. καὶ ποιητικῶς τῆς ναός. Ἡ δοτικὴ, τῇ νηΐ, καὶ ποιητικῶς τῇ ναΐ. Ἡ αἰτιατικὴ, κοινῶς μὲν τὴν ναῦν, ποιητικῶς δὲ τὴν νῆα. Ἡ κλητικὴ, ὦ ναῦς, καὶ ποιητικῶς νηῦς. Καὶ ἐπὶ πληθυντικῶν ἡ εὐθεῖα, αἱ νῆες. καὶ ποιητικῶς νᾶες. καὶ ὐδέποτε ἄλλως. Ἡ γενικὴ, τῶν νηῶν κοινῶς, καὶ ἀτlικῶς τῶν νεῶν. καὶ ποιητικῶς τῶν ναῶν. Ἡ δοτικὴ, ταῖς ναυσί. καὶ ποιητικῶς ταῖς νηυσί.

Ἡ αἰ-

Η῾ αἰτιατικὴ, κοινῶς μὲν τὰς ναῦς, ποιητικῶς δὲ τὰς
„ νῆας. ὡς παρ᾽ Ὁμήρῳ, Αἴας δ᾽ ἐκ σαλαμῖνος ἄγεν
„ δυοκαίδεκα νῆας. Η῾ κλητικὴ, ὦ νῆες, καὶ ποιητι-
„ κῶς νάες, καὶ οὐδέποτε ἄλλως.

Ε῎ΙΛΗΦΩ΄Σ. Κανόνισον. Λήβω, ἄχρηστον. ἀν-
τὶ τούτου δὲ λέγομεν τὸ λαμβάνω. ὁ μέλλων ὁ μὲν ἐ-
νεργητικὸς ἄχρηστος. ἀντὶ τούτου δὲ λέγομεν τὸν μέ-
σον, τὸ λήψομαι. ὁ παρακείμενος λέληφα. καὶ ἐκ-
βολῇ τοῦ πρώτου λ, καὶ πλεονασμῷ τοῦ ι, εἴληφα. ἡ
μετοχὴ ὁ εἰληφώς.

ΦΕ΄ΡΕΚΛΟΣ, ὄνομα κύριον. Τὸ φε, ψιλόν.

Τὰ ἀπὸ τῆς φε συλλαβῆς ἀρχόμενα, τινὰ μὲν
διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς αι διφθόγ-
γου. Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Φενακίζω, τὸ
ἐξαπατῶ. Φέναξ, ὁ ἐξαπατῶν. καὶ Φενακισμὸς,
ἡ ἐξαπάτη. Φένω, τὸ φονεύω, ποιητικῶς. Φέρω, τὸ
βαστάζων ἄγω, καὶ τὸ ἐπάγω. καθὸ λέγεται ἡμέρα
θάνατον ἢ βίον φέρειν. καὶ τὸ ὑπομένω. ἀφ᾽ οὗ συγ-
κριτικὸν φέρτερος, ὁ μᾶλλον φέρειν δυνάμενος τὰ προ-
σπίπτοντα. ὡς βέλτερος, ὁ μᾶλλον ἐπιβάλλων τοῖς
πράγμασι. καὶ ὑπερθετικὸν, βέλτιστος. καὶ Ἀντιφερίζειν,
τὸ ἐξ ἐναντίας τῷ φέροντι ἀντιφέρειν τὸ ἴσον. καὶ Ἰσο-
φαρίζειν ἐπὶ τοῦ αὐτοῦ. ἤτοι ἐπὶ τῶν φερόντων ἐναντία
ὅπλα, ἢ ἐπὶ τῶν ὑποζυγίων. καὶ ἰσοφόροι, οἱ τὸ ἴσον φέ-
ρειν δυνάμενοι. καὶ φέριστος, ὑπερθετικόν. καὶ Φέρει ἡ γῆ
τόδε. ἤγουν εὐφορεῖ κατὰ τόδε. καὶ Φέρει ὁ θεὸς κόσ-
μους καὶ βίους, ἀντὶ διεξάγει. Φέρομαι, ἀντὶ βασταζό-
μενος ἄγομαι. ἀφ᾽ οὗ φέρεταί τι ἐν τοῖς ὁμήρου συγ-

γράμμασι καὶ ἐμφέρεται αὐτοῖς, ἀντὶ ἐν αὐτοῖς ὂν, διαδεδομένον ἐςίν. ἀποφέρομαι δὲ, ἀντὶ ἀπολαβὼν φέρω. Φέρε, ἀντὶ ἄγε, ἐπίῤῥημα παρακελευσματικόν. Φερέοικος, ὁ κοχλίας, ἤ τι τοιοῦτον, ὡς οἰκίαν τινὰ, τὸ ἑαυτοῦ ὄςρακον ἐπαγόμενον. Φερσεφόνη θεὰ παρ᾽ ἕλλησι καταχθόνιος. ἥτις καὶ Φερσέφαττα. καὶ περσεφόνη λέγεται. Φελλεὺς, τὸ δύσεργον χωρίον. ἤγουν τὸ πετρῶδες, καὶ αἰγίβοτον. Φέψαλοι, οἱ σπινθῆρες. Φερώνυμος, ἐνεργείας τινὸς ἢ πάθους. ἀντὶ φέρων τὸ ὄνομα ἀπ᾽ αὐτῶν. ὥσπερ ἐπώνυμος, ἐνεργείᾳ τινὶ, ἢ πάθει. ἤγουν ἐπὶ τούτοις ὠνομασμένος. δύναται δὲ καὶ ἀμφότερα ταῦτα τὸ αὐτό. Φεραυγὴς, ὁ λαμπρός. Φερνὴ, ἡ προίξ. Φέρεκλος. Φελλὸς, τὸ κοινῶς φελλάριον. Φελώνη, ἱερατικὸν ἔνδυμα. Φεραὶ, πόλις ἐν τῇ λακωνικῇ. καὶ ἕτερα.

Τίνα διὰ τῆς αι διφθόγγου; Ταῦτα. Φαίνω, τὸ δεικνύω, καὶ τὸ κατηγορῶ. ἀφ᾽ οὗ συκοφάντης, ὁ κατηγορῶν τινὸς ψευδῆ καὶ ἀνυπόςατα. καὶ φαίνω, τὸ λάμπω. Φαίακες, ἔθνος. Φαιδρὸς, ὁ λαμπρός ἀφ᾽ οὗ φαιδρωπὸς, ὁ τὴν ὄψιν λαμπρός. καὶ φαιδρύνω, τὸ λαμπρύνω. Φαῖδρα, κύριον. Φαιὸν, χρῶμα μέσον τοῦ λευκοῦ καὶ τοῦ μέλανος. Φαιςὸς, πόλις κρήτης. Φαῖεν, ἀντὶ εἴποιεν. καὶ ἕτερα.

ἘΤΕΚΤΉΝΑΤΟ. Κανόνισον. Τεκταίνω, τὸ κατασκευάζω. ὁ μέλλων τεκτανῶ. ὁ Ἀόριςος ἐτέκτηνα. ὁ μέσος ἐτεκτηνάμην. τὸ δεύτερον, ἐτεκτήνω. τὸ τρίτον, ἐτεκτήνατο.

Ἰςέ-

Ἰστέον ὅτι προσγεγραμμένον οὐκ ἔστιν ἐνταῦθα τί. ἡ γὰρ αι δίφθογγοι καὶ ἡ οι, ἡ διὰ τοῦ ο καὶ ι διφθόγγου, τραπεῖσαι ἡ μὲν εἰς η, ἡ δὲ εἰς ῳ μέγα, καὶ τὸ ι ἔχουσι προσγεγραμμμένον. καὶ δίφθογγοι πάλιν εἰσὶν ηὐξημέναι. οἷον αἰσχύνομαι, ᾐσχυνόμην. καὶ ποιητικῶς, Ἀθήναις, ἀθήνησιν. ὅπερ ἐπεκράτησε καὶ παρὰ τοῖς ἀττικοῖς. αἰκάλλω τὸ θέλγω καὶ ἀπαλῶ, ᾐκαλλον. οἴχομαι τὸ πορεύομαι, ἢ φθείρομαι, ᾠχόμην. ἐὰν δὲ ἡ αι δίφθογγος, ἐπὶ γὰρ ταύτης τοῦτο συμβαίνει, ἐν κινήσει ῥήματος ἀποβάλλῃ ἐπὶ τοῦ μέλλοντος τὸ ι, καὶ ἐπὶ τῶν ἄλλων χρόνων τῶν ἀπὸ τοῦ μέλλοντος γινομένων, ἀποβεβλημένον αὐτὸ ἔχει. οὐδὲ γὰρ ἔχουσιν ἐκεῖνοι ὅθεν ἂν λαβόντες τοῦτο προσγράψωσι, μὴ ἐπὶ τοῦ μέλλοντος εὑρόντες, ἀφ' οὗ ἐγένοντο. οἷον αἴρω, ἀρῶ, ἦρα. φαίνω. φανῶ. ἔφηνα. τεκταίνω, τεκτανῶ. ἐτέκτηνα.

ΛΑ΄ΚΩΝΕΣ. Ἔθνος ἑλληνικόν. ὅπερ ᾤκει τὴν σπάρτην. Σπάρτη δὲ ἦν ἡ προηγουμένη πόλις τῆς λακεδαίμονος. ὥσπερ τὸ ἴλιον τῆς τροίας. καὶ αἱ Ἀθῆναι, τῆς ἀττικῆς. λακεδαιμονία γὰρ, τὰ περὶ τὴν Σπάρτην χωρία. καὶ τροία, τὰ περὶ τὸ ἴλιον. καὶ ἀττικὴ, τὰ περὶ τὰς Ἀθήνας. Ἡ εὐθεῖα, ὁ λάκων. καὶ κλίνεται τοῦ λάκωνος διὰ τοῦ ω μεγάλου.

ΛΗ΄ΔΑΣ. Ἡ εὐθεῖα, ἡ λήδα. ταύτην φασὶ τῷ διῒ μιγεῖσαν κύκνῳ ὁμοιωθέντι, τεκεῖν αὐτῷ τὴν Ἑλένην. φυλάττει δὲ τὸ α ἐπὶ τῆς γενικῆς. ὁμοίως καὶ τὰ ε ς δα λήγοντα πάντα θηλυκὰ, καὶ τὰ εἰς θα. Τὰ μὲν εἰς δα, οἷον Βασιλίνδα, βασιλίνδας. Ὀστρακίνδα, ὀστρακίνδας. Διελκυστίνδα, διελκυστίνδας.

Μυίνδα, μυίνδας. Χυτρίνδα, χυτρίνδας. Φρυγίνδα, Φρυγίνδας. Κινητρίνδα, κινητρίνδας. Σχοινοφιλίνδα, σχοινοφιλίνδας. Αποδιδρασκίνδα, ἀποδιδρασκίνδας. αὗται δὲ πᾶσαι παιδιῶν εἰσιν εἴδη.

Τὰ δὲ εἰς θα, οἷον Μάρθα, μάρθας. Κισσαίθα, κισσαίθας. Κυμαίθα, κυμαίθας. ἡ δ' αἰτία, ὅτι τὸ α μακρὸν ἔχουσι. καὶ ὁ κανὼν οὗτος ἂν ὑγιῶς λέγοιτο τῶν εἰς α βαρυτόνων θηλυκῶν ὀνομάτων. Οσα μὲν καθαρὸν ἔχει τὸ α, ἢ μετὰ τοῦ ρ, τηρεῖ αὐτὸ καὶ ἐπὶ τῆς γενικῆς. ὅσα δὲ πρὸ τοῦ α, ἄλλο σύμφωνον ἔχει, εἰ μὲν μακρὸν ἔχει τὸ α, φυλάττει πάλιν αὐτὸ ἐπὶ τῆς γενικῆς. εἰ δὲ βραχὺ, τρέπει αὐτὸ εἰς η.

Λήδας. τὸ λη, η. Τίνα ἀπὸ τῆς λι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Λιτὴ, ἡ παράκλησις. λιτανεύω. λιτανεία. Λιτὸν, τὸ εὐτελὲς, καὶ ἀποίκιλον. Λίμνη. παρὰ μὲν τοῖς κοινοῖς συναγωγὴ γλυκέων ὑδάτων πολλῶν. παρὰ δὲ τοῖς ποιηταῖς, ἡ θάλασσα. Λίαν, ἐπίῤῥημα, ἀντὶ πάνυ. Λιπαρῶ, ὁ ἐπιμένω. καὶ λιπαρὲς, τὸ ἐπίμονον. ὡς παρὰ Λουκιανῷ, „Τῷ λιπαρεῖ τῆς ἐπιχειρήσεως. ἤγουν τῷ ἐπιμόνῳ. Λιγὺς, ὁ ὀξεῖαν ἔχων φωνὴν ἐξ οὗ Λιγύφθογγος ἀηδών. καὶ λιγεῖα φωνὴ, ἡ λιγυρὸν μέλος ἔχουσα. Λιγαίνω, τὸ ὑμνῶ, ποιητικῶς. Λὶψ, ὄνομα ἀνέμου. καὶ κλίνεται λιβός. Λὶς ὁ λέων, καὶ κλίνεται λιός. Λιβάνιος. Λικ νιος, ὀνόματα κύρια. Λιμὸς, ἡ τῆς τροφῆς ἔνδεια. Λιλαίομαι ποιητικῶς, τὸ ἐπιθυμῶ. Λίπος, τὸ ἐν σαρκὶ ἀξούγκιον. ἀφ' οὗ λιπαρὸς, ὁ μετέχων λίπους. καὶ Λιπόσαρκος. καὶ Λιπόκρεως, ὁ λιπαρὰς

ἔχων

ἔχων σάρκας. Λιχανὸς, ὁ μετὰ τὸν ἀντίχειρα δάκτυλος. Λίτρον παρ' ἀτ]ικοῖς, τὸ νίτρον. Λιβύη, τὸ ἀπὸ τοῦ νείλου μέχρι γαδείρων μέρος τῆς οἰκουμένης. Λίκνον, τὸ π]ύον. ᾧ ἐχρῶντο πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἕλληνες. ἀφ' οὗ λικνοφόρος παρ' αὐτοῖς, ὁ τοῦτο δηλονότι φέρων. Λικμῶ, ἐπὶ τῶν καρπῶν. καὶ ἀπὸ τούτου, ἐπὶ πάντων τῶν εἰς ἀέρα χεομένων. ἀφ' οὗ λικμητήριον. Λίθος ἀῤῥενικῶς, ὁ τυχὼν λίθος. ἡ λίθος δὲ θηλυκῶς, ἐπὶ τῶν τιμίων λίθων, καὶ τῶν ἄλλως λαξευομένων. οἷον ἡ σμάραγδος. ἡ ἴασπις. τῶν δὲ λαξευομένων. οἷον ἡ παρία. ἡ πεντέλη. οἱ δὲ ἴωνες καὶ ἐπὶ τῶν τυχόντων λίθων, τὴν λίθον λέγουσι θηλυκῶς. χαίρουσι γὰρ οὗτοι πολλὰ τῶν ὀνομάτων ἀρσενικὰ ὄντα, θηλυκῶς ἐκφέρειν. οἷον τὴν κίονα. τὴν „ μαραθῶνα. ὡς παρὰ Νικάνδρῳ, Εὐκτιμένην μαραθῶνα. καὶ παρ' Ἀθηναίοις λίθος τὶς ἰδίως, πρὸς ὃν „ τοὺς ὅρκους ἐποιοῦντο. ὡς παρὰ Δημοσθένει, Καὶ πρὸς τὴν λίθον ἄγοντες καὶ ἐξορκοῦντες. Λιθουργοὶ, καὶ λιθοκόποι, ἐπὶ τοῦ αὐτοῦ. Λιθοξόος, ὁ κοινῶς γλύπτης. Λιπάρα, μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν. Λίβανος, ὄρος, καὶ ὄνομα δένδρου. τὸ δὲ θυμιώμενον, λιβανωτὸς λέγεται. ὅπερ ὀπός ἐστι τούτου τοῦ δένδρου. οἱ δὲ ποιηταὶ καὶ τὸν λιβανωτὸν, λίβανον ἐνίοτε λέγουσι. Λιμὴν, κόλπος θαλάττης, ταραχῆς ἀνέμων ἀπηλλαγμένος, ὅρμους ἐπιτηδείους ἔχων εἰς ὑποδοχὴν τῶν νεῶν. ἀφ' οὗ τὸ ἐλλιμενίζειν. Λίσσομαι, καὶ Λιτάζομαι ποιητικῶς, τὸ ἱκετεύω. Λίχνος, ὁ λαίμαργος. λιχνεύομαι, λιχνεία. καὶ Λιμβὸς, τὸ αὐτό. Λιμβεύομαι, τὸ κοινῶς λιμβίζομαι. Λιμβεία. Λιβὰς, ἡ ὑγρασία. Λιβάδιον, τὸ λειβόμενον ποθὲν ὀλίγον ὕδωρ. Λιαρὸν, τὸ χλιαρόν. Λιάζω ποιητικῶς,

τὸ ἐκφεύγω. Λισσὸν, τὸ ὁμαλόν. Λίπω, τὸ ἐπιθυμῶ. Λὶξ, ἐπίθετον. Λίξιος, ὁ οἰκεῖος. Λίνον, τὸ δίκτυον. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Λήθω, τὸ λανθάνω. ἀφ' οὗ λήθη, ἡ τῆς μνήμης ἀπώλεια. Λητὼ, ὄνομα θεᾶς. ἀφ' ἧς καὶ τοῦ διὸς, ὁ Ἀπόλλων. ὃς ἀπὸ ταύτης καὶ λητωΐδης λέγεται. Λήδα, κύριον. Ληστὴς, Ληστεία. Ληΐζομαι, τὸ λαφυραγωγῶ. Λήϊον, τὸ δρεπάνης δεόμενον χωράφιον. Λήϊτον, τὸ δημόσιον. Λήΐδιον, τὸ εὐτελὲς τριβώνιον. Ληνὸς, ἐν ᾗ τοὺς βότρυς ἐκθλίβουσιν. ἀφ' οὗ ληνοβάτης. καὶ ληνοβατῶ, ῥῆμα. Λῆρος, ἡ φλυαρία. Λῆρον ληρεῖς παρ' ἀττικοῖς, ἀντὶ φλυαρεῖς. Ληρῳδία, τὸ αὐτό. καὶ Ληρῳδεῖν, ῥῆμα. Λήχω ἄχρηστον, τὸ λαγχάνω. ἀφ' οὗ τὸ ἔλαχον. ἀπὸ τούτου, καὶ λῆξις, τὸ ἔγκλημα. καθ' ὃν λόγον φαμὲν καὶ λαχεῖν δίκην. καὶ ἔτι λῆξις, οἱ κλῆροι καὶ αἱ οὐσίαι. ἀφ' οὗ ληξιαρχικὸν γραμματεῖον, ἐν ᾧ ἐνεγράφοντο οἱ τελεσθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν. ἀπὸ τοῦ τῶν λήξεων δηλονότι ἄρχειν. ἤγουν τῶν οὐσιῶν. Λητὴ, πόλις τῆς μακεδονίας. Λήμμη, ἡ κοινῶς τζύμβλα. ἀφ' οὗ λημμᾷν, τὸ τζυμβλώττειν. ὅπερ οἱ ἀττικοὶ γλαμμᾷν λέγουσι. Ληὶς, ἡ λαφυραγωγία. Λῆμνος, νῆσος, ὁ ἀπὸ ταύτης, λήμνιος. Λήκυθος. καὶ ληκύθιον, τὸ μυρηρὸν ἀγγεῖον. ὃ καὶ ἀλάβαστρον λέγεται, καὶ ἀλάβαστον χωρὶς τοῦ ρ, ἀττικῶς. Λήγω, τὸ παύω, ἀφ' οὗ λῆξις, ἡ κατάπαυσις, καὶ τὸ τέλος. Λήβω, ἄχρηστον. ἀφ' οὗ τὸ λαβεῖν. καὶ τὰ λήμματα διὰ δύο μμ. ἔστι δὲ λῆμμα ὃ λαμβάνει τὶς ἑτέρου διδόντος. ὅπερ ἀπὸ μὲν τοῦ διδόντος λέγεται δόσις· ἀπὸ δὲ τοῦ

λαμ-

λαμβάνοντος λῆμμα. λέγεται λῆμμα καὶ ὃ κατέχων τὶς, ἐφ' ἕτερον ὁδηγεῖται. ἤγουν ἡ λαβὴ, καὶ ἀφορμή. λήμματα, καὶ αἱ προφητεῖαι. ἃς ἔλεγον οἱ προφῆται κατεχόμενοι ὑπὸ τοῦ πνεύματος τοῦ παναγίου. Λῆμα δι' ἑνὸς μ, τὸ φρόνημα. Λῄσαρχος, ὁ τῶν λῃστῶν. ἄρχων. καὶ ἕτερα.

Διὰ δὲ τῆς ει διφθόγγου, ταῦτα. Λεῖον, τὸ ὁμαλόν. ᾧ ἐναντίον τὸ τραχύ. καὶ λεία, ἡ ὁμαλή. ἀφ' οὗ Λεαίνω, τὸ ὁμαλίζω. Λειῶ δὲ λειώσω κατ' ἰατροὺς, τὸ τῶν εἰδῶν τι εἰς λεπτότατα τρίψαι. Λεῖα, τὰ τῆς πολεμικῆς ἁρπαγῆς ἀθροίσματα. Λείβω, τὸ χέω. καὶ σπένδω. ἀφ' οὗ λιβὰς μὲν, ἡ ὑγρασία διὰ τοῦ ι. λοιβὴ δὲ ἡ σπονδὴ διὰ τοῦ ο καὶ ι. Λείπω, τὸ καταλιμπάνω. ἀφ' οὗ λεῖμμα, τὸ κατάλειμμα. καὶ λειψυδρία, ἡ λεῖψις τοῦ ὕδατος. καὶ Λειποθυμῶ. καὶ Λειποψυχῶ. καὶ Λειφαιμῶ, τὸ αἵματος λείπομαι. καὶ Λειπόσαρκος. Λειπόκρεως, ὁ λειπόμενος σαρκῶν καὶ κρεῶν. καὶ Λείψανον, τὸ ὑπολειφθέν. Λείπομαι δὲ παθητικῶς, τὸ δέομαι, καὶ ἐνδεής εἰμι. Λειμών, λειμῶνος, ὁ περιέχων ἄνθη τόπος. Λείρια, τὰ ἄνθη. ἀφ' οὗ λειριόεσσα φωνὴ, ἡ ἀνθηρά. Λείχω, τὸ τῇ γλώττῃ ἀποψῶ ἀφ' οὗ Λείξουρος κύων. Λειχὴν, λειχῆνος, ἡ λειχία. καὶ ἕτερα.

ὩΜΕΥΝΈΤΕΙ. Κανόνισον. Ὁμευνετέω ὁμευνετῶ, τὸ συγκοιμῶμαι. καὶ ὁ παρατατικὸς, ὡμευνέτεον ὡμευνέτουν. τὸ δεύτερον, ὡμευνέτεες ὡμευνέτεις. τὸ τρίτον, ὡμευνέτεε ὡμευνέτει.

Τὸ

Τὸ ω, μέγα. καὶ τὸ τει, δίφθογγος. ὁμευνέτης, ἐπὶ μὲν ἀρσενικοῦ, μικρὸν καὶ η. καὶ κλίνεται ὁμευνέτου. ὁμευνέτις δὲ ἐπὶ θηλυκοῦ, μικρὸν καὶ ι. καὶ κλίνεται ὁμευνέτις, ὁμευνέτιδος. ὠμευνέτεις δὲ ῥῆμα, καὶ ὠμευνέτει, μέγα καὶ δίφθογγος.

Ὁμευνέτης. Τὸ νε, ψιλόν. Τὰ διὰ τοῦ ετης. τινὰ μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται, τινὰ δὲ διὰ τῆς ει διφθόγγου. Τίνα διὰ τοῦ ε ψιλοῦ; Ταῦτα. Εὐχέτης, ὁ ὑπέρ τινος εὐχόμενος. Μασσαγέτης. Οἰκέτης, ὁ δοῦλος. Ἱκέτης, ὁ παρακλήτωρ. ἀφ' οὗ ἱκετηρία παρ' ἕλλησιν, ὁ τῆς ἐλαίας κλάδος στέμματι ἐστεμμένος. τούτους γὰρ φέροντες ἱκέτευον. Ψυχολέτης. Ἀνθρωπολέτης. Γιγαντολέτης. Ἔτης, ὁ συνέστιος φίλος. καὶ ἕτερα.

Τίνα διὰ διφθόγγου; Ταῦτα. Εὐχαίτης ἵππος, ὁ πολλὴν χαίτην ἔχων. Κυανοχαίτης, ὁ ποσειδῶν. ἤγουν μελανόθριξ. Αἴτης. καὶ Προσαίτης, ὁ ἐπὶ ζητήσει ἄρτου περιϊών. καὶ ἕτερα.

ΗΡΠΑΚΩ'Σ. Κανόνισον. Ἁρπάζω. ὁ μέλλων ἁρπάσω. ὁ παρακείμενος ἥρπακα. ἡ μετοχὴ ὁ ἡρπακώς. ἔστι δὲ ἁρπάζειν, τὸ βιαίως λαμβάνειν. καὶ τὸ ὀξέως νοεῖν, ὡς παρὰ Σοφοκλεῖ, „Ταῦτ' ἀκούω „καὶ ξυναρπάζω φρενί.

ΟἸΚΕΙ'ΑΝ. Ἡ εὐθεῖα, ἡ οἰκεία. Τὸ κει, δίφθογγος ε καὶ ι. οἰκεία, ἡ ἰδία, καὶ ἡ πατρὶς, δίφθογγα τὰ δύο. τὸ πρότερον ο καὶ ι. οἰκία, τὸ οἴκημα, δίφθογγος ο καὶ ι. οἰκῆα δὲ τὸν δοῦλον, ποιη-

τικῶς

τικῶς δίφθογγος καὶ η. καὶ ἔστιν ἡ εὐθεῖα, ὁ οἰκεύς. καὶ κλίνεται ὡς ὁ πηλεύς.

ΩΧΕΤΟ. Κανόνισον. Οἴχομαι, τὸ πορεύομαι. ἐν ἄλλοις δὲ δηλοῖ καὶ τὸ φθείρομαι. οὗ τὰ ἐνεργητικὰ πάντα ἄχρηστα. καὶ ὁ παρατατικὸς ᾠχόμην. τὸ δεύτερον, ᾤχου. τὸ τρίτον, ᾤχετο.

ΙΛΙΟΣ. τὸ λι, ι. ἥλιος, ὁ τὴν ἡμέραν ποιῶν, η καὶ ι. ἴλιος δὲ, ἡ προηγουμένη τῆς τροίας πόλις, ἣ καὶ τὸ ἴλιον οὐδετέρως λέγεται, ι τὰ δύο.

ΩΝΟΜΑΣΜΕΝΗΝ. Τὸ θέμα, ὀνομάζω. τὸ ω μέγα. ἐκ τῆς αὐξήσεως τοῦ παρακειμένου· ὀνομαζόμενος, μικρόν. ὠνομασμένος δὲ, μέγα. ὥσπερ ὁπλιζόμενος μικρόν. ὡπλισμένος δὲ, μέγα.

ΠΟΛΛΟΥΣ. Ἡ εὐθεῖα, ὁ πολύς. καὶ κλίνεται τοῦ πολλοῦ, ἑτεροκλίτως. Ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ πολλοί. Ἡ γενικὴ, τῶν πολλῶν. Ἡ δοτικὴ, τοῖς πολλοῖς.

Ἰστέον ὅτι ἀντιστρόφως τοῦτο κλίνουσιν οἱ ποιηταί. λέγουσι γὰρ οὕτοι, ὁ πολλός. τοῦ πολέως. τῷ πολέϊ. τὸν πολλόν Καὶ τὰ πληθυντικά, οἱ πολέες καὶ πολεῖς. τῶν πολέων. τοῖς πολέεσι. τοὺς πολέας καὶ πολεῖς.

ΟΛΕΘΡΟΥ. Ἡ εὐθεῖα, ὁ ὄλεθρος. Τὸ ο μικρόν. Ὄλεθρος. ὀλεθρεύω. καὶ ὀλοθρευτὴς, μικρά. τὰ δὲ παρὰ τὸ ὄλεθρος ἐν συνθέσει γινόμενα, εἰ μὲν

ἔχου-

ἔχουσι τὴν πρὸ τοῦ ω συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφονται. οἷον ἀνώλεθρος, ἐπώλεθρος, βροτώλεθρος. εἰδὲ μακρὰν, κἂν τε φύσει, κἂν τε θέσει, διὰ τοῦ ο μικροῦ. οἷον ἀνθρωπόλεθρος. πανολεθρία.

ΑἼΤΙΟΣ, ὁ τὴν ἀφορμὴν δούς. Τὸ αι, δίφθογγος. Αἴτιος. Ὑπαίτιος, ὁ ὑπ' αἰτίαν. Παραίτιος, ὁ παραχὼν αἰτίαν. Αἰτία ἡ ἀφορμὴ, καὶ ἡ κατηγορία. αἰτιῶμαί σε, ἀντὶ ὑπὸ αἰτίαν σὲ ἔχω. καὶ αἰτιῶμαι τόδε τοῦδε, ἀντὶ αἴτιον νομίζω. καὶ αἰτιατικὴ, δίφθογγα. Ἔτειος δὲ, ὁ χρόνιος. καὶ ἐτεία, ἡ χρονία, ψιλὸν καὶ δίφθογγος. Ἐτήσιον δὲ τὸ κατ' ἔτος, ψιλὸν καὶ η.

ἘΓΕΓΌΝΕΙ. Κανόνισον. Γίνομαι. ὁ μέλλων γενήσομαι. ὁ παρακείμενος γεγένηκα. ὁ μέσος γέγονα. ὁ ὑπερσυντέλικος ἐγεγόνειν. τὸ δεύτερον, ἐγεγόνεις. τὸ τρίτον ἐγεγόνει.

Ἀχιλλεὺς ὁ πηλέιδης καὶ αἰακίδης, ὁ Θέτιδος τῆς Νηρέως θυγατρὸς παῖς, ἀνδρειότατος ἦν τῶν ἑλλήνων καὶ γενναιότατος. καὶ μέγα ὄφελος τοῖς ἀργείοις, καὶ ἀχαιοῖς ἐχρημάτιζε. καὶ τὴν στρατιὰν τῶν τρώων ἐλύπει, κτάνων ἀφειδῶς καὶ ἀνοικτὶ τοὺς χερσὶ ταῖς αὐτοῦ περιπίπτοντας.

ἈΧΙΛ-

ΑΧΙΛΛΕΥΣ. Παρὰ μὲν τοῖς κοινοῖς διὰ δύο λλ γράφεται, ὥσπερ ὀδυσσεὺς διὰ δύο σσ. παρὰ δὲ τοῖς ποιηταῖς διὰ τὰ μέτρα τὸ μὲν ἐνίοτε δι' ἑνὸς λ. τὸ δὲ καὶ δι' ἑνὸς σ.

Ἐπὶ τῷ α, ψιλήν. Τὸ α πρὸ τοῦ χ, ψιλοῦται. οἷον ἄχθος, τὸ βάρος. ἄχος, ἡ λύπη. ἀχρεῖος, ὁ μὴ ὢν ἐν χρείᾳ. καὶ Ἀχρεῖον δ' ἐγέλασε παρ' Ὁμήρῳ. ἀντὶ ἐπ' οὐδεμιᾷ χρείᾳ. ἀχάριστος. ἀχέρων, ποταμὸς ἐν ᾅδου. ἀχιλλεύς. ἀχαιός. καὶ τὰ ὅμοια.

ΠΗΛΕΙΔΗΣ. Ὄνομα πατρωνυμικόν. παράγεται δὲ ἀπὸ τοῦ πηλεύς.

Ἰστέον ὅτι τοῖς πατρωνυμικοῖς συντάσσεται τὰ τῶν παίδων ὀνόματα, ὅταν δύο ἀδελφοὶ ὦσιν ἢ πλείους. οἷον Ἀτρείδης Ἀγαμέμνων. ὅταν δὲ μονογενὴς ᾖ υἱὸς, οὐκ ἔτι χρεία τῆς τοῦ κυρίου προσθήκης.

Τὸ λει, δίφθογγος. Τὰ διὰ τοῦ ειδης πατρωνυμικὰ, εἰ μὲν ἀπὸ τῶν ὀνομάτων εἰς ευς ληγόντων παράγονται, διὰ τῆς ει διφθόγγου γράφονται. οἷον Πηλεὺς, πηλείδης. Ἀτρεὺς, ἀτρείδης, Οἰνεὺς Οἰνείδης. Αἰγεὺς, αἰγείδης. Θησεὺς, θησείδης. Προμηθεὺς, προμηθείδης. ὡσαύτως καὶ τὰ παρὰ τὸ κλέος συγκείμενα. οἷον εὐκλείδης, ἡρακλείδης, ἱπποκλείδης. καὶ τὰ ὅμοια. Εἰ δὲ ἀπὸ εὐθειῶν ὀνομάτων, ἢ γενικῶν παράγονται εἰς ος ληγουσῶν, διὰ τοῦ ι γράφονται. οἷον Αἰακὸς, αἰακίδης. Πρίαμος, πριαμίδης. Τάνταλος, ταντιαλίδης. Ἀγαμέμνων, ἀγαμέμνονος, ἀγαμεμνονίδης. Τίμων, τίμωνος, τιμωνίδης. Ἕκτωρ, ἕκτορος,

ρος, ἑκτορίδης. Νέστωρ, νέστορος, νεστορίδης. Πέλοψ, πέλοπος, πελοπίδης. Κέκροψ, κέκροπος, κεκροπίδης. χωρὶς τοῦ κύθνος, κυθνείδης. ὃ μόνον ἀπὸ τῶν εἰς ος, διὰ τῆς ει διφθόγγου γράφεται. τὸ δὲ παλαμήδης, καὶ γανυμήδης, καὶ θρασυμήδης, οὐ πατρωνυμικά εἰσιν, ἀλλ᾽ ὀνόματα κύρια ἀπὸ τοῦ μήδομαι συγκείμενα, τὸ βουλεύομαι. ὅθεν καὶ τὴν διὰ τοῦ η γραφὴν ἔχουσι.

ΑἸΑΚΊΔΗΣ γίνεται ἀπὸ τοῦ αἰακός. τοῦτο δὲ παρὰ τὸ αἰάζω ποιητικῶς, τὸ θρηνῶ. τὸ δὲ αἰάζω, παρὰ τὸ αι σχετλιαστικὸν ἐπίῤῥημα. Πῶς κλίνεται; Τοῦ αἰακίδου. ὁ κανών. Τὰ εἰς ης πατρωνυμικὰ πάντα διὰ τῆς ου διφθόγγου κλίνεται. οἷον πηλείδης, πηλείδου. αἰακίδης, αἰακίδου. εἰ δὲ μὴ πατρωνυμικὰ εἴη, εἰ μὲν σύνθετά εἰσι, καὶ ἔχουσιν ἐν τῇ συνθέσει οὐδέτερον κατὰ τὸ τέλος εἰς ους κλινόμενον, εἰς ους καὶ αὐτὰ κλίνονται. οἷον Πολυνείκης πολυνείκους. τὸ νεῖκος γὰρ τοῦ νείκους κλίνεται. καὶ τὸ ὑπερείδης οὕτως ὤφειλε κλιθῆναι. ἔχει γὰρ τὸ εἶδος ἐν τῇ συνθέσει τοῦ εἴδους κλινόμενον. διότι καὶ τύπον ἔχει πατρωνυμικοῦ, ὑπερείδου κλίνεται χωρὶς τοῦ σ, ὡς πατρωνυμικόν. εἰ δὲ μὴ οὐδέτερον ἔχει οὕτω κλινόμενον, εἰς ου κλίνεται. οἷον Ὀλυμπιονίκης, ὀλυμπιονίκου. Τελώνης, τελώνου. εἰ δὲ οὐκ εἰσὶ σύνθετα, παράγονται δὲ, καὶ εἰσιν ἐν μετοχῇ ἀφ᾽ ὧν παράγονται, ἢ εἰ τριγενῆ εἰσι, διὰ τῆς ους καὶ αὐτὰ κλίνονται. οἷον Καπνώδης, καπνώδους. Αἰνιγματώδης, αἰνιγματώδους. Πετρώδης, πετρώδους. Αὐθάδης, αὐθάδους.

Τὸ αι, δίφθογγος. Τὸ αι κατ᾽ ἀρχὴν λέξεως, ἔχον τὰ α ἐπαγόμενον, ἔντισι μὲν διὰ τῆς αι διφ-

θογ-

θόγγȣ γράφεται, ἔν τισι δὲ διὰ τȣ̃ ε ψιλȣ̃. Ἐν τίσι διὰ τῆς αι διφθόγγȣ; Ἐν τούτοις. Αἰάζω ποιητικῶς, τὸ θρηνῶ. Αἴασμα, τὸ θρηνώδημα. Αἰακὸς, ὄνομα κύριον. Αἴας. Αἶα, ἡ γῆ. Αἰανὸς, ὁ σκοτεινός. Αἰανὴ, ἡ σκοτεινή. κὶ ἕτερα.

Ἐν τίσι διὰ τȣ̃ ε ψιλȣ̃; Ἐν τούτοις. Ἔαρ. Ἐαρινός. Ἑανὸς πέπλος, ἀντὶ ποικίλος. τινὲς δὲ ἑανὸν, τὸν ἀποίκιλον λέγουσι. πέπλον δὲ, τὸν ποικίλον. Ἑάλων, ἀντὶ ἐκρατήθην. Ἐάω ἐῶ, τὸ καταλιμπάνω. Ἑὰ, τὰ ἀγαθὰ, καὶ ἀντωνυμία κτητικὴ τρίτȣ προσώπȣ. ὡς ἀπὸ τȣ̃ πρώτȣ, τὰ ἐμά. Ἔα, ἐπίῤῥημα ἐκπληκτικόν, κὶ ἐν ἑτέροις.

Θέτις, παρ' ἕλλησιν ὄνομα θεᾶς. καὶ κλίνεται θέτιδος.

ΝΗΡΕΥ'Σ. Δαίμων καὶ ȣ̃τος παρ' αὐτοῖς θαλάττιος.

Τὸ νῆ, η. Νηρεύς, ὁ θαλάττιος δαίμων, ὁ ἐπὶ τῶν ῥευμάτων δηλονότι νηχόμενος. ὃν καὶ πατέρα λέγουσι τῆς θέτιδος. καὶ Νηρηΐς, η γράφεται. Νειρεὺς δὲ, ὁ κόχλος, δίφθογγος. καὶ Νιρεὺς κύριον. ὃς ἦν „ πάνυ εὐειδὴς, ὥς φησιν Ὅμηρος, Νιρεὺς, ὃς κάλ-„ λιστος ἀνὴρ ὑπὸ ἴλιον ἦλθεν. ι.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς νι συλλαβῆς ἀρχόμενα, διὰ τȣ̃ ι γράφεται, καὶ τίνα διὰ τȣ̃ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγȣ; Διὰ μὲν τȣ̃ ι, ταῦτα. Νίκαια, πόλις τῆς λοκρίδος ἐπιθαλαττίδιος. ὁ ἀ-

πὸ ταύτης νικαεύς. Νικομήδεια, πόλις καὶ αὕτη ἐκ ἀφανής. ὁ ἀπὸ ταύτης νικομηδεύς. Νίπτω, τὸ δι᾽ ὑγρῦ καθαίρω. ἀφ᾽ ὖ νιμμὸς, ἡ κάθαρσις. καὶ νιπτὴρ, ἐν ᾧ νίπτονταί τινες. ὥσπερ πλυνὸς, ἐν ᾧ πλύνεσι. Νικάνωρ, ὄνομα κύριον. Νικᾶ, τὸ περιγίνομαι. ἀφ᾽ ὖ νίκη, ἡ τροπαιουχία. καὶ ξόανον Ἀθηνᾶς παρὰ τοῖς Ἀθηναίοις. καὶ νικητήρια τὰ ἆθλα. καὶ νικητής. Νίκων, Νικήτας, Νικόλαος, καὶ Νικόδημος, κύρια. Νίτρον, τὸ κοινῶς σαπώνιον. Νινευὶ, πόλις. οἱ ἀπὸ ταύτις νινευῖται. Νιόβη, κύριον. Νίσα χώρα. ὁ ἀπὸ ταύτης, νισαῖος. Νίφει, ἀντὶ χιονίζει. ἀφ᾽ ὖ νιφετὸς, ὅταν ἡ χιὼν σφοδρὰ καὶ ἀθρόα καταφέρηται. Νιτρίας, κύριον. Νιρεύς. καὶ ἕτερα.

Διὰ δὲ τῦ η, ταῦτα. Νήφω, τὸ ἐκτὸς μέθης εἰμί. ἀφ᾽ ὖ νηφάλιος καὶ νηφάλεος, τὸ αὐτό. καὶ ἀνανήφειν, τὸ ἀπὸ μέθης ἀναλαμβάνειν τινὰ τὴν ἑαυτῦ αἴσθησιν. νήφει μὲν ὖν κυρίως, ὁ μὴ μεθύων. γρηγορεῖ δὲ, ὁ μὴ ὑπνῶν. σωφρονεῖ δὲ, ὁ μανίας ἐκτὸς. Νήδυμος ὕπνος ὁ μὴ δύνων, μὴ δὲ περιεχόμενος, ἀλλ᾽ αὐτὸς περιέχων. ἀπὸ τῦ νη στερητικῦ μορίυ, καὶ τῦ δύνειν. ὃν Ὅμηρος ἐξηγούμενος λέγει, Νήδυμος ἀμ- „ φιχυθείς. ἀπὸ τῦ νη στερητικῦ παρ᾽ αὐτῷ, καὶ Νήγρετος ὕπνος, ὃν ἐγρήγορσις ὐ διαδέχεται. ἢ ὁ βαθὺς, καὶ δύσκολον παρέχων τὴν ἔγερσιν. καὶ Νήποινος βίος, ὁ μὴ ἐκδικούμενος ὑπό τινος. καὶ Νῆϊς, ὁ ἐστερημένος τῆς δυνάμεως. ἢ ὁ ἁπλῶς ἐστερημένος. Νήϊον, τὸ εἰς „ παρασκευὴν πλοίυ ξύλον. ὡς παρ᾽ Ὁμήρῳ, ὅς ῥά- „ τε τέχνῃ Νήϊον ἐκτάμνησι. καὶ ὄρος ἐν Ἰθάκῃ. ὡς „ παρὰ τῷ αὐτῷ, Ἡμεῖς δὲ ἐξ ἰθάκης, ὑπὸ νηΐυ „ εἰλήλουθμεν. ὅπερ κάθυγρον ὂν, εἰς τὸν ὑποκείμε-

νον

νον λιμένα πλεῖστον ῥεῦμα ἐκδίδωσιν, ὡς ἀπὸ τοῦ συμβεβηκότος ῥεῖθρον προσαγορεύεσθαι τὸν λιμένα. Νή-
„ ριτον δὲ σὺν τῷ ρ, πολίχνιον τῆς κατ᾽ ἀντικρὺ ἠ-
„ πείρου. ὡς παρὰ τῷ αὐτῷ. Ὡς ὅτε νήριτον εἷλεν ἐϋκτίμενον πτολίεθρον. Νήριτον καὶ τὸ πολὺ καὶ ἀναρίθμητον. Νηΐτης νόμος, ἡ συνήθεια, καὶ ἡ τάξις τῶν πλεόντων τὴν θάλασσαν. καὶ νηΐτης ἐπέρασεν ὁ στρατός. ἤγουν μετὰ νεῶν. Νήχεσθαι ἐπὶ ἰχθύων. ἀφ᾽ οὗ νηκτὰ, καὶ νηχόμενα ἐπὶ τῶν αὐτῶν. ἀπὸ τούτου καὶ ἐφ᾽ ἀνθρώπων, καὶ ἐπὶ τῶν ἄλλων τῶν χερσαίων. Νεῖν δὲ κυρίως ἐπ᾽ ἀνθρώπων. ἤγουν τὸ κοινῶς κολυμβᾷν. πλεῖν δὲ τὸ μετὰ νεὼς θάλατταν περᾷν. Νῆστις, ὁ μὴ φαγών. καὶ κλίνεται νήστιδος. Νῆστις καὶ τὸ μεταξὺ τῆς κοιλίας, καὶ τοῦ στομάχου ἔντερον. Νηστεύω. νηστεία. νηστευτής. Νῆσσα, καὶ νῆττα τὸ κοινῶς νησσάριον. Νήλιπος, ὁ μὴ ὑποδεδεμένος. ἤγουν ὁ κοινῶς ἀνυπόδετος. Νήτη, ἡ τελευταία χορδὴ τῆς μουσικῆς. ἀπὸ τοῦ νεάτη κατὰ συναλοιφήν. Νηδὺς, ἡ γαστήρ. Νηρεὺς, θεὸς παρ᾽ ἕλλησι θαλάσσιος. Νηρηΐδες, αἱ ἐν θαλάσσῃ νύμφαι. Νηΐδες, αἱ καὶ ναΐδες, αἱ ἐν ποταμοῖς καὶ κρήναις, καὶ λίμναις. νύμφαι δὲ, αἱ ὀρεστιάδες. καὶ ἁμαδρυάδες, καὶ ἀδρυάδες, αἱ ἐν τοῖς ὄρεσι. παρὰ δὲ τῷ Ὁμήρῳ, καὶ νύμφαι, καὶ κρηναῖαι, αἳ λέγονται κοῦραι διός. ὡς κοινὸν ἐπὶ τούτων ὄνομα παρ᾽ αὐτῷ εἶναι τὴν νύμφην. Νηλεὺς, κύριον. Νηπενθής. Νήσαντες, ἀντὶ σωρεύσαντες. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Νεῖλος, ὄνομα ποταμοῦ. καὶ ὄνομα κύριον. Νείαιρα ποιητικῶς, ἡ ἐσχάτη. Νεῖκος, ἡ φιλονεικία. καὶ νεικῶ, τὸ φιλονεικῶ. Νεῖν, τὸ σωρεύειν, καὶ τὸ κολυμβᾷν. Νει-

ρεὺς, ὁ κόχλος. Νειὸς, ἡ ἠρδριασμένη γῆ. Νείφει, ἀντὶ βρέχει. καὶ ἕτερα.

Α'ΝΔΡΕΙΟ'ΤΑΤΟΣ. Ποίου εἴδους τῶν παραγώγων; Ὑπερθετικοῦ.

Ἰστέον ὅτι τὰ ὑπερθετικὰ ἐπίτασιν ἀεὶ ἔχει. ἐνίοτε μὲν πρὸς ἕτερα ταύτην ἔχει κατὰ σύγκρισιν ὑπερθετικήν. ὅτε καὶ πρὸς γενικὴν πληθυντικὴν ἀεὶ λέγεται. οἷον Κάλλιστος πάντων ἢ σοφώτατος, ἢ λογιώτατος. ἤτι τῶν τοιούτων. ἐνίοτε δὲ καθ' ἑαυτὰ ταύτην ἔχει, καὶ οὐ πρὸς ἕτερα. καθὸ λέγεται, τὰ κάλλιστα ἔχειν, ἐπιῤῥηματικῶς ἐπὶ τοῦ πάνυ καλῶς ῥηθέντος, ἢ γενομένου. Καὶ ὅτι εἰσί τινα τύπον μὲν ἔχοντα ὑπερθετικῶν, οὐκ ὄντα δὲ ὑπερθετικά. οἷον Πλατάνιστος. Τὰ δὲ συγκριτικὰ τριχῶς συντάσσεται. ἢ γὰρ πρὸς γενικὴν λέγεται, ἐνίοτε μὲν ἑνικήν. ὡς παρ' Ὁμήρῳ, „ Ἐπεὶ οὐκ ἔθεν ἐστὶ χερείων. ἐνίοτε δὲ πληθυντικὴν, ὅτε μάλιστα καὶ πρὸς ἑτερογενῆ λέγεται, ἢ πρὸς εὐθεῖαν μετὰ τοῦ ἢ, ἀντὶ παρό. οἷον Κάλλιον τόδε, ἢ τόδε. ἢ πρὸς αἰτιατικὴν μετὰ τῆς κατα προθέσεως, καὶ τοῦ ἢ, ἀντὶ παρό. οἷον Μεῖζον τὸ ἔργον ἢ κατὰ τὴν ἐμὴν δύναμιν.

Ἰστέον ὅτι τὰ συγκριτικὰ πάντα καὶ ἀντὶ τῶν ἁπλῶν λαμβάνεσθαι δύνανται. ὡς παρ' Ἡσιόδῳ τὸ δικαιότερον καὶ ἄρειον. ἀντὶ δικαίου, καὶ καλοῦ. καὶ „ παρὰ Λιβανίῳ, Ἐπεὶ καὶ τοῦτο παρὰ τοῖς σοφω- „ τέροις ἐν λόγῳ. ἤγουν παρὰ τοῖς σοφοῖς. καὶ ὅτι ταῦτα ὅτε μὴ λαμβάνεται ἀντὶ τῶν ἁπλῶν, οὐδέποτε χωρὶς ἐκείνων λέγεται, πρὸς ἃ τὴν σύγκρισιν ἔχει,

πλὴν τοῦ κρεῖττον. ὅπερ ἐπὶ θεοῦ ἐξαιρέτως λέγεται. ἕκαστον γὰρ τῶν ἄλλων κρεῖττον ὂν τινὸς, ἔλαττόν ἐστιν ἑτέρου. καὶ τὸ ἀνάπαλιν. εἰ καὶ μὴ πάντα, ἀλλὰ κατά τι. καὶ διὰ τοῦτ' ἀεὶ ζητεῖ ὡρισμένως, τίνος ἔλαττόν ἐστιν ἢ κρεῖττον. καὶ εἰ μὴ ἕξει, ἀτελῆ τὸν λόγον ποιεῖ. ἡ δὲ θεία φύσις πρὸς ἅπαντα συγκρινομένη κρείττων ἐστὶν ἀσυγκρίτως. διὸ τὸ κρεῖττον ἐπ' αὐτῆς ἐξ ἀνάγκης λέγεται μόνον. ἵνα πάντων γινώσκηται κρείττων, καὶ μὴ ἑνὸς δοθεῖσα, δόξαν παρέχῃ ὅτι ἴσως οὐχ ἁπάντων ὑπέρκειται.

ἮΝ. Ποίου μέρους λόγου ἐστί; Ῥήματος. λαμβάνεται δὲ ἐνίοτε μὲν ἐπὶ πρώτου προσώπου τῶν ἑνικῶν. ἐνίοτε δὲ ἐπὶ τρίτου. παρὰ δὲ τοῖς ποιηταῖς καὶ ἐπὶ
„ τρίτου τῶν πληθυντικῶν. ὡς παρ' Ἡσιόδῳ, Τοῖς δ'
„ ἦν τρεῖς κεφαλαί. καὶ ὅτε μὲν ἐπὶ πρώτου λαμβάνεται, κανονίζεται οὕτως, Εἰμὶ, τὸ ὑπάρχω. καὶ ὁ παρατατικὸς ἦν, ἀττικῶς διὰ τοῦ η. ὅτε δὲ ἐπὶ τρίτου τῶν ἑνικῶν, οὕτως, Ἔω, τὸ ὑπάρχω. ὅπερ ἐστὶν ἄχρηστον. λέγεται δὲ ἀντὶ τούτου τὸ εἰμί. καὶ ὁ παρατατικὸς, ἦον. τὸ δεύτερον, ἦες. τὸ τρίτον, ἦε. καὶ κατὰ συγκοπὴν ἦ. ὅτε δὲ ἐπὶ τοῦ τρίτου τῶν πληθυντικῶν, ποιητικῶς, οὕτως, Εἰμὶ, τὸ ὑπάρχω. καὶ ὁ παρατατικὸς ἦν. ἡ μετοχὴ εἰς ἔντος. καὶ ἐκβολῇ τοῦ τος, καὶ αὐξήσει τῆς ἀρχούσης ἦν. ὡς ἀπὸ τοῦ ἐγερθέντος, τὸ ἤγερθεν. καὶ ἀπὸ τοῦ τυφθέντος, τὸ ἔτυφθεν. καὶ τοῦ φαανθέντος, τὸ ἐφάανθεν. ἃ καὶ ἀπὸ τοῦ ἠγέρθησαν καὶ ἐτύφθησαν καὶ ἐφαάνθησαν δύνανται λέγεσθαι, κατὰ συγκοπὴν τῆς σα συλλαβῆς, καὶ συστολῇ τοῦ η εἰς ε, καὶ τοῦ τόνου μετάθεσιν.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/251 gefördert von der Deutschen Forschungsgemeinschaft

Τὸ ην, η. ἐκ τῆς αὐξήσεως τῶν παρῳχημένων.

Καὶ ἄλλως. Ἦν ῥῆμα ἐπὶ πρώτου καὶ τρίτου προσώπου, ὡς εἴρηται. καὶ ἣν ἄρθρον θηλυκὸν ὑποτακτικόν. καὶ ἣν ἀντωνυμία κτητικὴ τρίτου προσώπου. καὶ ἢν, ἀντὶ ἐὰν, η γράφονται. ἶν δὲ ἡ δύναμις, ὃ καὶ ἶς γράφεται, ι.

Τὸ ΜΕ'ΓΑ πῶς κλίνεται; τοῦ μεγάλου ἑτεροκλίτως.

Ο'ΦΕΛΟΣ. Τὸ ο, μικρόν. Ο"φελος μόνον μικρόν. τὰ δὲ παρ᾽ αὐτοῦ μεγάλα. οἷον Ἀνωφελής. Βιωφελής. Ψυχωφελής. Οἰκωφελής. Ὠφελῶ. ὠφέλεια. ὠφέλιμος. καὶ τὰ ὅμοια. ἔστι δὲ τὸ ὄφελος ἄκλιτον. ἐπεὶ παρὰ τὴν ἀκολουθίαν προηνέχθη τῶν διὰ τοῦ ελος τρισυλλάβων. πάντων γὰρ τῶν τοιούτων, τρισυλλάβων, ἢ ἀρσενικῶν ὄντων, ἢ θηλυκῶν. οἷον Πέμπελος. Εἴκελος. Ἄμπελος. τοῦτο μόνον οὐδέτερόν ἐστι.

Α'ΡΓΕΙ'ΟΙΣ. Ἡ εὐθεῖα, ὁ ἀργεῖος. λέγονται δὲ ἀργεῖοι, ἀπὸ τοῦ ἄργους. ἀφ᾽ οὗ καὶ θηλυκὸν, ἡ ἀργεία, διὰ διφθόγγου. ἔστι δὲ ἄργος μὲν παροξυτόνως, τόπος ἐν λακεδαιμονίᾳ. ἀργὸς δὲ ὀξυτόνως, ὁ λευκὸς, ἢ ὁ μὴ ἐργαζόμενος. ὃς καὶ ἀεργὸς λέγεται ποιητικῶς. ἢ ὁ ταχὺς, κατ᾽ ἀντίφρασιν. καὶ ἀπὸ μὲν τοῦ πρώτου γίνεται ἀργύφεον ποιητικῶς, τὸ λευκόν. καὶ ἄργυρος. ἀπὸ δὲ τοῦ δευτέρου, ἀργία, ἡ ἀπραξία, διὰ τοῦ ι.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/252 gefördert von der Deutschen Forschungsgemeinschaft

Ε᾽ΧΡΗΜΑ´ΤΙΖΕ. Κανόνισον. χρηματίζω. ὅπερ ἐπὶ μὲν τῶν ἐνεργητικῶν δηλοῖ ἐνίοτε μὲν τὸ ὑπάρχειν. ἐνίοτε δὲ τὸ χρηματισμοὺς διδόναι. ἐπὶ δὲ τοῦ παθητικοῦ, τὸ χρήματα συλλέγειν. καὶ ὁ παρατατικὸς ἐχρημάτιζον, τὸ δεύτερον, ἐχρημάτιζες, τὸ τρίτον, ἐχρημάτιζε.

ΤΡΩ´ΩΝ. Ἡ εὐθεῖα, ὁ τρώς. καὶ κλίνεται τοῦ τρωὸς διὰ τοῦ ω μεγάλου. ὡς δμὼς δμωός. κλίνεται δὲ χωρὶς τοῦ τ. ὁ χρὼς δὲ καὶ ὁ φὼς, διὰ τοῦ τ. χρωτὸς γὰρ καὶ φωτός.

Τὸ τρω, μέγα· ὡς ἥρως.

Καὶ ἄλλως. Τὰ ἀπὸ τῆς τρω συλλαβῆς ἀρχόμενα, τινὰ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, τινὰ δὲ διὰ τοῦ ω μεγάλου.

Τίνα διὰ τοῦ ο μικροῦ; Ταῦτα. Τροφή. ἥτις ἐπὶ τῶν ἀναγκαίων λέγεται. τρυφὴ δὲ καὶ χλιδὴ, ἐπὶ τῆς ἀνειμένης διαίτης, καὶ πρὸς ἡδονὴν ἀποκλινούσης. ἀπὸ ταύτης ἡ ἀνατροφή. καὶ τροφεὺς, ὁ τρέφων. καὶ τρόφιμος, ὁ τρεφόμενος. καὶ τροφεῖα, τὰ χάριν τῆς ἀνατροφῆς ἀποδιδόμενα τοῖς τροφεῦσιν. οἷον Ἀπέχω τὰ τροφεῖα, ἀντὶ ἀπολαβὼν ἔχω. ἃ ποιητικῶς καὶ θρεπτήρια λέγεται. καὶ Ὀρφανοτρόφος. καὶ ὀρφανοτροφεῖον, ἔνθα οἱ ὀρφανοὶ τρέφονται. Τροφώνιος, κύριον. τούτου κατὰ γῆς μαντεῖον ἦν. ἔνθα οἱ μαντευόμενοι σκυθρωποὶ καὶ δαιμονῶντες ἐξῄεσαν. „ ἀφ᾽ οὗ παροιμία. Ἐς τροφωνίου μεμάντευται. ἐπὶ τῶν σκυθρωπαζόντων, ἀεὶ καὶ οὐδέποτε ἐλευθεριαζόντων

του. Τροχὸς, ὁ τοῦ ἅρματος. ἀφ᾽ οὗ ἁρματροχιὰ τὸ „ τῶν τροχῶν ἴχνος. ὡς παρ᾽ Ὁμήρῳ, Οὐδέτε πολλὴ „ Γίγνετ᾽ ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν. καὶ ὁ δρόμος. ἀφ᾽ οὗ ἁματροχιὰ χωρὶς τοῦ ρ. τὸ ὁμοῦ τρέχειν, καὶ μὴ ἀπολείπεσθαι. ὡς παρὰ τῷ αὐτῷ, „ Τῆς εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων. ὑπολείπετο γὰρ ἑκὼν, τὴν συνέμπτωσιν φυλαττόμενος. Τροχάζω, τὸ τρέχω. Τραχαῖος, μετρικὸς ποῦς δισύλλαβος. τὴν μὲν προτέραν ἔχων μακρὰν, βραχεῖαν δὲ τὴν δευτέραν. Τροχίλος, ὄνομα ἰχθύος. τρόχις ποιητικῶς, ὁ ἄγγελος. Τρόμος. Τρομερὸς, ὁ τρέμων. Τρομαλέος, ὁ περίφοβος, καὶ τρέμων ὑπὸ τοῦ δέους. Τροχαλοὶ, οἱ θαλάσσιοι καὶ ποτάμιοι λίθοι. οὓς ἔνιοι κόχλακας καλοῦσιν. ἤγουν κάχληκας. οἱ δὲ χερμάδια. Τροχαλὸς, καὶ ὁ δίκην τροχοῦ κεκαμμένος, καὶ κεκυφώς. ὡς παρ᾽ Ἡσιόδῳ, Τροχαλὸν δὲ γέροντα τίθησι. Τρόπος, ἡ γνώμη καὶ τὸ ἦθος. ἀφ᾽ οὗ εὔτροπος, ὁ τὸ ἦθος ἔχων εἰς εὖ τετραμμένον. καθὸ καὶ τὸ, χρῆσθαι τῷ τρόπῳ λέγομεν. ἤγουν τῇ γνώμῃ καὶ τῷ ἤθει. τρόπος καὶ ἡ τῶν λόγων χρῆσις. ἀφ᾽ οὗ πολύτροπος παρ᾽ Ὁμήρῳ ὁ ὀδυσσεύς. ἤγουν ὁ σοφὸς καὶ δυνάμενος τὸ αὐτὸ νόημα κατὰ πολλοὺς τρόπους λέγειν. τρόπος καὶ αἱ τῶν τεχνῶν καὶ ἐπιστημῶν ὁδοί. τρόπος καὶ ἡ συνήθεια. καθὸ λέγεται τὸ, πρὸς τρόπου. ἤγουν ἀπὸ συνηθείας. Τροποῦμαι, τὸ τοὺς πολεμίους εἰς φυγὴν τρέπω. ἀφ᾽ οὗ τρόπαιον μὲν ἐπὶ τῶν νικώντων, καὶ διωκόντων. τροπὴ δὲ ἐπὶ τῶν ἡττωμένων, καὶ διωκομένων. Τρόπαια καὶ ἃ οἱ νικῶντες ἵσων τῆς νίκης σύμβολα. Τρόπις, ἐφ᾽ ᾗ ἡ ναῦς βέβηκεν, ὡς ἐπὶ θεμελίῳ οἰκία. καὶ κλίνεται τρόπεως.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/254 gefördert von der Deutschen Forschungsgemeinschaft

πεως. Τροπωτὴρ, ἔνθα ἡ κώπη τῆς νεὼς δέδεται. καὶ ἕτερα.

Τίνα διὰ τοῦ ω μεγάλου; Ταῦτα. Τρώγλη, ἡ τρύπα. ἀφ' οὗ τρωγλίτης, ὃς καὶ στρουθὸς λέγεται. στρουθία δὲ οὐδετέρως, πάντα τὰ μικρὰ τῶν ὀρνίθων. καὶ τρωγλοδύτης. Τρώγω. ἀφ' οὗ τρώξιμον ποιητικῶς, τὸ δυνάμενον βρωθῆναι. καὶ Τρῶκται παρὰ Φιλοστράτῳ, οἱ πολλὰ ἐσθίοντες. ἤγουν οἱ κοινῶς φάγοι. καὶ Κυαμοτρώξ. καὶ Πτερνοτρώκτης. Τρώσω ἐπὶ μέλλοντος. ὁ γὰρ ἐνεστὼς αὐτοῦ ἄχρηστος. ἀντ' αὐτοῦ δὲ λέγεται τὸ τιτρώσκω. ἀφ' οὗ τρῶσις καὶ τρωτὸς, ὁ δυνάμενος τρωθῆναι. καὶ ὁ ἄτρωτος, ὁ μὴ τιτρωσκόμενος. Τρὼς, τρωός. Τρωαὶ καὶ τρωάδες. λέγονται καὶ τρωϊάδες ποιητικῶς. Τρωΐλος, κύριον. καὶ ἕτερα.

ΕΛΥΠΕΙ. Κονόνισον. Λυπέω λυπῶ. καὶ ὁ παρατατικὸς ἐλύπεον ἐλύπουν. τὸ δεύτερον, ἐλύπεες ἐλύπεις. τὸ τρίτον, ἐλύπεε ἐλύπει. γίνεται δὲ ἀπὸ τοῦ λύειν.

Ἰστέον ὅτι τὸ λυπεῖσθαι καὶ ἄχθεσθαι λέγεται καὶ ἀλγεῖν. καὶ ὅτι ταῦτα καὶ μετὰ τῆς συν προθέσεως λέγεται. οἷον συναλγῶ. καὶ συνάχθομαι. τὸ δὲ λυπεῖσθαι οὐκ ἔτι παρὰ τοῖς ἀκριβεστέροις τῶν ἑλλήνων.

Τὸ λυ, ψιλήν. Τίνα ἀπὸ τῆς λυ συλλαβῆς ἀρχόμενα, διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ υ ψιλοῦ, ταῦτα. Λύω, ὅταν ᾖ δεδεμένον τι. καὶ λύω τὸ ἀπορούμενον. καὶ λύει τὶς αἰχμάλωτον, ἀντὶ λυτροῦται. καὶ λύω τὴν σύνοδον. ὡς παρ' Ὁμήρῳ, Λῦσαν δ' ἀγορήν. μετὰ δὲ

τῶν προθέσεων, Ἀναλύω, τὸ τὰ συντεθειμένα εἰς τὰ ἐξ ὧν συνελέθησαν διαιρῶ. ἀφ' οὗ τὰ παρὰ τῷ Ἀριστοτέλει ἀναλυτικά. καταλύει τὶς τὴν τυραννίδα, ἀντὶ ἀφανίζει. καὶ καταλύει ἐν πανδοχείῳ. ἀφ' οὗ κατάλυμα, ἡ καταγωγή. Διαλύω τὰ ἡνωμένα. Παραλύω, τὸ χαυνῶ. καὶ παραλελυμένα μέλη, τὰ χαυνωθέντα καὶ ἐνδόντα. Ἀπολύω, ὅπερ κατέχω. καὶ ἀπολύω τινὰ τῆς κατηγορίας. καὶ ὑπολύω τὸν ὑποδεδεμένον. ἀπὸ τοῦ λύειν γίνεται τὸ λυσιτελεῖν. ὅπερ οἱ ποιηταὶ λύειν τέλη λέγουσι διαλελυμένως. λέγεται δὲ ἀντὶ χρήσιμον καὶ ὠφέλιμον εἶναι. καὶ ὀνόματα λυσιτελὴς καὶ λυσιτελές. καὶ Λυτὴρ, ὁ λυτρωτής. καὶ Λύτειρα. καὶ Λύσις παροξύτονον. Λῦσις δὲ ὄνομα κύριον, προπερισπώμενον. καὶ Βουλυτὸς ὁ τῆς ἑσπέρας καιρὸς, ἐν ᾧ τοὺς βοῦς λύουσι. Λυτροῦμαι, τὸ ῥύομαι. ἀφ' οὗ λυτρωτὴς, ὁ ῥύστης. καὶ λύτρωσις. καὶ λύτρα, τὰ ἐπὶ λυτρώσει καὶ ἐλευθερίᾳ τινὸς διδόμενα ἐπὶ τῷ ῥύσασθαι θανάτου τινά. Λυμαίνομαι, τὸ φθείρω. ὃ παρὰ μὲν τοῖς ἀττικοῖς δοτικῇ συντάσσεται· παρὰ δὲ τοῖς ἄλλοις ἕλλησιν αἰτιατικῇ. ἀφ' οὗ λυμεὼν, ὁ φθορεύς. ὃς καὶ λοιμὸς λέγεται, διὰ τοῦ ο καὶ ι. καὶ παρὰ μὲν τοῖς ποιηταῖς λυμαντήρ. καὶ λύμη, ἡ φθορά. Λυκάβας, ὁ χρόνος. Λύζω. ἀφ' οὗ λυγμὸς, ὁ κοινῶς λεγόμενος κλόζος. καὶ λύγδην κλαίειν ἐπιῤῥηματικῶς, ἀντὶ μετὰ λυγμοῦ. Λύκος, ζῶον. Λύπη. Λυπηρός. Λυπῶ, τὸ ἀνιῶ. Λυποῦμαι, ἀντὶ ἀνιῶμαι. Λύθρον, τὸ μετὰ κόνεως αἷμα. Λύγος, ὁ ἁπαλὸς κλάδος. ἀφ' οὗ τὸ λυγίζειν ἐπὶ τῶν ὀρχουμένων. καὶ τὰ λυγίσματα. Λύκειος, ὁ Ἀπόλλων. καὶ λύκειος, ἀγορά. καὶ λύκειον, ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων. Λυκία, χώρα. οἱ ἀπὸ ταύτης, λύκιοι. Λύμα, τὸ κάθαρμα. Λυκοῦργος.

γος. εἷς ἦν ἔτος τῶν δώδεκα ῥητόρων. ὃ πάππος Λυκοῦργος ὁ νομοθέτης. Λυκαονία, χώρα. Λύσανδρος, καὶ Λυσίμαχος, κύρια. Λύσσα, μανία τίς. καὶ Λυσσᾷν, τὸ ταύτην μαίνεσθαι τὴν μανίαν. καὶ Λυσσητὴς κύων, ἢ θὴρ. ἤ τι τῶν τοιούτων. Λυδία, χώρα, ἡ καὶ μηονία. καὶ ὁ ἀπὸ ταύτης, λυδός. καὶ λυδὴ γυνή. Λυδία καὶ ἡ διακριτικὴ τοῦ χρυσοῦ λίθος, ἡ καὶ βάσανος λέγεται. καὶ παρὰ τοῖς κοινοῖς χρυσακόνιον, ἀπὸ τῆς λυδίας. καὶ λύδιον ἅρμα, τὸ ταχύ. ἀφ' οὗ καὶ παροιμία, Ὡς πεζὸς παρὰ λύδιον ἅρμα. καὶ λύδιος τόνος ἐν τῇ μουσικῇ. ἤγουν ὁ νῦν λεγόμενος ἦχος. Λύχνος. λυχνία, καὶ ἕτερα.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγου, ταῦτα. Λοιμὸς, ἡ λοιμικὴ νόσος. ἀπὸ τούτου καὶ λοιμὸς, ὁ λυμεὼν ἀνὴρ καὶ φθορεύς. Λοιγὸς, ὁ ὄλεθρος. ἀφ' οὗ λοίγια ἔργα, τὰ ὀλέθρια. καὶ βροτολοιγὸς Ἄρης. Λοιδίας, ποταμὸς ἐν μακεδονίᾳ. Λοιδορῶ καὶ λοιδοροῦμαι, τὸ αὐτό. ὧν τὸ μὲν πρὸς αἰτιατικὴν ἔχει τὴν σύνταξιν. τὸ δὲ λοιδοροῦμαι, πρὸς δοτικήν. λέγεται τὸ λοιδοροῦμαι καὶ ἐπὶ παθητικῆς σημασίας. Λοιβὴ ἡ δι' ὑγρῶν θυσία. καὶ ἕτερα.

ΚΤΕΙ'ΝΩΝ. Κανόνισον. Κτείνω. καὶ ἡ μετοχὴ ὁ κτείνων.

Τὸ κτει, δίφθογγος. Τίνα ἀπὸ τῆς κτι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Κτίζω. Κτίσης. Κτιστὸν, τὸ ἐκτισμένον, ὥσπερ γνωστὸν, τὸ γνώριμον. ἢ τὸ δύναμιν ἔχον γνωσθῆ-

θῆναι. τὰ γὰρ τοιαῦτα παθητικὰ ὄντα, ἐνίοτε μὲν δυνάμει τὸ πάθος ἔχουσιν. οἷον ὁρατὸν, τὸ δύναμιν ἔχον ὁραθῆναι, κἂν μηδεὶς ἑώρακεν αὐτό. λέγεται δὲ καὶ τὸ ὁρώμενον ὁρατόν. καθ' ὃ λέγεται, ἔτος ὁ κόσμος ὁρατός. καὶ ἀόρατον, τὸ μὴ δύναμιν ἔχον ὁραθῆναι. καὶ τὸ μὴ ὁρώμενον. καὶ τρεπτὸν, τὸ δύναμιν ἔχον τρέπεσθαι. καὶ ἄτρεπτον, τὸ μηδέποτε τρεπόμενον. ἐνίοτε δὲ ἐνεργείᾳ. οἷον Γνωστὸν, τὸ ἐγνωσμένον. καὶ ἀγαπητὸν, τὸ ἀγαπώμενον. καὶ ἔτι τούτων τὰ μὲν ἐπὶ τῶν ἀξίων δέχεσθαι τὸ πάθος λέγεται. οἷον Θαυμαστὸν, τὸ ἄξιον θαυμάζεσθαι. τὰ δὲ ἐπὶ τῶν χρείαν παρεχόντων τοῦ πάθους. οἷον Χριστὸν φάρμακον, ἢ ἔλαιον, ἤ τι τῶν τοιούτων. ὅ ς χρῆταί τις ἐπὶ χρίσει. λέγεται χριστὸν καὶ τὸ διὰ τούτου χριόμενον. χρίεσθαι γὰρ λέγεται καὶ τὸ ἔλαιον, καὶ τὸ διὰ τούτου χριόμενον. Κτίσις, ἡ πρᾶξις τῶν κτιζόντων. ἰδίως δὲ κτίσις, τὰ ὑπὸ τοῦ θεοῦ κτισθέντα πάντα. Κτίλος, ὁ τῶν προβάτων ἡγεμών. ἡγεμονεύει γὰρ τὴν ὁδὸν τοῖς ἄλλοις, ἐπὶ μὲν τῶν προβάτων κριός τις, ὃν οἱ νομεῖς εἰς τοῦτο ἐθίζουσιν. ἐπὶ δὲ τῶν αἰγῶν τράγος. ταῦρος δὲ ἐπὶ τῶν βοῶν. Κτιννύω, τὸ φονεύω. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Κτῆσις. καὶ κτήματα, ἃ κέκτηταί τις. καὶ Κτησείδιον ὑποκοριστικῶς. Κτησίας καὶ Κτησιφῶν, ὀνόματα κύρια. Κτήνη, τὰ βοσκήματα. Κτηνώδης, ὁ βοσκηματώδης. Κτηνοστάσια, ὡς ἱπποστάσια, καὶ βουστάσια. Κτητὸν, τὸ ἐν τοῖς κτήμασι ταττόμενον. ἐπίκτητον δὲ, τὸ ξένον. ἀφ' οὗ ἐπίκτητα, τὰ μὴ φύσει προσόντα τινὶ, ἀλλὰ θέσει.

Κτή-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/258 gefördert von der Deutschen Forschungsgemeinschaft

Κτήσιος ζεὺς, ὡς φίλιος, καὶ ξένιος. ἐλέγετο δὲ οὕτως ὁ ἐν τοῖς ταμείοις ἱδρυμένος. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Κτεὶς, τὸ κτένιον. καὶ κλίνεται κτενός. καὶ Κτείνω, τὸ φονεύω.

Α᾽ΦΕΙΔΩ͂Σ. Ποίου μέρους λόγου ἐστίν; Ε᾽πιῤῥήματος. Πόθεν γίνεται; Α᾽πὸ τοῦ ἀφειδής. τὸ δὲ ἀφειδὴς, ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ φείδομαι.

Τὸ φει, δίφθογγος. Φείδομαι τὸ ἀκριβολογοῦμαι. καὶ ἀπὸ τούτου, τὸ ἐλεῶ. ὁ παθητικῶς ἀεὶ γράφεται. καὶ Πείθω καὶ πείθομαι, ῥήματα βαρύτονα. καὶ Α᾽φειδῶ καὶ Α᾽πειθῶ περισπώμενα. καὶ Η᾽φειδημένος καὶ Η᾽πειθημένος. καὶ Φείδου καὶ Πείθου προστακτικά. καὶ Φειδὼ καὶ πειθὼ, ὀνόματα θηλυκὰ, δίφθογγα. Φιδῶ δὲ καὶ Πιθῶ περισπώμενα. καὶ Πεφιδημένος. καὶ Πεπιθημένος, ι.

Α᾽ΝΟΙΚΤΙ͂. Ποίου μέρους λόγου ἐστίν; Ε᾽πιῤῥήματος.

Τὸ κτι, ι. Τίνα εἰς κτι λήγοντα ἐπιῤῥήματα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Α᾽στενακτί. Α᾽σαλακτί. Α᾽στακτί. Α᾽σκαρδαμυκτὶ, τὸ ὀξέως βλέπειν, καὶ μὴ δειλιῶσιν ὀφθαλμοῖς. Α᾽νοικτὶ, ἀντὶ χωρὶς οἴκτου. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Α᾽κηρυκτεί. καὶ Δακτυλοδεικτεί.

ΧΕΡ-

ΧΕΡΣΙ'Ν. Ἡ εὐθεῖα, ἡ χείρ. καὶ κλίνεται τῆς χειρός. ἔχει δὲ ἐπὶ τῆς παραληγούσης σχεδὸν αὕτη μόνη ἡ δοτικὴ ἐλάττονα χρόνον τῶν ἄλλων πτώσεων.

ΠΕΡΙΠΙ'ΠΤΟΝΤΑΣ. Κανόνισον. Πίπτω, ὃ ποιητικῶς ἐρείπω λέγεται. ἀφ' οὗ τὸ ἤριπεν, ἀντὶ ἔπεσε. καὶ ἡ μετοχὴ ὁ πίπτων τοῦ πίπτοντος. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς πίπτοντας. καὶ μετὰ τῆς περὶ προθέσεως, περιπίπτοντας. γίνεται δὲ ἀπὸ τοῦ πέτω ἀχρήστου, κατὰ πλεονασμὸν τοῦ π, καὶ τροπὴν τοῦ ε εἰς ι. τὸ γὰρ ε ἡνίκα πλεονάσῃ σύμφωνον, τρέπεται εἰς ι. οἷον Ῥέπω, ῥίπτω. Μένω, μίμνω. οὕτως οὖν καὶ τὸ πέτω, πίπτω.

Ἀλέξανδρος ὁ πριαμίδης, ὁ καὶ Πάρις ὠνομασμένος, καὶ ἰδαῖος κεκλημένος, τὴν λάκαιναν Ἑλένην ἡρπακὼς, ἐς ἴλιον ἐπανῄει. ὁ δὲ Ἀτρέδης Μενέλαος ὁ τῆς ἁρημένης ὁμευνέτης, ἐστράτευσεν ἐπὶ τὸν τῆς ἰλίου τόπον μετὰ τοῦ ὁμαίμονος αὐτοῦ Ἀγαμέμνονος· καὶ ταύτην κατασκάψας ἐπανέζευξεν οἴκαδε.

ἸΔΑ'ΙΟΣ, ὁ ἀπὸ τῆς ἴδης, τοῦ παρακειμένου ὄρους τῷ ἰλίῳ, ι καὶ δίφθογγος, καὶ μικρόν. ἡδέως ἐπίρρημα ἀντὶ εὐφραντῶς, η καὶ ψιλὸν, καὶ μέγα. ἥδεος,

δέος, τȣ͂ εὐφραντȣ͂ ἐπὶ γενικῆς τῶν ἑνικῶν. ἡ εὐθεῖα ὁ ἡδὺς, η καὶ ψιλὸν, καὶ μικρόν. εἰ δέος δὲ, δύο μέρη λόγȣ. ει σύνδεσμος. δέος, ὁ φόβος, δίφθογγος καὶ ψιλὸν, καὶ μικρόν.

Ε'ΙΡΗΜΕ'ΝΟΣ. Τὸ ει, δίφθογγος. Εἰρημένος, ὁ λελεγμένος. δίφθογγος καὶ η. καὶ κανονίζεται ὅτως. Εἰρέω εἰρῶ. ὁ μέλλων εἰρήσω, ἄχρηστος. ὁ μέσος δὲ μέλλων ἐν χρήσει. οἷον εἰρήσομαι, καὶ εἰρήσεται. ὁ παρακείμενος εἴρηκα. ὁ παθητικὸς, εἴρημαι. ἡ μετοχὴ, ὁ εἰρημένος Ἡρημένος, ὁ βεβουλημένος, η τὰ δύο. καὶ κανονίζεται ὅτως. Αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω. ȣ͂ τὰ παθητικὰ ἐπὶ τȣ͂ βούλεσθαι λαμβάνεται καὶ προκρίνειν. ὁ μέλλων αἱρήσω. ὁ παρακείμενος ᾕρηκα. ὁ παθητικὸς, ᾕρημαι, ἀντὶ βεβούλημαι καὶ προκέκρικα. ἡ μετοχὴ ὁ ἡρημένος.

Ε'ΣΤΡΑ'ΤΕΥΣΕ. Κανόνισον. Στρατεύω, τὸ στρατιὰν κινῶ. στρατεύομαι δὲ παθητικῶς, ἀντὶ ἐν τοῖς στρατιώταις τάττομαι. ὁ μέλλων στρατεύσω. ὁ Α'όριστος ἐστράτευσα. τὸ δεύτερον, ἐστράτευσας. τὸ τρίτον, ἐστράτευσε.

Ο'ΜΑΙ'ΜΩΝ λέγεται ὁ ἀδελφός. καὶ γίνεται ἀπὸ τȣ͂ ὁμȣ͂, καὶ τὸ αἷμα, τὸ γένος.

Τὸ ο μικρόν. Τίνα ἀπὸ τȣ͂ ο ἀρχόμενα, ἔχοντα ἐπαγόμενον τὸ μ, διὰ τȣ͂ ο μικρȣ͂ γράφεται, καὶ τίνα διὰ τȣ͂ ω μεγάλȣ; Διὰ μὲν τȣ͂ ο μικρȣ͂, ταῦτα. Ο'μαιμος καὶ ὁμαίμων, ὁ ἀδελφός. καὶ γίνεται ἀπὸ τȣ͂ ὁμȣ͂, καὶ τὸ αἷμα, τὸ γένος. Ο'μαρτῶ ποιητικῶς,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/261 gefördert von der Deutschen Forschungsgemeinschaft

τικῶς, τὸ ἀκολουθῶ. Ὄμβρος, ἡ βροχή. ἀφ' οὗ
ἐπομβρία, ὅταν συνεχεῖς ὦσι βροχαὶ καὶ ἐπάλληλοι.
Ὄμβριμον ὕδωρ, τὸ ἀπὸ τῶν ὄμβρων. Ὁμευνέτης
ἐπὶ ἀρσενικοῦ διὰ τοῦ η, καὶ ἐπὶ θηλυκοῦ διὰ τοῦ ι.
Ὁμήλικες, οἱ τῆς αὐτῆς ἐχόμενοι ἡλικίας. ἀφ' οὗ
παρ' Ὁμήρῳ ὁμηλικίη, τὸ πλῆθος τῶν ὁμηλίκων. Ὁ-
μήγυρις, ἡ συνάθροισις. Ὅμηρος, κύριον. Ὅμηρα,
„ τὰ ἐνέχυρα, ὡς παρ' Εὐριπίδῃ, Συλλάβεθ' ὅμηρον
τήνδ' ὅταν στείχῃ πάλιν. ἤγουν ἐνέχυρον. Ὁμηρίδαι
καθόλου μὲν οἱ πρὸς Ὅμηρον ἀφορῶντες, καὶ ἐκεῖνον
μιμούμενοι, καὶ ὡς ἀρχηγῷ καὶ πατρὶ τῆς τῶν λό-
γων τέχνης ἀκολουθοῦντες ἐκείνῳ. ἰδίως δὲ ὁμηρίδαι
ἐλέγοντο γένος ἐν χίῳ, οὓς οἱ μὲν ἀπογόνους φασὶ
τοῦ ποιητοῦ. οἱ δὲ ἀπὸ τῶν ὁμήρων ὠνομᾶσθαι. ἐπεὶ
φασιν αἱ γυναῖκες ποτὲ τῶν χίων παραφρονήσασαι,
εἰς μάχην ἦλθον τοῖς ἀνδράσι. καὶ δόντες ἀλλήλοις
ἐνέχυρα νυμφίους καὶ νύμφας, ἐπαύσαντο. ὧν τοὺς
ἀπογόνους ὁμηρίδας λέγουσιν. Ὄμνυμι, τὸ ὀμνύω
ὀμόσω ἐπὶ μέλλοντος, ἀπὸ θέματος ἀχρήστου. ὃ παρ'
ἀττικοῖς, ὀμοῦμαι λέγεται. καὶ ὀμόσαι ἐπὶ Ἀορίστου.
ἀφ' ὧν ἀντομνύειν, καὶ συνομνύειν καὶ ὑπόμνυσθαι διὰ
τοῦ ο μικροῦ. καὶ ἀντωμοσία, καὶ συνωμοσία, καὶ ὑ-
πωμοσία, διὰ τοῦ ω μεγάλου. Καὶ ἀντωμοσία μὲν
ἐστιν, ὅταν οἱ κατηγοροῦντες καὶ οἱ κατηγορούμενοι
ἀντωμνύουσι, οἱ μὲν ἀληθῆ κατηγορήσειν· οἱ δὲ ἀλη-
θῆ ἀπολογήσασθαι. συνωμοσία δὲ, ὅταν τινὲς ἐπὶ τι-
νι συμφωνήσαντες ὀμνύουσιν. ἡ δὲ ὑπωμοσία, τὸ ὑ-
περτίθεσθαι τινὰ δίκην μεθ' ὅρκου, προφάσει χρώμε-
νον ἀποδημίᾳ, ἢ νόσῳ, ἢ τινὶ τῶν παραπλησίων.
Ὁμοῦ, ἀντὶ ἅμα. καὶ ἐν τῷ αὐτῷ. καὶ ἀντὶ ἐγγύς.
„ ὡς παρὰ Δημοσθένει, Ὁμοῦ δισμύριοι πάντες ἀθη-
ναῖοι.

„ νεῶσι. ϗ παρὰ Μενάνδρῳ, Η῎δη γὰρ ἐςιν τȣ͂ τίκ-
„ τειν ὁμȣ͂. Ο῞μως Σύνδεσμος. Ὁμόσε, ἀντὶ ὀρθὰ ϗ εἰς τὸ αὐτό. Ὁμόθεν, ἀντὶ ἀπὸ τȣ͂ αὐτȣ͂. Ὁμοερκὲς, ἀντὶ ὑφ᾽ ἓν ἕρκος. Ὅμιλος, τὰ συνηθροισμένα τάγματα ἐν πολέμῳ. καὶ ἁπλῶς τὸ συνηθροισμένον εἰς ἓν πλῆθος. καὶ Ὁμιλαδὸν, ἐπίῤῥημα, ὅταν ἀθρόαι αἱ τάξεις ἔρχωνται. Ὁμοθυμαδόν. Ὁμιλῶ, τὸ σύνειμι καὶ συντυγχάνω. καὶ ὁμιλίαι, αἱ συνουσίαι. Ὅμορα, τὰ γειτονοῦντα. Ὁμόγνιος, ὁ ἀδελφός. Ὀμόρξασθαι, καὶ ἐξομόρξασθαι, τὸ ἐκμάξασθαι. Ὄμμα. Ὁμοκλῶ ποιητικῶς, τὸ ἀπειλῶ. Ὁμῶς, ἀντὶ ὁμοίως. Ὁμοῖος, ὁ ὅμοιος. Ὁμόφρων. Ὁμοφροσύνη. Ὁμώνυμος, ὁ ὄνομα μόνον ἔχων τινὶ κοινὸν, ȣ̓μὴν ϗ τὸν ὁρισμὸν, τὸν κατὰ τὸ ὄνομα. Ὄμφη, ἡ θεία φήμη. ἥτις καὶ ὄσσα λέγεται καὶ κληδών. Φήμη δὲ λέγεται μὲν καὶ ἐπὶ τούτων. λέγεται δὲ καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως. Ὁμότροπος. Ὁμόθρονος. Ὁμότροφος. Ὄμφακες, αἱ ἄωροι ςαφυλαὶ, καὶ ἄλλοι καρποί. ὅθεν καὶ ὀμφάκινον λέγομεν ἔλαιον, τὸ ἐκ μήπω πεπείρων τῶν ἐλαιῶν γεγονὸς ϗ ἕτερα.

Διὰ δὲ τȣ͂ ω μεγάλȣ, ταῦτα. Ὠμὸς, ὁ σκληρὸς καὶ ἀπηνής. ὠμότης, ἡ ἀπήνεια. Ὠμὸν, τὸ ἄωρον ἐπὶ καρπῶν, ἢ τοιούτων τινῶν. ᾧ ἐναντίον τὸ
„ ἐν πεπάνσει. ὡς παρ᾽ Ἱπποκράτει, Πέπονα θε-
„ ραπεύειν καὶ κινέειν μὴ ὠμά. ὠμὸν καὶ τὸ μὴ ἑψημένον. ἢ ὠπτημένον. ἀφ᾽ ȣ͂ ὠμηςὴς, ὁ τὰ ὠμὰ ἐσιώμενος. καὶ Ὠμοφάγος. καὶ Ὠμοβόρος. Ὦμος, τὸ ἀπὸ τῆς κεφαλῆς τȣ͂ βραχίονος μέχρι τȣ͂ τραχήλȣ. Ἀκρωμία δὲ, καὶ ὤμȣ κεφαλὴ, τὸ ὑπερέχον τȣ͂ βραχίονος μέχρι τȣ͂ τραχήλȣ. Ὠμοπλάται, τὰ ἐγκεί-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/263 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

μενα τῷ νώτῳ πλατέα ὀςᾶ. Ω'μοκρατὴς, ὁ ἐν τοῖς ὤμοις τὸ κράτος ἔχων. Ω'μίας, ὁ πλατεῖς ὤμες ἔχων. ὠμογέρων, ὁ πρὸ τῦ προσήκοντος χρόνε γεγηρακώς. ἢ ὁ ἁψάμενος τῦ μὲν γήρως, ἐκ ἔτι δὲ ἐπιπολὺ προχωρήσας, ὡς ἐνδοῦναι τὴν ἰχὺν αὐτῦ, κὶ πεπαυθῆναι. Ω'μοβόειος βύρσα. Ω'μόθυμος, ὁ ἀκράτῳ τῷ θυμῷ χρώμενος. Ω"μοι, σχετλιαςικὸν ἐπίῤῥημα. καὶ ἕτερα.

Α'ΓΑΜΕ'ΜΝΟΝΟΣ. Τὸ μνο, μικρόν. Α'γαμέμνονος, καὶ Μέμνονος, μικρά. Μένωνος δὲ, μέγα.

Ε'ΠΑΝΕ'ΖΕΥΞΕ. Κανόνισον. Ζεύγνυμι. ὁ μέλλων ζεύξω. ἀφ' ἑτέρε θέματος ἀρχήσε. ὁ Α'όριςος ἔζευξα. τὸ δεύτερον, ἔζευξας. τὸ τρίτον, ἔζευξε. καὶ μετὰ τῆς ἀνὰ καὶ ἐπὶ προθέσεως, καὶ συγκοπῇ, ἐπανέζευξεν, ἀντὶ ἐπανέςρεψεν.

Εἶχε μὲν ὁ Πριαμίδης Α'λέξανδρος Ἑλένην τὴν ὁμευνέτιν Μενέλεῳ. ἣν ἐκ λακεδαίμονος ἡρπακὼς, ἐπὶ τὴν οἰκέαν αὐτῦ ᾤχετο ἄγων, τὴν ἴλιον καὶ τροίαν κεκλημένην καὶ ὠνομασμένην. ὁ δὲ ταύτης ὁμευνέτης Μενέλαος πλεῖςον ςρατὸν συναγηοχὼς καὶ συνηθροικὼς, κὶ ςόλον ὐ ῥᾳδίως ἀριθμητὸν εἰληφὼς, ἅμα τῷ ὁμαίμονι αὐτῦ Α'γαμέμνονι, ἐπὶ τὸν

ἰλια-

ἰλιακὸν ἐςράτευσε χῶρον. καὶ χρόνον ἐννναετῆ τὴν τροίαν πολιορκήσας, τῷ δεκάτῳ ἔτει κατέσκαψεν. καὶ ὡς ἤδη κατήρειψε, καὶ πρὸς τὴν ἰδίαν πάλιν πατρίδα τὴν ἑαυτοῦ γυναῖκα λαβὼν ἐπανέζευξεν.

ΠΛΕΙ'ΣΤΟΝ. Ἡ εὐθεῖα, ὁ πλεῖςος. Ποίου εἴδους τῶν παραγώγων; ὑπερθετικοῦ.

Τὸ πλει, δίφθογγος. Πλεῖςος. καὶ Πάμπλειςος. καὶ Πλειςάκις ἐπίῤῥημα, δίφθογγος. Ἄπληςος δὲ καὶ Ἀπληςία. καὶ Πλησμονή. καὶ Πλήρης, η.

Καὶ ἄλλως. Τίνα ἀπὸ τῆς πλη συλλαβῆς ἀρχόμενα, διὰ τοῦ η γράφονται, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου, καὶ τίνα διὰ τοῦ ι; Διὰ μὲν τοῦ η, ταῦτα. Πληρῶ, συζυγίας τρίτης τῶν περισπωμένων. Πληρωταὶ, οἱ παρ᾽ ἡμῖν καλούμενοι ἐρανάρχαι. ἤγουν οἱ τὸν ἔρανον ἀποδιδόντες τοῖς λαχοῦσιν. ἢ τοῖς ὠνημένοις. Πλήθουσα ἀγορὰ, ἡ πεπληρωμένη. Πλὴν ἀντὶ χωρίς. ὃ παρὰ μὲν τοῖς κοινοῖς, πρὸς γενικὴν ἀεὶ λέγεται. παρὰ δὲ τοῖς ἀττικοῖς, πρὸς τὴν ἡγησαμένην πτῶσιν. καὶ ἀντὶ ὅμως. Πλήρης, ἐπὶ ἀρσενικοῦ, καὶ ἐπὶ θηλυκοῦ ἡ πλήρης, καὶ οὐδέτερον, τὸ πλῆρες. Πλησίον, ἐπίῤῥημα γενικῇ συντασσόμενον. πλησιάζω δὲ, δοτικῇ. Πλησιαίτερος. Πλήττω. Πλήξω. Πλήξιππος. Πλημμύρα καὶ πλημμυρὶς, ἡ τοῦ ὕδατος ἀνάχυσις εἰς τὴν γῆν. ἄμπωτις δὲ, τὸ ἐναντίον. ἤγουν ἡ

συςολὴ, καὶ οἷον ἀνάπωσις. γίνεται δὲ πλημμυρὶς καὶ ἄμπωτις ἔν τε τῷ ὠκεανῷ, καὶ περὶ τὴν καθ' ἡμᾶς θάλατταν· ἔν τε ταῖς σύρτεσιν ἀμφοτέραις, καὶ ἐν τῷ μυχῷ τοῦ ἀδρίου κόλπου. Πλημμελεῖν, τὸ ἁμαρτάνειν. παρὰ δὲ τοῖς ἀττικοῖς, τὸ ἐξυβρίζειν. Πλησμονή. Πλῆθος. Πληθύς. ὃ κλίνεται πληθύος. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Πλεῖον, τὸ περισσότερον, ἐπὶ συγκριτικοῦ. Πλεῖςον, ἐπὶ ὑπερθετικοῦ, Πλεισθένης, ὄνομα κύριον. Πλειὼν, ὁ χρόνος. καὶ κλίνεται πλειῶνος διὰ τοῦ ω μεγάλου. Πλειόνως δὲ ἐπίρρημα, ἀντὶ περισσοτέρως, μικρὸν καὶ μέγα. Πλειὰς, τὸ κοινῶς ἑξάςερον. Πλεῖν, τὸ μετὰ νεὼς θάλατταν περᾷν, καὶ τὸ πλέον κατὰ συναλοιφὴν ἀττικὴν τοῦ ε καὶ ι καὶ ομικροῦ, εἰς τὴν ει δίφθογγον. ὥσπερ καὶ τὸ δέον, δεῖν παρ' αὐτοῖς. καὶ τὸ δοκέον δοκεῖν. Πλεισηριάζειν, τὸ ὑπερβάλλειν τῇ τιμῇ τῶν πιπρασκομένων. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ι, ταῦτα. Πλίνθος. Πλινθεῖον, ὁ τόπος ἐν ᾧ πλίνθος πλάττεται. Πλινθίον, τὸ τετράγωνον. ὃ παρὰ τοῖς ἀττικοῖς πλέσιον λέγεται. καὶ ἕτερα.

ΣΥΝΑΓΗΟΧΩ'Σ. Κανόνισον. Ἄγω. ὁ μέλλων ἄξω. ὁ παρακείμενος ἦχα, ἄχρηςος. καὶ ἀττικῶς ἄγηχα. καὶ πλεονασμῷ τοῦ ο μικροῦ, τὴν γὰρ τρίτην συλλαβὴν οἱ ἀττικοὶ συνεςαλμένην θέλουσιν ἔχειν, ἀγήοχα. καὶ μετὰ τῆς σὺν προθέσεως, συναγήοχα. ἡ μετοχὴ ὁ συναγηοχώς.

ῬΑΔΙ'ΩΣ. Ἐπίῤῥημα μεσότητος. καὶ γίνεται ἀπὸ τοῦ ῥᾴδιον. ἔστι δὲ τὸ μὲν ῥᾴδιον ὄνομα ἁπλοῦν. καὶ δηλοῖ τὸ εὔκολον. τὸ δὲ ῥᾴων, συγκριτικόν. καὶ δηλοῖ τὸ εὐκολώτερον. τὸ δὲ ῥᾷστον, ὑπερθετικόν. καὶ λαμβάνεται ἀντὶ εὐκολώτατον.

Ἰστέον ὅτι τὸ ῥᾴδιον προσγεγραμμένον ἔχει τὸ ι. καὶ δῆλον ἀπὸ τοῦ παρὰ τοῖς ποιηταῖς ἐκφωνεῖσθαι. ῥηΐδιον γὰρ ἐκεῖνοι λέγουσι, καὶ ῥηιδίως. καὶ ἄλλα πλεῖστα παρὰ τῶν ποιητῶν ἔχει τὶς ἂν οὕτω μαθεῖν ἀκριβῶς, ὅτι προσγεγραμμένον ἔχουσι τὸ ι. οἷον τὸ θρᾷκες, ὅτι θρήϊκες παρ᾽ αὐτοῖς. τὸ λῷον, ὅτι λώϊον τὸ χρῄζω, ὅτι χρηΐζω. τὸ ῥᾷστα, ὅτι ῥαΐστα. τὸ ἀχελῷος, ὅτι ἀχελώϊος. τὸ πατρῷος, ὅτι πατρώϊος. καὶ ἄλλα μυρία.

ἈΡΙΘΜΗΤΟ'Ν. Γένους ἀρσενικοῦ, πτώσεως αἰτιατικῆς τῶν ἑνικῶν. ἡ εὐθεῖα, ὁ ἀριθμητός. ἔστι δὲ ἀριθμητὸς, ὁ δυνάμενος ἀριθμηθῆναι.

Τὸ ρι, ι. Ἀριθμὸς, καὶ Μηνιθμὸς, ι. Βρυχηθμὸς δὲ, ἡ τῶν λεόντων φωνή. καὶ Μυκηθμὸς, ἡ τοῦ βοὸς, η.

Τὸ θμη, η. Τίνα διὰ τοῦ ητος ὀξύτονα, ἢ προπαροξύτονα διὰ τοῦ η γράφεται, καὶ τίνα διὰ τοῦ ι, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ η, ταῦτα. Στυγητὸς, ὁ μίσους ἄξιος. Μισητὸς, τὸ αὐτό. Ἀριθμητός. Μωμητός. καὶ ἐπιμωμητὸς, ὁ ἐ-
» πίψογος. ὡς παρ᾽ Ἡσιόδῳ, Τὴν μὲν καὶ ἐπαινή-
» σειε νοήσας, Ἡ δ᾽ ἐπιμωμητή. Θεητὸς, ὁ θαυμα-

 στός.

ςός. Λαλητός. Εἰσποίητὸς υἱὸς, ὁ θετός. ἤγουν ὃν ȣ γεννήσας τὶς, ἀλλ' ἑλόμενος ἐπὶ τοῖς χρήμασιν ἐποιήσατο. Ἐκποιητὸς δὲ, ὁ δοθεὶς εἰς γένος ἄλλης οἰκίας. Ἀμητὸς ὁ χρόνος ἐν ᾧ ἀμῶσιν. ἤγουν ὁ θερισμὸς, ϗ ὁ καρπὸς ὁ ἀμώμενος. Τρυγητὸς, ὁ χρόνος ἐν ᾧ τρυγῶσι. ϗ Ἀλοητὸς, ἐν ᾧ ἀλοῶσι. ϗ ἁπλῶς ὅσα ἀπὸ τῶν εἰς ω περισπωμένων γίνεται. Θεαίτητος. Θεοδώρητος, ὁ ἐκ θεȣ̃ δωρηθείς. Θεοδώριτος δὲ ὄνομα κύριον, ι. Ἀμώμητος. Ἀςίβητος. Ἀκλόνητος. Ἀφόβητος. ϗ ἕτερα.

Διὰ δὲ τȣ̃ ι, ταῦτα. Ἀμαξιτός. Προϊτός. Προσιτός. ϗ Εὐπρόσιτος. ϗ Ἀπρόσιτος. Ἐπαφρόδιτος. ϗ ἕτερα.

Διὰ δὲ τῆς ε ϗ ι διφθόγγȣ ὅσα παρὰ τὸ κλέος σύγκειται. οἷον Ἡράκλειτος. Πολύκλειτος. Θεόκλειτος. Θεόκλητος δὲ, ὁ ὑπὸ θεȣ̃ κληθεὶς, η. ϗ ἕτερα.

ΧΡΟ'ΝΟΝ. Τὸ χρο, μικρόν. Χρόνος. Χρόνιος, ἐπὶ τȣ̃ βραδέως ποιοῦντος τι. Χρονίζω, τὸ βραδύνω. Χρόα ἐπὶ θηλυκȣ̃, τὸ εἶδος τȣ̃ χρώματος. Χροὸς ἐπὶ γενικῆς. ἡ εὐθεῖα ὁ χροῦς, τὸ σῶμα. Χρόμιος, κύριον. ϗ ἕτερα, διὰ τȣ̃ ο μικρȣ̃ γράφεται. Χρῶμα δὲ κυρίως, τὸ μετὰ τῆς ὕλης. οἷον Ὤχρα. Κιννάβαρι. ϗ Χρωματίζω. ϗ Χρὼς χρωτὸς, τὸ σῶμα. ϗ Χρωννύω, μεγάλα.

Ἔ'ΔΗ, τὰ ἐδάφη. Ἡ εὐθεῖα, τὸ ἕδος, καὶ κλίνεται τȣ̃ ἕδεος, καὶ ἕδους.

Ἐπὶ

Ἐπὶ τῷ ε τί πνεῦμα; Δασεῖαν. ἕδος δασύνεται. ἔδαφος δὲ, ψιλοῦται.

Τὸ ε, ψιλόν. Τίνα ἀπὸ τȣ῀ ε ἀρχόμενα, ἔχοντα ἐπαγόμενον τὸ δ, διὰ τȣ῀ ε ψιλȣ῀ γράφονται, καὶ τίνα διὰ τῆς αι διφθόγγȣ; Διὰ μὲν τȣ῀ ε ψιλȣ῀, ταῦτα. Ἔδνα, τὰ εἰς προῖκα διδόμενα. Εἰδώλια, αἱ καθέδραι τῶν ἐρεσσόντων, Ἐδωλιάσαι, ἀντὶ καθίσαι. Ἔδεσσα, πόλις. ὁ ἀπὸ ταύτης, ἐδεσσηνός. Ἐδὲμ, ὁ παράδεισος. Ἕδος, τὸ ἔδαφος. Ἐδωδὴ, ἡ βρῶσις. Ἐδητὺς, τὸ αὐτὸ ποιητικῶς. Ἐδώδιμον, τὸ βρώσιμον. Ἔδεσμα. Ἐδεστόν. Ἑδράζω. Ἑδραῖος. Ἑδος, ποιητικῶς, ὁ τρώκτης, καὶ φάγος. Ἐδηδοκὼς, ὁ φαγών. Ἔδει, ἀντὶ ἐνεδέχετο, καὶ ἐπέκειτο. Ἔδαφος. κὴ ἕτερα.

Διὰ δὲ τῆς αι διφθόγγȣ, ταῦτα. Αἰδοῦμαι, τὸ ἐντρέπομαι. Αἰδὼς. Αἰδέσιμος, ὁ αἰδοῦς ἄξιος. Αἰδήμων, ὁ εἰδὼς αἰδεῖσθαι. Αἰδεῖος, ὁ αἰδοῦς ἄξιος, ποιητικῶς. Αἰδοῖα, τὰ κρυπτόμενα μόρια τῶν ἀνθρώπων. Αἶδε, ἀντὶ αὗται. κὴ ἕτερα.

ΚΑΤΗ΄ΡΕΙΨΕ. Κανόνισον. Ἐρείπω, ὁ μέλλων ἐρείψω. ὁ Ἀόριστος ἤρειψα. τὸ δεύτερον, ἤρειψας. τὸ τρίτον, ἤρειψε. καὶ μετὰ τῆς κατὰ προθέσεως, καὶ συγκοπῇ, κατήρειψε. Τὸ τη ητα, κατὰ τροπὴν τȣ῀ ε εἰς η.

Τὸ ρει, δίφθογγος. Σήπω. Θήπω, τὸ θαυμάζω. καὶ Ἠπῶ περισπωμένως, τὸ ῥάπτω, η. Λείπω δὲ, τὸ καταλιμπάνω, καὶ ἐρείπω, δίφθογγος. Ἐριπῶ

δὲ ἐπὶ τȣ̃ αὐτȣ̃. καὶ Λίπω, ἀντὶ καταλείψω, ἐπὶ δευτέρȣ Ἀορίςȣ, ι.

ΤΡΟ΄ΙΑ. Τὸ Τροι δίφθογγος, ο καὶ ι. Τίνα διὰ τȣ̃ οια ὀξύτονα, ἢ βαρύτονα θηλυκὰ, διὰ τȣ̃ υ καὶ ι γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγȣ; Διὰ μὲν τȣ̃ υ ψιλȣ̃ καὶ ι ταῦτα. Μητρυιά. Ὀργυιά. Ἀγυιὰ, ἡ ὁδός. Ὠρείθυια. Εἰλήθυιαι, αἱ ἔφοροι τῶν τόκων θεαί. ἃς καὶ ἐλευθοὺς λέγουσι. καὶ αὐτοὶ οἱ τόκοι. ὥσπερ Ἀφροδίτη, ἡ ἔφορος τῶν μίξεων θεὰ, καὶ αὐτὴ ἡ μίξις. Ἄφυια, εἶδος ἰχθύος μικρȣ̃. Μυῖα. καὶ πάντα τὰ θηλυκὰ τῆς μετοχῆς τȣ̃ παρακειμένȣ. οἷον Σεσηρυῖα, ἡ γελῶσα, καὶ ἡ χάσκουσα. Εἰδυῖα, ἡ γινώσκȣσα. Τετυφυῖα. Πεποιηκυῖα. καὶ τὰ ὅμοια.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγȣ, ταῦτα. Ποιὰ, ἡ ποιότητά τινα ἔχουσα. Τροία. Πτοία, ὁ φόβος. Ποία. Ἀλλοία. καὶ ἕτερα.

ΠΑ΄ΛΙΝ. Τὸ λιν, ι. Πάλιν ἐπίῤῥημα, ἀντὶ ἐκ δευτέρȣ. ἢ ἀντὶ εἰς τοὐπίσω, ι. Πάλην τὴν παλαίςραν, η. Πάλλειν δὲ ῥῆμα ἀντὶ κινεῖν, δίφθογγος.

Καὶ ἄλλως. Τίνα εἰς ην λήγοντα ἐπιῤῥήματα, διὰ τȣ̃ η γράφονται, καὶ τίνα διὰ τȣ̃ ι; Διὰ μὲν τȣ̃ η, ταῦτα. Μάτην, ἀντὶ ψευδῶς, ἢ ἀντὶ ματαίως. Χύδην δαπανᾷ τις. ἤγουν πλουσίως. Καταλογάδην λέγει. ἤγουν ἐν πεζῷ λόγῳ. Λογάδην ἀθροίζει. Ἀριςίνδην ἐκλέγει, ὅταν κατὰ τοὺς ἀρίςους ποιεῖται τὴν ἐκλογήν. Πλουτίνδην καταλέγει, ὅταν τοὺς πλουσίους ἀπαριθμῇ. Ἀποτάδην τρέχει, ὅταν ἀποτείνῃ

τὸν

τὸν δρόμον ἐπιπολύ. Ο'ρθοςάδην ἀγωνίζεται. Συςάδην μάχεται. Α'δην ἐσθίει, ἤγουν δαψιλῶς. Κρύϐδην πράττει, ἤγουν ἐ φανερῶς. ᾧ ἐναντίον τὸ ἀναφανδὸν ποιητικῶς. Φοράδην κομίζεται. ἤγουν βαςακτικῶς. Α'γχιςίνδην γαμεῖ. ὅταν εἰς γάμον ἄγηται τὴν ἔγγιςα τȣ̃ γένους. Σποράδην ἵςανται τινες ἤγουν διεσπαρμένως. Συλλήϐδην εἰπεῖν, ἀντὶ συλληπτικῶς. Πρώην, ἀντὶ πρὸ ὀλίγȣ. Α'ρδην, ἀντὶ ἀφανιςικῶς, ἢ μετεώρως καὶ κούφως. Α'ναίδην, ἀντὶ ἀναισχύντως διὰ διφθόγγȣ. καὶ Α'νέδην, ἀντὶ ἀπολελυμένως, διὰ τȣ̃ ε ψιλȣ̃. Διαῤῥήδην, ἀντὶ μεγαλοφώνως καὶ σαφῶς. καὶ ἕτερα.

Διὰ δὲ τȣ̃ ι, ταῦτα. Πρίν. Πάλιν. Ε'μπαλιν, ἀντὶ ἀντιςρόφως. Κατόπιν, ἀντὶ εἰς τοὐπίσω. καὶ ἕτερα.

ΓΥΝΑΊΚΑ. Η' εὐθεῖα, ἡ γυνή. καὶ κλίνεται τῆς γυναικὸς ἑτεροκλίτως. ὡς ἀπὸ τῆς γύναιξ ἀχρήςȣ εὐθείας. ἀκολȣθεῖ δὲ ȣ̓δὲ ταύτῃ κατὰ τὸν τόνον. Η' κλητικὴ, ὦ γύναι, καὶ ἀμφοτέρων τούτων τῶν εὐθειῶν ἐκκλίνασα τὴν ἀκολουθίαν. ȣ̓́τε γὰρ πρὸς τὴν εὔχρηςον ȣ̓́τω λέγεται, ȣ̓́τε τὴν σεσιωπημένην.

Τὸ ναι, δίφθογγος. Καλλίτεξ. Ε'πίτεξ. Πάρεξ. καὶ Ε'ξ ἐπὶ ἀριθμȣ̃, καὶ πρόθεσις. ἥτις καὶ ἐκ λέγεται, ψιλά. Γύναιξ δὲ ὄνομα ἄχρηςον ἐπὶ τῆς εὐθείας, καὶ αἴξ, τὸ αἰγίδιον, δίφθογγα.

Ὁ μὲν Χρύσης μεθ᾽ ὑβρισμῶν σφοδρῶν ἀπεπέμφθη τῷ Ἀγαμέμνονι, τῷ τὴν ἑαυτοῦ θυγατέρα Χρυσηΐδα ζητεῖν. ἣν πολέμου νόμῳ πλήθη Ἀχαιῶν ᾑρήκει, καὶ εἶδος εὖ ἔχουσαν, καὶ κάλλει νικῶσαν ἄλλων φῦλα γυναικῶν, τῷ βασιλεῖ Ἀγαμέμνονι ὡς κάλλιστον σκύλων πολεμικῶν ἐδεδώκει. μὴ λαβὼν δὲ τὸ αἰτεῖν ὁ γέρων, ἀλλ᾽ ἐπιπλέον τῷ ὑβρισθῆναι δηχθεὶς, ἐπηρᾶτο τῷ Ἀπόλλωνι τῷ ἤχει τῶν νηῶν. τουδὶ γὰρ ἱερεὺς ἐχρημάτιζε. καὶ πλείστων αἰλίνων αἴτιος, πλήθει ἑλλήνων ἐγεγόνει.

Ἰστέον ὅτι ἡ δοτικὴ χώραν ἐν τῷ λόγῳ ἔχει, ἢ ὅταν μέρος λόγου κέκτηται, δοτικὴν ἀπαιτοῦν, ὡς ἡ ἐν πρόθεσις. οἷον ἐν λυκείῳ καὶ τὰ παθητικὰ πάντα τῶν ῥημάτων. οἷον Τύπτομαίσοι, ἤγουν ὑπὸ σοῦ. καὶ Μισοῦμαί σοι. καὶ Διώκομαί σοι. καὶ τὰ ἔχοντα τὴν ἐνέργειαν οὐδὲν πλέον ἀπὸ τοῦ ἐνεργοῦντος προσώπου, πρὸς τὸ πάσχον. ἢ ἀπὸ τοῦ πάσχοντος πρὸς τὸ ἐνεργοῦν. οἷον Παλαίωσοι. Μάχομαί σοι. ἢ ὅταν ὡς ὄργανον ἐνεργῇ τι. οἷον Τύπτω τινὰ τῇ ῥάβδῳ. ἤγουν διὰ τῆς ῥάβδου. καὶ Παιδεύω λόγοις. ἤγουν διὰ τῶν λόγων. ἐνίοτε δὲ κεῖται αὕτη αἰτίαν δηλοῦσα. ὡς παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Μῆσοι τὸ εἶναι τῷ δοκεῖν ὑπορρέοι.

ρέοι. ἤγουν διὰ τὸ δοκεῖν. ἢ τὸν λόγον ὁρίζουσα ἔν τινι, ἄδηλον ὄντως ὄντα. οἷον Ὁ αὐτὸς ἐγὼ τῷ φιλεῖν καὶ τῷ θαυμάζειν. ἤγουν κατὰ τὸ φιλεῖν, καὶ κατὰ τὸ θαυμάζειν.

ΦΥ͂ΛΑ τὰ γένη. Ἡ εὐθεῖα τῶν ἑνικῶν, τὸ φῦλον.

Τὸ φυ, ψιλόν. Τίνα ἀπὸ τῆς φυ συλλαβῆς ἀρχόμενα, διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ υ ψιλοῦ, ταῦτα. Φυὴ, ἡ τῶν μελῶν ἀναδρομή. Φυγή. Φύζα ποιητικῶς, τὸ αὐτό. καὶ Φύξις. Φυγὰς, κυρίως μὲν ὁ „ ἀποδιωχθεὶς τῆς πατρίδος. καταχρηστικῶς δὲ λέγεται, καὶ ὅταν τὶς ἑκὼν φύγῃ. ὡς παρὰ τῷ Σοφοκλεῖ, Φυγὰς ἀπεξενοῦτο. ἤγουν φυγών. Φυγαδεύω, τὸ διώκω. Φυγαδεία. Φυζακινὸς ἔλαφος. ἤγουν δειλή. Φύσιγγες, τὰ ἐν ταῖς κνήμαις ἐκκαύματα. Φῦλον, τὸ γένος δι᾽ ἑνὸς λ, καὶ προπερισπώμενον. Φύλλον δὲ, τὸ τῶν φυτῶν, ὃ καὶ πέταλον λέγεται, διὰ δύο λλ καὶ παροξύτονον. Φυλλὰς τὸ αὐτό. ἀφ᾽ οὗ ἐπιφυλλίδες, τὰ ἐν ταῖς κορυφαῖς τῶν κλημάτων μικρὰ καὶ ἄωρα τῶν σταφυλῶν. Φύκος, τὸ φυκάριον. Φύσεις, αἱ τῶν εἰδῶν ἐναλλαγαί. Φύτλη, τὸ αὐτὸ ποιητικῶς. Φυσῶ. καὶ πεφυσημένος ἀσκός. ἀπὸ τούτου καὶ φυσᾷν, τὸ ἐπαίρεσθαι. Φῦμα. Φυλὴ, ἡ γενεά. Φυλέτης, ἐλέγετο παρ᾽ ἀττικοῖς ἰδίως φυλὴ, δῆμος φυλῆς τῆς οἰνηΐδος. τινὲς δὲ τόπον αὐτὸν εἶναι νομίζουσιν. ἄλλοι δὲ φρούριον. Φύλαρχος, ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ. Φυτὸν, ὃ διαιρεῖται εἰς τρία, εἰς βοτάνην,

νην, δένδρον, καὶ θάμνον. Φυτὼν, ὁ περιέχων φυτὰ τόπος. Φυτηκόμος, ὁ τῶν φυτῶν ἐπιμελούμενος. Φυτοσπόρος, ὁ πατήρ. Φύσσα, ἡ μήτηρ. Φύκια, τὰ πλατέα καὶ ἁπαλὰ, τὰ ἐπὶ τῷ αἰγιαλῷ κείμενα. Βρύα δὲ, βοτάναι τινὲς ἐν πετρώδεσι τόποις τῆς θαλάσσης φυόμεναι. Φύρδην, ἀντὶ συγκεχυμένως. Φύρω, τὸ ἀναμιγνύω. Φυράω δὲ φυρῶ, ἐπὶ ζύμης. ἀφ' ὗ φύραμα ἡ ζύμη. Φύσκη, ἡ κοινῶς φοῦσκα. Φυτάλμιος ζεὺς, ὁ τὰ φυτὰ ποιῶν ἄλεσθαι. Φύω, τὸ ἀναβλαςάνω. καὶ τὸ γεννῶ. ἀφ' ὗ φυσίζωος, ἡ τὴν ζωὴν τεξαμένη. Φύλοπις, ἡ μάχη ποιητικῶς. Φυλακὴ, τὸ δεσμωτήριον, καὶ οἱ φυλάσσοντες αὐτό. ἃ παρὰ ῥωμαίοις κουςωδία λέγεται. Φυλακὴ ἁπλῶς καὶ ἡ ἀσφάλεια, καὶ ἡ καλουμένη νῆψις. ἤγουν ὅταν ὁ νοῦς ἀπὸ τῶν ἄλλων χολάσας, μόνος μόνῳ τῷ θεῷ διαλέγοιτο. Φύλαξ. καὶ κλίνεται φύλακος. Φυλακίτης. καὶ ἕτερα.

Διὰ δὲ τῆς ο καὶ ι διφθόγγου, ταῦτα. Φοῖβος, ἐπίθετον τοῦ Ἀπόλλωνος, ἀπὸ τοῦ φῶς παραγόμενον. ἀφ' ὗ φοιβάζειν, τὸ χρησμοὺς διδόναι. Φοίβη, κύριον. Φοινίκη, ἡ συρία. Φοίνιξ, ὁ ἀπὸ ταύτης. Φοινίκια γράμματα, οἷς χρῶνται οἱ σύροι. Φοίνιξ, καὶ ὄνομα κύριον, καὶ ὄνομα δένδρου. καὶ ὄρνεόν τι μοναδικόν. Φοινικοῦν χρῶμα, τὸ κόκκινον. Φοινίσσω, τὸ κοκκίνῳ βάπτω. Φοιτῶ, τὸ συχνῶς ἐπί τι πορεύομαι, καὶ τὸ μαίνομαι. Φοῖτος, ἡ μανία. Φοιτάλμιος Ποσειδῶν, ὁ ἐν τῇ ἅλμῃ φοιτῶν. Φοιτητὴς, ὁ μαθητὴς, καὶ συμφοιτητὴς ὁ συμμαθητής. Φοινικὶς, ἔνδυμα λακωνικὸν, ᾧ ἐχρῶντο μάλιςα ὅτε εἰς πόλεμον ἴοιεν, διὰ τὸ ὁμοχροεῖν τῷ αἵματι. καὶ ἕτερα.

ΚΑΛ-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/274 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

ΚΑΛΛΙΣΤΕΙ΄ΟΝ. Τὸ ϛει, δίφθογγος. Τὰ ἀπὸ τῶν διὰ τȢ͂ ευω ῥημάτων διὰ τȢ͂ ειον γινόμενα ȣ̓δέτερα, διὰ τῆς ει διφθόγγȣ γράφεται. οἷον Πρωτεύω, πρωτεῖον. Δευτερεύω, δευτερεῖον. Ι῾ερεύω, ἱερεῖον. Α᾽ριϛεύω, ἀριϛεῖον. Βραβεύω, βραβεῖον. Καλλιϛεύω, καλλιϛεῖον. καὶ τὰ ὅμοια.

ΣΚΥ΄ΛΑ λέγεται τὰ κοινῶς κοῦρσα.

Τὸ σκυ, ψιλόν. Τίνα ἀπὸ τῆς σκυ συλλαβῆς ἀρχόμενα, διὰ τȢ͂ υ ψιλȢ͂ γράφονται; Ταῦτα. Σκύτος, τὸ δέρμα. Σκύτινος, ὁ δερμάτινος. Σκυτοτόμος παρ᾽ ἀττικοῖς, ὁ σκυτεύς. ἤγουν ὁ κοινῶς τζαγκάριος. Σκυτοδέψης, τὸ αὐτό. σκυτάλη, ἡ ἀπομάκτρα. ἣν οἱ κοινοὶ, ῥίγλαν λέγουσι. καὶ ἡ ϛάθμη. ἣν κ̓ πῆχυν λέγουσι. Σκύφος, ποτηρίȣ εἶδος. Σκύταλοι, οἱ εὐτελεῖς κ̓ πονηροί. Σκύμνοι, τὰ ἔκγονα τῶν λεόντων. Σκύλακες, τὰ τῶν κυνῶν. λέγονται δὲ ταῦτα, καὶ ἐφ᾽ ὧν ȣ̓κ ἔϛιν ἴδιον ὄνομα. Σκύθης, ἐθνικόν. Σκῦλον, τὸ κοινῶς κοῦρσον. Σκύζεσθαι, τὸ παρὰ τοῖς ποιηταῖς χάεσθαι. ἤγουν τὸ ὀργίζεσθαι μετὰ ἀγανακτήσεως ἀμυντικῆς. Σκυθικαὶ, εἶδος ὑποδήματος, σκυθῶν εὕρημα. ὥσπερ αἱ ἀργεῖαι, ἀργείων. καὶ αἱ λακωνικαὶ, λακώνων. καὶ αἱ ἀμυκλάδες, ἐξ ἀμυκλῶν. καὶ ἡ καρπατίνη, ἀπὸ καρῶν. καὶ θετταλὶς, ἀπὸ θετταλῶν. Σκύλω, τὸ ἕλκω, καὶ ὀχλῶ. κ̓ ἕτερα.

Ε᾽ΠΗΡΑ΄ΤΟ. Τὸ πη, η. Ε᾽πηρᾶτο, ἀντὶ ηὔχετο, ψιλὸν καὶ η, κ̓ μικρόν. καὶ κανονίζεται ȣ῞τως. ἀράω ἀρῶ, ἄχρησον, κ̓ πάντα τὰ ἐνεργητικά. καὶ τὸ παθητικὸν, ἀράομαι ἀρῶμαι, τὸ εὔχομαι. Καὶ ὁ

πα-

παρατατικὸς, ἠραόμην ἠρώμην. τὸ δεύτερον, ἠράου ἠρῶ. τὸ τρίτον, ἠράετο ἠρᾶτο καὶ μετὰ τῆς ἐπὶ προθέσεως, καὶ συγκοπῇ, ἐπηρᾶτο. Ἐπειρᾶτο, ἀντὶ ἀπόπειραν ἐποιεῖτο, ψιλὸν, δίφθογγος, καὶ μικρόν. καὶ κανονίζεται οὕτω. Πειράω πειρῶ. ὃ δηλοῖ τὸ κοινῶς συνεύω. καὶ πάντα δὲ τὰ ἐνεργητικὰ αὐτοῦ τοῦτο δηλοῦσι. καὶ τὸ παθητικὸν, πειράομαι πειρῶμαι. καὶ ὁ παρατατικὸς, ἐπειραόμην ἐπειρώμην. τὸ δεύτερον, ἐπειράου ἐπειρῶ. τὸ τρίτον, ἐπειράετο, ἐπειρᾶτο. ἐπηράτῳ δὲ ἐπὶ δοτικῆς τῶν ἑνικῶν ποιητικῶς, ἤγουν ἐπεράστῳ, ψιλὸν, καὶ η, καὶ μέγα. καὶ ἔστιν ἡ εὐθεῖα ὁ ἐπήρατος.

Εἰπόντος καὶ εἰρηκότος τοῦ μάντεως, ὅτι διὰ τὸν προπηλακισμὸν τοῦ ἱερέως ὁ λοιμὸς τοῖς Ἀχαιοῖς ἐπεσέφρησε, καὶ τοῦ αἰακίδου Ἀχιλλέως τὸν θεὸν κελεύσαντος ἐξιλάσκεσθαι, ὠργίσθη ὁ πελοπίδης Ἀγαμέμνων, καὶ διηνέχθη πρὸς τὸν Ἀχιλλέα, καὶ αὐτοῦ τὸ γέρας ἀφείλετο τὴν Βρισηΐδα. ὁ δὲ λυπῶν πληροῦται, καὶ ὀργῇ καὶ μήνιδι βαρέᾳ, ὡς εἰκὸς, κατέχεται, καὶ τῆς συμμαχίας τῶν ἑλλήνων ἀφίσταται.

ΕἸΠΌΝΤΟΣ. Ποίε μέρους λόγε ἐςί; Μετοχῆς. Κανόνισον. Εἴπω, τὸ λέγω, ἄχρηςον. ὁ δεύτερος Αὄριςος εἶπον, ἐν χρήσει. ἡ μετοχὴ ὁ εἰπών. καὶ κλίνεται τε εἰπόντος.

ἘΠΕΙΣΈΦΡΗΣΕ. Κανόνισον. Φράω Φρῶ. ὃ γίνεται ἀπὸ τε προΐω κατὰ συγκοπήν. ὁ μέλλων Φρήσω. ὃ μετὰ τῆς προθέσεως ἀεὶ γράφεται. οἷον Εἰς Φρήσω. ὁ Αὄριςος εἰσέφρησα. τὸ δεύτερον, εἰσέφρησας. τὸ τρίτον, εἰσέφρησε. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, καὶ συγκοπῇ, ἐπεισέφρησε. δηλοῖ δὲ τὸ μετὰ σπουδῆς ἐπεισῆλθεν.

ἘΞΙΛΆΣΚΕΣΘΑΙ. Κανόνισον. Ἱλάσκομαι. τὰ γὰρ ἐνεργητικὰ αὐτε ἄχρηςα. καὶ μετὰ τῆς ἐξ προθέσεως, ἐξιλάσκομαι. τὸ δεύτερον, ἐξιλάσκῃ. τὸ τρίτον, ἐξιλάσκεται. καὶ τὸ ἀπαρέμφατον, ἐξιλάσκεσθαι. Γίνεται δὲ τὸ ἱλάσκομαι, ἀπὸ τε ἱλάω, ἱλῶ, ἀχρήςε. ἀφ᾽ ὃ τὸ ἐξιλάσομαι. καὶ ἐξιλασάμην. ὁ μέλλων ἱλάσω καὶ πλεονασμῷ τε κ, ἱλάσκω. καὶ τὸ παθητικὸν, ἱλάσκομαι.

Τὸ ι, ι. Ἵλεῶ, τὸ ἐξευμενίζω. καὶ ἐξιλεοῦμαι. καὶ ἐξιλεωσάμην. καὶ ἱλάσκομαι τὸ αὐτό. καὶ ἐξιλάσκομαι, καὶ ἐξιλασάμην, καὶ ἱλαςήριον, ἔνθα ἐξιλασκόμεθα τὸν θεόν. καὶ ἱλασμὸς, ἀπὸ τε ἱλάσκομαι. ὡς ἀπὸ τε ἀσπάζομαι, ἀσπασμός. ἤγουν ἡ πρᾶξις τῶν ἐξιλασκομένων, τουτέςιν ἡ παράκλησις, ἢ ἡ θυσία ἡ τὸν θεὸν ἐξιλεουμένη. καὶ ἐξίλασμα ὁμοίως, ἡ γινομένη θυσία ἐπὶ τῷ ἐξιλεώσασθαι τὸν θεόν. καὶ ἱλάσιμος πρόνοια. ἤγουν ἡ ἐπιδεχομένη τὸ ἐξιλάσκεσθαι.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/277 gefördert von der Deutschen Forschungsgemeinschaft

θαι. καὶ Ἱλαρύνω, τὸ πραΰνω. καὶ ἱλαρίων, κύριον. καὶ ἱλαρὸς, ὁ πρᾶος, ι.

Ἠλάσκω δὲ, τὸ πλανῶμαι καὶ ἐνδιατρίβω. ὡς παρ' Ὁμήρῳ, Κατὰ σκότον ἠλάσκουσιν, η.

ΩʼΡΓΙ'ΣΘΗ. Κανόνισον. Ὀργίζομαι. τὰ γὰρ ἐνεργητικὰ αὐτοῦ ἄχρηστα. ὁ παθητικὸς παρακείμενος, ὤργισμαι. ὁ Ἀόριστος ὠργίσθην. τὸ δεύτερον, ὠργίσθης. τὸ τρίτον, ὠργίσθη. τὸ ωρ, μέγα. ἐκ τῆς αὐξήσεως τοῦ Παρακειμένου.

ἈΦΕ'ΙΛΕΤΟ. Τὸ θέμα, ἕλω, ἄχρηστον. ὁ μέλλων ἑλῶ. ἀντὶ καταλήψομαι, ἢ φονεύσω. ὁ δεύτερος Ἀόριστος εἷλον. ὁ μέσος εἱλόμην. τὸ δεύτερον, εἵλου. τὸ τρίτον, εἵλετο. καὶ μετὰ τῆς ἀπὸ προθέσεως καὶ συγκοπῇ, καὶ τροπῇ τοῦ π, εἰς φ, ἀφείλετο.

ΒΡΙΣΗΙ'̈Σ, ἡ τοῦ Βρισέως θυγάτηρ. Ποίου εἴδους τῶν παραγώγων; Πατρωνυμικοῦ.

Τὸ βρι, ι. Τίνα ἀπὸ τῆς βρι συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφονται; Ταῦτα. Βρίθω, ἀντὶ βαρύς εἰμι. ἀφ' οὗ βριθοσύνη. καὶ βριθής. καὶ ἐμβριθής. Βρισεὺς κύριον. Βρισηῒς, ἡ τούτου θυγάτηρ. ἤγουν τοῦ Βρισέως. Βριάρεως, παρ' ἕλλησιν ὄνομα δαίμονος. Βρία, ἡ πόλις κατὰ διάλεκτον. ἀφ' οὗ συλυμβρία. καὶ ἕτερα.

Τὸ ση, η. καὶ τὸ ις, ι. Τίνα διὰ τοῦ ηις ὀξύτονα θηλυκὰ, διὰ τοῦ η καὶ ι γράφονται; Ταῦτα.

Βρι-

Βρισηὶς, ἡ τȣ̃ Βρισέως θυγάτηρ. Χρυσηὶς, ἡ τȣ̃ Χρύσȣ. Νηρηὶς, ἡ τȣ̃ Νηρέως. Ληὶς, ἡ λαφυραγωγία. Νηὶς, ἡ λιμναία νύμφη. Ε'χενηὶς, εἶδος ἰχθύος, ὃν ϗ ναυκράτην λέγουσιν. ὠνομάσθη δὲ ἔτως ἀπὸ τῆς ἐνεργείας. ἐπέχει γὰρ τῆς κινήσεως τὴν ναῦν, δακοῦσα αὐτὴν, ἔνθα τέμνει τὸ κῦμα, ϗ ἀντερεισαμένη. Κισσηὶς, ἡ τȣ̃ Κισσέως θυγάτηρ. ϗ ἕτερα.

ΛΥΠΩ'Ν. Ἡ εὐθεῖα, ἡ λύπη. καὶ κλίνεται τῆς λύπης. ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν λυπῶν.

Τὸ λυ, ψιλόν. Λυπῶν, τῶν θλίψεων, ψιλὸν καὶ μέγα. λοιπῶν τῶν ὑπολελειμμένων ἐπὶ γενικῆς τῶν πληθυντικῶν, δίφθογγος ο ϗ ι, ϗ μέγα. λοιπὸν δὲ, τὸ ὑπόλοιπον, καὶ λοιπὸν, ἀντὶ διὰ τοῦτο, δίφθογγος ο καὶ ι, ϗ μικρόν.

ΠΛΗΡΟΥ͂ΤΑΙ. Τὸ θέμα, πληρόω πληρῶ. Πόθεν γίνεται; Ἀπὸ τȣ̃ πλήρης.

Τὸ πλη, η. Τίνα διὰ τȣ̃ ηρης ὀνόματα, διὰ τȣ̃ η γράφονται; Ταῦτα. Διήρης. Τριήρης. Πενθήρης. Τειχήρης, ὁ ἐντὸς τείχους. Ξιφήρης, ὁ ξίφος κατέχων. Θυμήρης, ὁ ἀρεστὸς τῇ ψυχῇ. Κλινήρης, ὁ ὑπὸ κλίνης αἰρόμενος. Χαλκήρης. καὶ χαλκήρεα δούρατα παρ' Ὁμήρῳ, τὰ ἐκ χαλκȣ̃ κατεσκευασμένα. ϗ ἕτερα. Ἶρις δὲ, τὸ ἐν ἀέρι γινόμενον ἐκ τῆς ἀντανακλάσεως τȣ̃ ἡλίȣ τόξον. ἣν Ὅμηρος ἄγγελον ποιεῖ τȣ̃ διός. καὶ ἀπὸ τȣ̃ εἴρειν τὸ λέγειν δοκεῖ παράγειν. ὡς καὶ τὸν Ἶρον, ὃν αὐτὸς ἐξηγούμενος λέ-

„ γει, Οὕνεκ' ἀπαγγέλετκε κιὼν, ὅτε πε τὶς ἀνώγοι. καὶ κίσσιρις. βέσιρις, καὶ ὄσιρις ὀνόματα θεῶν. καὶ κολόσιρις, καὶ πευῖσιρις, ὀνόματα ὀρνέων, ι τὰ δύο. καὶ τὸ ἐπὶ τῆς ληγούσης, καὶ τὸ ἐπὶ τῆς παραληγούσης.

ΒΑΡΕΙ΄Α. Ἡ εὐθεῖα, ἡ βαρεῖα. τὸ ρει διὰ διφθόγγου. Τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν διὰ τοῦ υ ψιλοῦ γραφομένων διὰ τοῦ εια γινόμενα θηλυκὰ, διὰ τῆς ει διφθόγγου γράφονται. οἷον Ὀξὺς, ὀξεῖα. Βαρὺς, βαρεῖα. Δασὺς, δασεῖα. Ὠκὺς, ὠκεῖα. Ταχὺς, ταχεῖα. Γλυκὺς, γλυκεῖα. Ἡδὺς, ἡδεῖα. Ἀμβλὺς, ἀμβλεῖα. Δριμὺς, δριμεῖα. καὶ ἕτερα.

ΕἸΚΟ΄Σ, τὸ ἐνδεχόμενον, ἀπὸ τοῦ εἴκω. τούτου γὰρ ὁ μέλλων εἴξω. ὁ παρακείμενος εἶχα, ἄχρηστος. ὁ μέσος εἶκα. ἡ μετοχὴ ὁ εἰκώς. τὸ οὐδέτερον, τὸ εἰκός. ἀφ' οὗ τὸ παρεικὼς, ἀντὶ ἐνδεδωκώς. καὶ ὅπη παρείκοι ἀντὶ συγχωροίη, καὶ ἐνδιδοίη. λαμβάνεται εἰκὸς καὶ ἀντὶ εἰκότως. λέγεται καὶ ὡς τὸ εἰκός. ἤγουν ὡς εἰκάσαι. καὶ ὡς τὸ ἐνδεχόμενον στοχάζεσθαι δίδωσι.

Τὸ ει, δίφθογγος, καὶ τὸ κος, μικρόν. Εἰκός. ἀπεικός. καὶ παρεικὸς, ἐπὶ οὐδετέρου, δίφθογγος, καὶ μικρόν. εἰκότως δὲ καὶ ἀπεικότως καὶ παρεικότως, δίφθογγος, μικρὸν καὶ μέγα ἠκὼς, ὁ ἐλθὼν ἢ κῶς δὲ, δύο μέρη λόγου. ἢ, ἄρθρον. κῶς, ὄνομα νήσου, η καὶ ὠμέγα. Ἰκὸς δὲ, τοῦ σκώληκος. καὶ Ἴκκὸς, κύριον διὰ δύο κκ. ὃς ἦν ἀπὸ τάραντος, ι καὶ ὀμικρόν.

Ὁ Ἀτρείδης Ἀγαμέμνων τὸν τῆς Χρυσηΐδος ἔρωτα, τῶν στεμμάτων τοῦ Ἀπόλλωνος προτιμότερον ἡγησάμενος, καὶ τῷ πατρὶ Χρύσῃ τὴν εἰρημένην παῖδα μὴ ἀποδοὺς, λοιμώδους ἀῤῥωστίας τοῖς Ἀχαιοῖς καθίστασθαι αἴτιος. ἣν ὀργισθεὶς ὁ Λητοΐδης ἐπήνεγκε, καὶ τῆς στρατιᾶς τὸ πλεῖστον διέφθειρεν.

Ε'ΡΩΣ, ἀττικῶς μὲν διὰ τοῦ ω μεγάλου γράφεται, καὶ κλίνεται ἔρωτος, παρὰ δὲ τοῖς ἴωσι διὰ τοῦ „ ο μικροῦ. ὡς παρὰ Σοφοκλεῖ, Δόλος ἦν ὁ Φράσας, ἔρος ὁ κτείνας. ἀφ' οὗ καὶ τὸν ἔρον φαμέν. γίνεται δὲ παρὰ τὸ ἐράω ἐρῶ, τὸ ἐπιθυμῶ. ὃ ποιητικῶς ἔραμαι λέγεται.ο

ΣΤΕΜΜΑ'ΤΩΝ. Ἡ εὐθεῖα, τὸ στέμμα. ὃ γίνεται ἀπὸ τοῦ ἔστεμμαι παθητικοῦ παρακειμένου, οὗ τὸ θέμα στέφω.

Τὸ στε, ψιλόν. Τίνα ἀπὸ τῆς στε συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ε ψιλοῦ γράφονται, καὶ τίνα διὰ τῆς αι διφθόγγου; Διὰ μὲν τοῦ ε ψιλοῦ, ταῦτα. Στέφω, τὸ κοσμῶ. ἀφ' οὗ ἐπέστεφεν, ἀντὶ ἀνετίθει. καὶ περιστέφειν, ἐπὶ τοῦ κυκλοτεροῦς κόσμου. καὶ στέφος. καὶ στέμμα. Στεφηφόρος. Στέφανος, ὁ τῇ κεφαλῇ περι-

τιθέμενος. ἀφ' οὗ στεφανίτης, ὁ ἐστεφανωμένος. καὶ στεφανοῦν, τὸ στεφάνῳ τιμᾷν. καὶ παρὰ Δημοσθένει, Στεφανῶν τοὺς νενικηκότας, ἀντὶ ἁπλῶς τιμῶν. Στεφανηφόρος, ὁ στέφανον ἐπιφερόμενος, καὶ ὄνομα κύριον, οὗ καὶ ἡρῷόν, φασιν ἐν Ἀθήναις, ἦν. Στέντωρ, ἀνὴρ οὗτος ἱστορεῖται μεγαλόφωνος. ἀφ' οὗ στεντόρειος φωνή. Στερίφη, ἡ στεῖρα. Στενωπὸς, ἡ κοινῶς ῥύμη. Στενοχωρῶ. στενοχωρία. Στεροπὴ ποιητικῶς, ἡ ἀστραπή. Στεῤῥός. Στερεός. Στερεόω, στερεῶ. Στερῶ. στεροῦμαι. στέρησις. Στερίσκω. Στέαρ, τὸ λίπος. Στέρνον, τὸ στῆθος. Στεγανὸν, τὸ στερεόν. Στέγω, τὸ καρτερῶ, καὶ βαστάζω. Στέμφυλα, τὰ κοινῶς στρέμφυλα. ἤγουν τὰ τῶν ἐλαιῶν ἀποπιέσματα, καὶ τὰ τῶν βοτρύων ἀποπλύσματα. Στέλεχος, ὁ κλάδος. Στέργειν, κυρίως ἐπὶ τοῦ φυσικοῦ φίλτρου, καὶ μὴ ῥᾳδίως καταλυομένου. ἀφ' οὗ στοργὴ, καὶ φιλοστοργία, ἐπὶ πατέρων, καὶ μητέρων, καὶ παίδων. ἀπὸ τούτου κατὰ μεταφορὰν. καὶ στέργειν, καὶ τὸ ἁπλῶς ἀσπάζεσθαι, καὶ ἐμμένειν. συντάσσεται δὲ τοῦτο ἐνίοτε μὲν δοτικῇ· ἐνίοτε δὲ αἰτιατικῇ. Στέλλω, τὸ κοσμῶ. Στέλλεσθαι δὲ παθητικῶς, ἐπὶ τῆς κατὰ θάλατταν πορείας. οἷον Ἐστείλατό τις τόνδε τὸν πλοῦν. καὶ ἕτερα.

Διὰ δὲ τῆς αι διφθόγγου, ταῦτα. Σταὶς, τὸ ἄλευρον. καὶ κλίνεται σταιτός. ἀφ' οὗ σταιτίτης ἄρτος. καὶ σταίην εὐκτικόν.

ἩΓΗΣΑ´ΜΕΝΟΣ. Κανόνισον. Ἡγοῦμαι. τὰ γὰρ ἐνεργητικὰ αὐτοῦ ἄχρηστα. ὁ μέλλων ἡγήσομαι· ὁ Ἀόριστος ἡγησάμην. ἡ μετοχὴ ὁ ἡγησάμενος. δηλοῖ δὲ

τὸ ἡγεῖϑαι τρία, τὸ ἄρχειν ποιηλικῶς, τὸ νομίζειν. καὶ τὸ ὁδηγεῖν, ἢ προοδοποιεῖν. ὧν τὸ μὲν πρῶτον γενικῇ συντάσσεται· τὸ δὲ δεύτερον, ἀπαρεμφάτῳ. τὸ δὲ τρίτον ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύνταξιν. οἷον Ἡγοῦμαί σοι τὴν πηγήν.

Α'ΠΟΔΟΥ'Σ, ἀντὶ ἀποδεδωκὼς τὸ ὀφειλόμενον. μικρόν. καὶ κανονίζεται οὕτω. δίδωμι. ὁ μέλλων δώσω ὁ δεύτερος Ἀόριστος ἔδων. ἡ μετοχὴ ὁ δούς. καὶ μετα, τῆς ἀπὸ προθέσεως, ἀποδούς. Ἀπῳδοὺς δὲ, τοὺς ἀναρμόστους καὶ ἀπᾴδοντας, μέγα. ἢ ἔστιν ἡ εὐθεῖα, ὁ ἀπῳδός.

Α'Ρ'Ρ'ΩΣΤΙ'ΑΣ. Ἡ εὐθεῖα, ἡ ἀῤῥωσία. Πόθεν γίνεται; Ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ῥῶσις, ἡ ὑγεία. ῥῶσις δὲ ἀπὸ τοῦ ἐῤῥῶσθαι, τὸ ὑγιαίνειν.

Τὸ ρω, μέγα. Τὰ ἀπὸ τῆς ρω συλλαβῆς ἀρχόμενα, τὰ μὲν διὰ τοῦ ο μικροῦ γράφονται, τὰ δὲ διὰ τοῦ ω μεγάλου. Καὶ διὰ μὲν τοῦ ο μικροῦ, ταῦτα. Ῥοβοὰμ, κύριον. Ῥόδον, τὸ κοινῶς τριακοντάφυλλον. Ῥοδωνιὰ, ἡ τῶν ῥόδων φυτεία. ὥσπερ ἰωνιὰ, ἡ τῶν ἴων. Ῥόδος, νῆσος. ὁ ἀπὸ ταύτης, ῥόδιος. Ῥόθος, ὁ ἐκ τῶν κωπῶν ἀκουόμενος κτύπος, ὅταν σφοδρῶς ἐλαύνωσιν. ἀφ' οὗ ῥόθιον, τὸ κῦμα. Ῥοδογούνη, κύριον. ἥ τις γυνὴ μὲν ἦν Ὑστάσπου, Ξέρξου δὲ ἢ Δαρείου μήτηρ. Ῥόα παρ' ἀττικοῖς, ἡ κοινῶς ῥοΐδεα. ἔνιοι δὲ ῥόαν μὲν λέγουσι τὸν καρπόν· ῥοιὰν δὲ, τὸ δένδρον. Ῥομφαία, ἡ σπάθη. Ῥόπαλον, ἀμυντήριον ξύλινον, ἐκ κεφαλῆς ῥοπὴν ἔχον. ἤγουν βάρος. ὃ καὶ κορύνη λέγεται. Ῥοὴ, ἡ φθορὰ, καὶ ἡ ῥεῦσις. Ῥο-

φῶ, τὸ πίνω. ἐκροφῶ δὲ, ὅταν ἀπλήςως πίνω. καὶ ἐκ ἐῶ τι, τοῦ πινομένου. Ῥοΐσκοι, τὰ τοῦ ἱερατικοῦ ὠμοφόρου ἄκρα. Ῥόπτρον, τὸ τὴν θύραν ἐπικροῦον. καὶ ὁ ἐν ταῖς μείζοσι πάγαις, πάτταλος καὶ ὁ κρίκος. ὡς „ παρὰ Λυσίᾳ, Ε῎δησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱε„ ροῦ. ἤγουν τοῦ κρίκου. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ω μεγάλου, ταῦτα. Ῥῶμος καὶ Ῥωμύλος, ὀνόματα κύρια. ὑφ᾽ ὧν ἡ ῥώμη ἐκτίσθη. Ῥωμαῖοι, οἱ ἀπὸ τῆς ῥώμης. Ῥωμανὸς, κύριον. Ῥώμη, ἡ δύναμις. Ῥωμαλέος, ὁ ἰσχυρός. Ῥωννύω, καὶ ῥώννυμι, τὸ ἐνδυναμῶ. Ῥὼψ, ὁ δρυΐνος θάμνος. ἤγουν τὸ κοινῶς ῥωπάκιον. Ῥὼξ, τὸ φαλάγγιον, καὶ ἡ τοῦ βότρυος. καὶ κλίνεται ῥωγός. Ῥῶσις, ἡ ὑγεία. Ῥωσία, χώρα. Ῥῶς, ὁ ἀπὸ ταύτης. ἤγουν ὁ κοινῶς ῥοῦσος. Ῥωχμὸς, ἡ ῥῆξις τῆς γῆς. καὶ ἕτερα.

ΛΗΤΟΙ'ΔΗΣ λέγεται ὁ Α᾽πόλλων, ἀπὸ τῆς Λητοῦς τῆς μητρὸς αὐτοῦ. ἧς ἡ εὐθεῖα, ἡ λητώ. λέγεται δὲ Λητὼ κατὰ Πλάτωνα ἀπὸ τῆς πρᾳότητος, κατὰ τὸ ἐθελήμονα εἶναι, ὧν ἄν τις δέηται. ἴσως δέ φησὶν, ὡς οἱ ξένοι καλοῦσι. πολλοὶ γὰρ ληθὼ καλοῦσιν. ἔοικεν οὖν πρὸς τὸ μὴ τραχὺ τοῦ ἤθους, ἀλλ᾽ ἥμερόν τε καὶ λεῖον, ληθὼ κεκλῆσθαι ὑπὸ τῶν τοῦτο καλούντων.

Ε'ΠΗ'ΝΕΓ'ΚΕ. Κανόνισον. Φέρω. ὁ μέλλων οἴσω. ὁ Α᾽όριςος ἤνεγκα. τὸ δεύτερον, ἤνεγκας. τὸ τρίτον, ἤνεγκε. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, καὶ συγκοπῇ, ἐπήνεγκε.

ΔΙΕ'ΦΘΕΙΡΕ. Κανόνισον. Φθείρω, τὸ ἀφανίζω. καθὸ φαμὲν ἐφθάρθαι τῷ πυρὶ τὸ σῶμα. καὶ τὸ μεταβάλλω. ᾧ τρόπῳ τὸ δικαστήριον, καὶ τὴν δίκην ἐφθάρθαι φασίν. ὁ μέλλων φθερῶ. ὁ Α'όριστος ἔφθειρα. τὸ δεύτερον, ἔφθειρας. τὸ τρίτον, ἔφθειρε. καὶ μετὰ τῆς διὰ προθέσεως, καὶ συγκοπὴν, διέφθειρεν.

Χρύσης διωχθεὶς ὑπὸ τοῦ ἀτρέδου Α'γαμέμνονος μεθ' ὑβρισμῶν, ᾖξεν ἀδημονῶν. πρὸς δὲ τὸν νηὸν τοῦ Α'πόλλωνος ἰὼν, καὶ πλεῖστα εὐξάμενος, ἠλέφα αὐτὸν ἐπὶ τὸ πλήρη αἰλίνων ἀποφῆναι πλήθη ἑλλήνων. ὠργισμένων δὲ κατ' ἀλλήλων Α'χιλλέως καὶ Α'γαμέμνονος, ὁ Νέστωρ ἐξαναστὰς, τὸν λόγον τοῦτον ἦσε τῶν θώκων, Ο'ύτως γηθήσει Πρίαμος ἅμα παισὶν, ἄλλοι τε τρῶες, τῷ τοὺς κρείττονας τῶν ἑλλήνων ἀντιφερίζειν. ἀλλά μοι πέθηθε γενναιότατοι ἐπέγε νεώτατόι μου ἐστὲ τὸν χρόνον ἐμοὶ παραβαλλόμενοι, καὶ τὸν χόλον καταπαύσατε.

ΔΙΩΧΘΕΙ'Σ. Τὸ θέμα, Διώκω. λέγεται δὲ τοῦτο κυρίως ἐπὶ δρόμου, ὅταν ὁ μὲν τρέχῃ καταλαβεῖν τινα· ὁ δὲ τρέχῃ ἐκφυγεῖν σπεύδων. καὶ ἀπὸ

τούτου κατὰ μεταφορὰν ἐπὶ τοῦ κατηγοροῦντος καὶ κατηγορουμένου. λέγεται γὰρ ὁ μὲν τούτων, διώκων. ἤγουν ὁ κατηγορῶν. ὁ δὲ φεύγων. ἤγουν ὁ κατηγορούμενος. ἐφ᾽ ἧς δὴ σημασίας καὶ τὸ διώκειν καὶ τὸ φεύγειν, ἀπὸ αἰτιατικῆς πρὸς γενικὴν ἔχει τὴν σύνταξιν, προσυπακουομένου τοῦ ἕνεκα. οἷον Διώκω σε τοῦδε· ἀντὶ ἕνεκα τοῦδε. καὶ φεύγει τὶς φόνου, ἀντὶ ἕνεκα φόνου. κατὰ τοῦτο λέγεται τὸ σημαινόμενον, καὶ τὸ ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. ἤγουν καταλαβεῖν σπούδασον, καὶ κατορθῶσαι. ὁ μέλλων τούτου, διώξω. ὁ ἐνεργητικὸς παρακείμενος ἄχρηστος. ὁ παθητικὸς, δεδίωγμαι. ὁ Ἀόριστος ἐδιώχθην. ἡ μετοχὴ ὁ διωχθείς.

Τὸ ω, μέγα. Διώκω, δίωξις. διωγμός. Ἰωὴ, ἡ πνοὴ, ἀπὸ τοῦ ἄειν, τὸ πνεῖν· καὶ ἡ φωνὴ μεταφορικῶς παρ᾽ Ὁμήρῳ. ὥσπερ καὶ τὸ αὔειν, παρ᾽ αὐτῷ. ἀντὶ φωνεῖν. καὶ ἤϋσε παρὰ τὸ ἄειν. καὶ ἐπιωγαὶ, οἱ τόποι, ἐφ᾽ οἷς ἄγνυνται ἡ ἰωή. ἤγουν ἡ πνοὴ, ἤγουν οἱ ἀλίμενοι μὲν, δυνάμενοι δὲ δέξασθαι ναῦς, διὰ τὴν ἀπὸ τῶν ἀνέμων σκέπην. λιμὴν γὰρ ὁ καὶ τὴν θέσιν ἐπιτηδείαν ἔχων, ἐπὶ τῷ δέξασθαι ναῦς. καὶ διῴκηκα, ἀπὸ τοῦ διοικέω διοικῶ, μεγάλα. ἀποδιοπομποῦμαι δὲ, τὸ ἀποπέμπομαι, μικρόν.

ἸΩΝ. Κανόνισον. Ἴω, τὸ πορεύομαι. ἡ μετοχὴ ὁ ἰών.

Ἰστέον ὅτι τρία εἰσὶ ῥήματα βαρύτονα, ὧν αἱ μετοχαὶ ὀξύνονται· τοῦτο, τὸ ἴω, τὸ ἔρχομαι· τὸ κίω·

καὶ

καὶ τὸ ἔω, τὸ ὑπάρχω. τούτων γὰρ αἱ μετοχαὶ, ὁ ἐὼν, ὁ ἰὼν, καὶ ὁ κιών.

Τὸ ι, ι. καὶ τὸ ων, μέγα. Ἰὼν, ὁ ἐρχόμενος. καὶ Ἰῶν, τῶν βελῶν, καὶ τῶν γινομένων ἐν σιδήρῳ καὶ χαλκῷ, καὶ τοῖς τοιούτοις, ι καὶ μέγα. Ἰὸν, ἐπὶ αἰτιατικῆς τῶν ἑνικῶν. ἡ εὐθεῖα, ὁ ἰός. καὶ ἰὸν ἐπὶ οὐδετέρου τὸ ἐρχόμενον, ι καὶ μικρόν. ἠῶν δὲ τῶν ἡμερῶν. ἡ εὐθεῖα τῶν ἑνικῶν, ἡ ἠώς. καὶ κλίνεται τῆς ἠόος καὶ ἠοῦς. καὶ ἠὼν, ὁ αἰγιαλὸς, η καὶ μέγα.

Τὸ ἈΛΛΗΛΩΝ οὔτε ἑνικὰ ἔχει, οὔτε εὐθεῖαν. ἡ δ' αἰτία, ὅτι συμπλοκὴν ἔχει τοὐλάχιστον δύο προσώπων· ὧν τὸ μὲν νοεῖται κατ' εὐθεῖαν, τὸ δὲ ἕτερον ἐξ ἀνάγκης κατὰ πλαγίαν. διὰ μὲν οὖν τὴν συμπλοκὴν τῶν προσώπων, ἑνικὰ οὐ δύναται ἔχειν· διὰ δὲ τὴν μετάβασιν τῆς ἐνεργείας, ἣν ἐνεργεῖ ἄλλος πρὸς ἄλλον, ἢ ἄλλοι πρὸς ἄλλους. καὶ ἄλλως τὸ ἀκατάλληλον αἱ γὰρ δύο ἐφεξῆς εὐθεῖαι ἀκατάλληλον ποιοῦσι τὸν λόγον, ἀποστρέφεται τὴν εὐθεῖαν.

ὨΡΓΙΣΜΕΝΩΝ. Κανόνισον. Ὀργίζομαι. τὰ γὰρ ἐνεργητικὰ αὐτοῦ πάντα ἄχρηστα. ὁ παρακείμενος ὤργισμαι. ὁ μέλλων ὀργισθήσομαι. ἡ μετοχὴ ὁ ὠργισμένος. ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν ὠργισμένων.

ἯΣΕ. Κανόνισον. Ἄδω. ὁ μέλλων ᾄσω. Ἀόριστος ἦσα. τὸ δεύτερον, ἦσας. το τρίτον, ἦσε.

ΘΩΚΟΣ, ὁ θρόνος. ἀπὸ τοῦ θοάζω, τὸ κάθημαι, κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς ω. τὸ δὲ θοάζω, ἀπὸ τοῦ τίθημι.

Τὸ θω, μέγα. Τίνα ἀπὸ τῆς θω συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ω μεγάλου γράφονται, καὶ τίνα διὰ τοῦ ο μικροῦ; Διὰ μὲν τοῦ ω μεγάλου, ταῦτα. Θῶες, τὰ μικρὰ τῶν θηρίων. Θωὴ, ἡ ζημία. ἀφ' οὗ ἀθῶος, ὁ ἀζήμιος, καὶ μὴ ἐνεχόμενος ἁμαρτίᾳ. Θωμᾶς, κύριον. καὶ Θωμαΐς. Θῶκος, ὁ θρόνος. Θώραξ, μέρος τοῦ σώματος. καὶ τὸ φολιδωτὸν ὅπλον, καὶ τὸ ἐξ ἁλύσεων. ὃ κοινῶς ἀπὸ τῆς λατίνων γλώττης, σουσάνιον καὶ λωρίκιον λέγεται. ἀκροθώραξ δὲ, ὁ εἰς ἄκρον μέθης ἐλθὼν, μικρόν. Θωρήσσω, τὸ καθοπλίζω. Θώρηξις, ἡ καθόπλησις. Θὼψ, ὁ κόλαξ, Θωπεύω. Θωπεία, ἡ κολακεία. Θώμιγξ, τὸ χοινίον. καὶ ἕτερα.

Διὰ δὲ τοῦ ο μικροῦ, ταῦτα. Θόας, ὄνομα κύριον. Θοὸς, ὁ ταχύς. καὶ Θοὴ ναῦς, ἡ ταχεῖα. Θορῶ, τὸ πηδῶ. Θορὸς, τὸ σπέρμα. Θόρνυσθαι, καὶ ἐπιθόρνυσθαι; ἐπὶ τῆς ὀχείας τῶν ζώων. Θόλος, καὶ θολία, ἡ κοινῶς καμάρα. ἰδίως δὲ ἐν Ἀθήναις ἐλέγετο θόλος, ὁ τόπος ἐν ᾧ οἱ πρυτανεῖς εἱστιῶντο. διὰ τὸ οὕτως ᾠκοδομῆσθαι στρογγύλον, παρόμοιον θολίᾳ, ὃς ὑπ' ἐνίων, σκιὰς ἐκαλεῖτο. Θόρυβος, ἡ ταραχή. Θορυβέω θορυβῶ. θορυβήσω, ἕτερον. θορυβήσομαι δὲ ἐπὶ παθητικῆς σημασίας, ἀντὶ θορυβηθήσομαι. Θόρικος, δῆμος ἐν Ἀθήναις τῆς ἀκαμαντίδος φυλῆς. Θολέω θολῶ, ἐπὶ τῶν ὑγρῶν, ὅταν αὐτὰ τὶς ἀναμιγνύῃ καὶ ταράττῃ. ἀφ' οὗ κατὰ μεταφορὰν καὶ τεθολωμένος νοῦς, καὶ τεθολωμένη ψυχὴ, ἡ ἐσκοτισμένη, καὶ μεμολυσμένη. θολερὸν ὕδωρ, τὸ οὐ καθαρόν. καὶ ἕτερα.

Ὄ́ΝΤΩΣ, ἐπίῤῥημα μεσότητος. ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν τῶν ὄντων, ἤγουν τῶν ὑπαρχόντων. λέγεται δὲ ἀντὶ ἀληθῶς. τὰ γὰρ ὄντα φαμὲν λέγειν τινά. ἤγουν τὰ ἀληθῆ. καὶ κατηγορίαν οὐκ οὖσαν συμπλάττει τίς κατά τινος. ἤγουν ψευδῆ.

Τὸ τως, μέγα. Ὄντως ἐπίῤῥημα, ἀντὶ ἀληθῶς, μικρὸν καὶ μέγα. Ὄντος, ἀντὶ ὑπάρχοντος, μικρὰ τὰ δύο.

ΓΗΘΗ΄ΣΕΙ. Κανόνισον. Γήθομαι, τὸ χαίρω. ὁ μέλλων γηθήσω ποιητικῶς, ἐπὶ τοῦ ἐνεργητικοῦ. τὸ δεύτερον, γηθήσεις. τὸ τρίτον, γηθήσει.

Τὸ γη, η. Τίνα ἀπὸ τῆς γη συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τοῦ η, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου; Διὰ μὲν τοῦ ι, ταῦτα. Γίγαντες. οὗτοί φασιν ὑπερμεγέθεις ἄνδρες ἐγένοντο. μυθεύονται δὲ περὶ αὐτῶν. ἕλληνες, ὅτι ἄρα ἀπὸ τῆς γῆς ἀνεφύησαν. εἶτ᾽ εὐθὺς συμβαλόντες μάχην, ὑπ᾽ ἀλλήλων ἅπαντες ἀνῃρέθησαν. ἀφ᾽ οὗ γιγάντιος πόλεμος. ἢ τοιοῦτό τι. καὶ γιγαντιαῖος, ὁ μέγας, καὶ γίγαντι ὅμοιος. ὥσπερ ἂν εἰ τῆς γενεᾶς ἐτύγχανε τῶν γιγάντων. Γιεζῆ, κύριον. γίγαρτα, τὰ τῆς σαφυλῆς κοκκία. Γίνομαι, ὅπερ ἔχει κίνησιν ἀπὸ τοῦ μὴ ὄντος, εἰς τὸ ὄν. λέγεται δὲ καὶ ἀντὶ εἰμὶ, παρά τε τοῖς ποιηταῖς· καθὸ λέγεται τὸ, Θεῶν αἰειγενετάων, ἤγουν ἀεὶ ὄντων· καὶ παρά τισι τῶν „ λογογράφων. ὡς παρὰ Φιλοςράτῳ, Νυμφῶν γὰρ δὴ παῖδες οὗτοι γίνονται. ἤγουν εἰσί. καὶ γίνεταί τι ἐν τῷ κόσμῳ. ἤγουν τὸ αὐτὸ πολλάκις ἀποτελεῖται, καὶ

εἰς

εἰς τέλος ἐνεργεῖται. ὡς εἶναι τὴν παράτασιν ἐν τούτῳ τῷ σημαινομένῳ, οὐκ ἐν τῇ κινήσει τῇ πρὸς τὸ γενέσθαι ἤδη, ἢ ἀποτελεσθῆναι· ἀλλ᾽ ἐν τῷ μὴ λήγειν τὸ αὐτὸ πολλάκις ἀποτελεῖσθαι. καὶ γινόμενον, τὸ ἐνεργούμενον εἰς τέλος. τὸ αὐτὸ καὶ ἐνδεχόμενον γίνεσθαι, καὶ μὴ ἀνάγκην ἔχον παύσασθαι. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Γῆρας. Γηράω γηρῶ. Γηροκομῶ, τὸ τοῦ γήρως ἐπιμελοῦμαι. Γηροκομεῖον. Γηροτροφῶ, τὸ ἐν γήρᾳ τρέφω τινά. καὶ Γηροβοσκῶ, τὸ αὐτὸ, ἀπὸ μεταφορᾶς τῶν βοσκομένων ζώων. Γηραιός. Γηραλέος. Γῆ. Γήδιον. Γηγενεῖς, οἱ ἀπὸ τῆς γῆς γογονότες. Γήτης, ὁ γεωργός. Γηπόνος, τὸ αὐτό. Γήπεδον, ἡ ὁμαλὴ γῆ. Γήπεδες, ἔθνος. Γήθομαι, τὸ χαίρω. Γηθόσυνος, ὁ χαίρων. ἢ ὁ χαρὰν ἐμποιῶν. Γῆρυς, ἡ φωνή. Γηρύω, τὸ φωνῶ. Γήλοφος, ὁ ὑψηλὸς τόπος. Γηρυόνης, κύριον. ἀφ᾽ οὗ γηρυόνειος βοῦς. Γῆμαι, ἐπὶ ἀνδρός. Γήμασθαι δὲ, ἐπὶ τῆς γυναικός. Γηρυλλὶς, τὸ ἀμπελόπρασον. Γήτειον, εἶδος λαχάνου ἀγρίου, παρεοικὸς τοῖς λευκοῖς πράσοις. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγου, ταῦτα. Γειώρας, ὁ τὴν γῆν φυλάσσων. Γειωπείνης, ὁ γῆς ἐνδεής. Γειώμορος, ὁ γεωργός. ἤγουν ὁ τῇ γῇ μεμορημένος τουτέστιν ἀποκεκληρωμένος, καὶ ἐκ μοίρας δαίμονος κεκρατημένος. Γείνω, τὸ γεννῶ. Γεῖσσον. καὶ Γείσσωμα, τὸ προῦχον τοῦ ὑπερθύρου. ἤγουν τὸ κοινῶς στηθαῖον. Γεισσηποδίσματα, αἱ προβολαὶ τῶν ὑπερῴων οἰκημάτων, αἱ ὑπὲρ τοὺς κάτω τείχους προῦχουσαι.

Γεισ-

Γεισσήποδες, τὰ φέροντα αὐτὰς ξύλα. Γειτνιῶ. Γειτονεύω. Γείτονες, οἱ πλησίον μένοντες. καὶ ἕτερα.

ΠΑΙΣΙ'. Τὸ παι, δίφθογγος. Παισὶν, ἐπὶ δοτικῆς τῶν πληθυντικῶν. ἡ εὐθεῖα, ὁ παῖς, ἢ ἡ παῖς, δίφθογγος, καὶ ι. Πεσεῖν δὲ ῥῆμα ἀπαρέμφατον, ὅπερ ἐπὶ τῆς ἁπλῶς πλώσεως λαμβάνεται. καὶ ἀπὸ τούτου ἰδίως, ἐπὶ τῶν ἐν πολέμῳ φονευομένων. καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ γενέσθαι. ἀφ' οὗ λέγει διϊπετεῖς ποταμούς. ἤγουν ἀπὸ τοῦ διὸς γεγενημένους, ψιλὸν, καὶ δίφθογγος. ἀφ' οὗ τὸ Ἐμπεσεῖν, ἀντὶ ἐπιθέσθαι ἐν πολέμῳ. καὶ ἀντὶ ἐντός τινος πεσεῖν, καὶ ἀποληφθῆναι ὥσπερ ἐν ἄρκυσι. καθὸ λέγεται συμφοραῖς ἐμπεσεῖν τις. καὶ τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. καὶ Εἰσπεσεῖν, ἀντὶ εἰσελθεῖν. ὃ λέγεται ἐπὶ οἰκίας, ἢ τοιούτου τινός. τὸ δὲ Ἐκπεσεῖν ἐπὶ πεδίου. καὶ τὸ ἐκπεσεῖν τοῦ πλούτου, ἢ τῆς πατρίδος, ἀντὶ στερηθῆναι. καὶ ἁπλῶς τὸ ἐκφυγεῖν, καὶ παρελθεῖν, ἢ ἔξω τοῦ πρέποντος πεσεῖν. καὶ Συμπεσεῖν, ἀντὶ συμβῆναι. ἢ συγκροτῆσαι μάχην. καὶ Προσπεσεῖν, τὸ ἐξαίφνης ἀποκτεῖναί τινα μὴ εἰδότα. καὶ ἀντὶ προσελθεῖν, καὶ ὑποταγῆναι. καὶ προσπεσεῖν, τὸ ἐνώπιόν τινος πεσεῖν. οἷον Προσπεσοῦνται αἰθίοπες. καὶ Ἀναπεσεῖν, ἀντὶ ἀνακλιθῆναι. καὶ Μεταπεσεῖν, τὸ μεταλεχθῆναι. καὶ Παραπεσεῖν, τὸ ἔξω τοῦ πρέποντος πεσεῖν. καὶ Ἀντιπεσεῖν, τὸ ἐναντιωθῆναι. καὶ Ἐπιπεσεῖν, τὸ ἐπιθέσθαι. καὶ τὸ Περιπεσεῖν θλίψεσιν, ἢ τοιούτοις τισί. καὶ Ὑποπεσεῖν, ἀντὶ ὑποκάτω πεσεῖν τινος, ἢ ὑποταγῆναι.

Πε-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/291 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Πεσεῖν. Κανόνισον. Πίπτω. ὁ γὰρ ἐνεςὼς αὐτοῦ ἄχρηςος. ὁ δεύτερος Α᾽όριςος, ἔπεσον. ὁ μέλλων δεύτερος πεσῶ. ὃ πεσοῦμαι γράφεται. τὸ δεύτερον, πεσεῖς, τὸ τρίτον πεσεῖ. καὶ τὸ ἀπαρέμφατον, πεσεῖν.

ΠΕΙ΄ΣΘΗΤΕ. Κανόνισον. Πείθω. πείθει δέ τις ἢ λόγοις, ἢ χρυσῷ, ἢ διὰ δακρύων, ἢ διὰ κάλλους. ὁ μέλλων πείσω. ἐπὶ ταύτης τῆ σημασίας. πείσομαι δὲ ἐπὶ πάθους. ὁ παρακείμενος πέπεικα. ὁ παθητικὸς πέπεισμαι. ὁ Α᾽όριςος ἐπείσθην. ἡ μετοχὴ ὁ πεισθεὶς, τοῦ πεισθέντος. καὶ τὸ προςακτικὸν, πείσθητι. τὸ δεύτερον τῶν πληθυντικῶν, πείσθητε.

Τὸ πει, δίφθογγος. Πείσθητε, δίφθογγος. πιςώθητε, ι.

Ε᾽ΣΤΕ᾽, ἀντὶ ὑπάρχετε. Τὸ ςε, ψιλόν. ἔςαι, δίφθογγος. ἐςὲ δὲ, ψιλόν.

Ε᾽ΠΕΙ΄. Σύνδεσμος Παρασυναπτικός.

Τὸ πει, δίφθογγος. ἐπεί. ἐπείπερ ἐπειδὴ, ἐπειδήπερ. ἐπειδάν. ἔπειτα. καὶ μετέπειτα, δίφθογγα. ἐπίπαν δὲ, καὶ ὡς ἐπίπαν, ι.

ΧΟ΄ΛΟΣ. Τὸ χο, μικρόν. Χόλος μικρόν. Χωλὸς δὲ, ὁ βεβλαμμένος τὸν πόδα, μέγα.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/292 gefördert von der Deutschen Forschungsgemeinschaft

Ἐννέα ἡμέρας ἡ λοιμώδης νόσος τοὺς ἕλληνας ἐπεβόσκετο. καὶ πολλοὶ ἐξ αὐτῶν ἐν αἴᾳ ἔκειντο ἀποθνήσκοντες. τῇ δεκάτῃ δ' ἐς Πηλείδης Ἀχιλλεὺς τὸν λαὸν συνήθροισε, καὶ τῶν λοιμῶν ἐζήτησε τὴν αἰτίαν. Κάλχας δὲ ὁ Θεστορίδης τὸ ἀληθὲς διεσάφησε, καὶ εἰρήκει ὅτι διὰ τὸν προπηλακισμὸν τοῦ ἱερέως ὁ λοιμὸς τοῖς Ἀχαιοῖς ἐπεισέφρησε· καὶ οὐ παύσεται ὅλλων τὸ στρατόπεδον, εἰ μὴ τὴν Χρυσηΐδα τῷ πατρὶ οἱ Ἀχαιοὶ ἀποδώσουσιν.

ἘΝΝΈΑ ἐπὶ ἀριθμοῦ, ψιλὰ τὰ δύο.

ἘΝ ἎΙΑ, δύο μέρη λόγου. ἐν πρόθεσις. αἴᾳ, τῇ γῇ, ψιλὸν, καὶ δίφθογγος. Αἰνέας δὲ, ὄνομα κύριον, ἐπὶ κλητικῆς τῶν ἑνικῶν. ὃν ὁ ἀπόστολος Πέτρος ἰάσατο, εἰπὼν πρὸς αὐτὸν, Αἰνέα, ἰᾶταί σε ὁ Χριστὸς, δίφθογγος καὶ ψιλόν.

ἘΠΕΒΌΣΚΕΤΟ. Τὸ θέμα. Βόσκω. καὶ τὸ παθητικὸν, βόσκομαι. καὶ ὁ παρατατικὸς ἐβοσκόμην. τὸ δεύτερον, ἐβόσκου. τὸ τρίτον, ἐβόσκετο. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, καὶ συγκοπῇ, ἐπεβόσκετο.

Τὸ βο, μικρόν. Τὰ διὰ τοῦ ωσκω ῥήματα, διὰ τοῦ ω μεγάλου γράφονται. οἷον Ἀναγινώσκω. Τιτρώσκω. Βιώσκω, τὸ ζῶ. Θρώσκω, τὸ πηδῶ. Ἐκθρώσκω, τὸ ἐκπηδῶ. Βιβρώσκω, τὸ ἐσθίω. καὶ ἕτερα. πλὴν τοῦ βόσκω.

ἜΚΕΙΝΤΟ. Κανόνισον. Κέημι, ἄχρηστον. καὶ πάντα τὰ ἐνεργητικά. καὶ τὸ παθητικὸν, κέεμαι κεῖμαι. καὶ ὁ παρατατικὸς, ἐκεέμην ἐκείμην. τὸ δεύτερον, ἐκέεσο, ἔκεισο. τὸ τρίτον τῶν πληθυντικῶν, ἐκέεντο, ἔκειντο.

ἈΠΟΘΝΉΣΚΟΝΤΕΣ. Τὸ θέμα, Ἀποθνήσκω. καὶ ἡ μετοχὴ ὁ ἀποθνήσκων, τοῦ ἀποθνήσκοντος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἀποθνήσκοντες.

Τὸ θνη, η. Τίνα διὰ τοῦ ισκω ῥήματα διὰ τοῦ ι γράφονται, καὶ τίνα διὰ τοῦ η; Διὰ μὲν τοῦ ι, ταῦτα. Κυΐσκω. Ἀναλίσκω, τὸ δαπανῶ. Ἁλίσκω, τὸ ἀγρεύω, κυρίως μὲν ἐπὶ θαλάσσης. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. Στερίσκω. Ἴσκω ποιητικῶς, τὸ ὁμοιῶ. Εὑρίσκω. καὶ ἕτερα.

Διὰ δὲ τοῦ η, ταῦτα. Ἀναμιμνήσκω. Θνήσκω. Κικλήσκω, τὸ καλῶ.

ὈΛΛΩΝ. Κανόνισον. Ὄλλω, τὸ φθείρω. καὶ ἡ μετοχὴ ὁ ὄλλων.

Ἰστέον ὅτι ἐπὶ τοῦ ὀλλύειν τέσσαρα θέματά εἰσι. Τὸ ὄλλω, ἐξ οὗ ὄλωλα, καὶ ἀπόλωλα. καὶ ἀπωλόμην.

μην. Τὸ ὀλέω, ὀλῶ. ὅπερ ἐςιν ἄχρηςον. ἀφ' ȣ̔ ἀ-πολέσω. καὶ ἀπολώλεκα. καὶ ἀπώλεσα. Τὸ ὀλλύω, ἐξ ȣ̔ τὸ ἄλλυον. καὶ ἀπώλλυον. καὶ τὸ ὄλλυμι. ἐξ ȣ̔ τὸ ὄλλυμαι. καὶ ὠλλύμην.

Τὸ ολ, μικρόν. Τὸ ο πρὸ τȣ̃ λ ἐν ἀρχῇ λέ-ξεως, ἔντισι μὲν διὰ τȣ̃ ο μικρȣ̃ γράφεται, ἔντισι δὲ διὰ τȣ̃ ω μεγάλȣ. Ἐν τίσι διὰ τȣ̃ ο μικρȣ̃; Ἐν τού-τοις. Ὅλος, ἐπὶ συνεχοῦς ποσȣ̃. πᾶς δέ, ἐπὶ διω-ρισμένȣ πλήθους. οἷον Πᾶς ὁ δῆμος. καὶ Πᾶς ὁ λαός. Ὅλος δὲ ὁ ἀνδριάς. καὶ Ὅλη ἡ γῆ. καὶ Χρόνον ὅλον διδάσκεταί τις. ἤγουν ὁλόκληρον καὶ πλήρη. καὶ Βοῦν ὅλον ἐσθίει. Ὅλως ἐπίρρημα, ἀντὶ καθόλȣ, καὶ ἐν μέρει τȣ̃ ὅλȣ. ἀφ' ȣ̔ τὸ ȣ̓δ' ὅλως, ἀντὶ ȣ̓δαμῶς, ȣ̓-δὲ ἐν μέρει λόγȣ. Ὁλολαμπής. Ὁλοέχινος. Τρία γὰρ εἴδη φασὶ τȣ̃ ἐχίνȣ. ὧν ὁ τρίτος τῷ μεγέθει καὶ ἐυσαρκίᾳ διαφέρων, ὁλοέχινος λέγεται. Ὀλίγον, τὸ ἐναντίον τῷ πολλῷ. καὶ τὸ μικρόν. ὡς παρὰ τῷ Θεοκρίτῳ, Τὰν ὀλίγος τὶς κοῦρος, ἐφ' αἱμασιαῖσι φυλάττει. καὶ παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, Εἰμὶ μὲν ποιμὴν ὀλίγος, καὶ μικρȣ̃ ποιμνίȣ προεςηκώς. ὀλίγον, καὶ ἀντὶ ȣ̓δαμῶς. ὡς παρ' Ὁμήρῳ, Ἦ ὀλίγον οἱ παῖ-δα ἐοικότα γείνατο Τυδεύς. ἀφ' ȣ̔ ὀλιγωρεῖν, τὸ ἀμελεῖν. ἤγουν ὀλίγην ὥραν καὶ φροντίδα ἔχειν. του-τέςιν ȣ̓δὲ ὀλίγην. Ὀλιγαρκὴς, ὁ ὀλίγοις ἀρκούμενος. Ὀλιγάρκεια. Ὄλβος, ὁ πλοῦτος. Ὄλβιος δὲ, ὁ μακάριος. καὶ Ὀλβίζω, τὸ μακαρίζω. Ὄλλω. Ὀλ-λύω. Ὄλλυμι. καὶ Ὀλέω, ὀλῶ, ἄχρηςον. ἀφ' ȣ̔ ὀλέσω, καὶ ἀπολέσω. καὶ ὤλεσα. καὶ ἀπώλεσα. ταῦ-τα δὲ λέγεται καὶ ὅταν φθείρῃ τίς τι, καὶ ἀφανίζῃ. καὶ

ὅταν στερηθῇ τινος. οἷον Ἀπώλετό τις ὑπὸ ὄφεως, ἀντὶ ἐφθάρη καὶ ἠφανίσθη. καὶ ἀπώλεσα ὃ κατεῖχον, ἀντὶ κοινῶς ἐχάλασα, καὶ ἐστερήθην αὐτοῦ. Ὄλυμπος, ὁ οὐρανὸς, καὶ ὄρος ἓν περὶ τὴν ἑλλάδα. καὶ ἕτερον ἐν τῇ ἀσίᾳ, ἱκανὸν διάστημα τοῦ ἰλίου ἀπέχον. Ὀλυμπία, τόπος ἐν τῇ ἑλλάδι. ὀλύμπια, καὶ ὀλυμπιάδες, οἱ ἐν αὐτῷ ἀγῶνες. καὶ αἱ περίοδοι τῶν ἐκεῖ τελουμένων ἀγώνων. ἦσαν δὲ τέσσαρες ἀγῶνες ἐν τῇ ἑλλάδι· Ὀλύμπια, ἐν ὀλυμπίᾳ· πύθια, ἐν πυθοῖ· νέμεα, ἐν τῇ νεμέᾳ· καὶ ἴσθμια, κατὰ τὸν ἰσθμόν. καὶ τὰ μὲν ὀλύμπια, ἦσαν τοῦ Διός· τὰ πύθια δὲ, τοῦ Ἀπόλλωνος· τὰ δὲ νέμεα, τοῦ Ἀρχεμόρου· τοῦ Παλαίμονος δὲ, τὰ ἴσθμια. ἦσαν δὲ ἆθλα, φασιν ὀλυμπιάσι μὲν, στέφανος ἐκ κοτίνου· ἰσθμοῖς δὲ, ἐκ πίτυος· ἐν νεμέᾳ δὲ, σελίνων πεπλεγμένος· πυθοῖ δὲ, μῆλα τῶν ἱερῶν τοῦ θεοῦ. Ὀλισθαίνει τὰ μὴ δυνάμενα κατέχεσθαι διὰ ὑγρότητα ἢ λειότητα ὥσπερ αἱ ἐγχέλυες· καὶ ὀλισθαίνει τὶς, ὅταν διὰ ὑποκειμένην ὑγρότητα ἢ λειότητα μὴ δυνάμενος ἵστασθαι, λανθάνῃ καταπίπτων. καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν, ἐπὶ οἱουδή τινος πλώματος. Ὀλισθηρὸς, ὁ ὀλισθαίνων. καὶ ὀλισθηρὰ βάσις, ἔνθα τις ὀλισθαίνει. Ὁλκάδες, αἱ νῆες. Ὄλμος, τὸ ἰγδίον. Ὀλοὸς, ὁ ὀλέθριος. Ὀλοθρεύω. Ὀλοθρευτής. ὄλυνθοι, τὰ ἄωρα σῦκα. Ὄλυρα, εἶδός τι τῶν σπορίμων, ἡ καὶ ζειὰ καλουμένη. ἡ κοινῶς σίκαλις. Ἡρόδοτος, Ἀλλὰ ἀπὸ ὀλυρέων ποιεῦνται „ σιτία, τὰς ζειὰς μετεξέτεροι καλέουσιν. ἀφ' οὗ ὀλυρίτης ἄρτος. Ὀλαὶ, αἱ ἅλσι μεμιγμέναι κριθαὶ, καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. Ὀλολύζειν. καὶ Ὀλολυγαὶ, ἐπὶ γυναικῶν, ὅτε ὑψοῦσι τὴν φωνὴν θρηνοῦ-

νοῦσαι. Διωλύγιον δὲ ἁπλῶς ἐπὶ φωνῆς ὑψουμένης. καὶ διωλύγιος, ὁ διὰ τὸ ὑμνεῖν τι τὴν φωνὴν ὑψῶν, οἱονεὶ κῆρυξ καὶ ὑμνητὴς, μέγα. Ὄλωλα. καὶ ἀπόλωλα, ἀντὶ ἐφθάρην. καὶ ἐν ἑτέροις.

Ἐν τίσι διὰ τοῦ ω μεγάλου; Ἐν τούτοις. Ὠλένη, ἡ ἀγκάλη. Ὠλεσίκαρπος. Ὠλώλειν. καὶ ἀπωλώλειν, ἀντὶ ἐφθάρην. Ὠλέκειν, καὶ Ὠλωλέκειν, τὸ αὐτό. ὦλαξ, ἡ αὖλαξ καὶ ἐν ἑτέροις.

ΣΤΡΑΤΟ'ΠΕΔΟΝ, κυρίως ἡ γῆ ἔνθα διάγει ὁ στρατός. ἀπὸ τοῦ στρατὸς, καὶ τοῦ πέδον, ἡ γῆ. διὸ καὶ διὰ τοῦ ε ψιλοῦ γράφεται. καταχρηστικῶς δὲ, καὶ αὐτὸ τὸ στράτευμα.

Ἐστράτευσεν ἐπὶ τὸν τῆς ἰλίου τόπον μετὰ τῶν λοιπῶν Ἀχαιῶν καὶ Διομήδης ὁ αἰτωλὸς, καὶ προθύμως κατὰ τῶν τρώων ἐξώρμησεν. εἶχε γὰρ ζῆλον τῶν πατρικῶν ἔργων, καὶ τὰς ἀριστείας τοῦ Τυδέως ἐπὶ λογισμῶν ἔστρεφε. καὶ περιφανὴς κατ' ἐκεῖνον γενέσθαι ἱμείρετο, καὶ τρόπαια ἐγεῖραι ἐν αἵματι τῶν πολεμίων, καὶ δεῖξαι ὅσον βαρβάρων ἕλληνες ὑπέρτεροι φρονήσει, καὶ τῇ κατὰ πόλεμον ἐμπειρίᾳ.

Ἥλιος, ὁ τὴν ἡμέραν ἐργαζόμενος. η καὶ ι. ἴλιος, ἡ προηγουμένη τῆς τροίας πόλις, ι ι τὰ δύο. ἠλεῖος δὲ, ὁ ἀπὸ τῆς ἤλιδος. πόλις δὲ, καὶ αὕτη. η καὶ δίφθογγος ε καὶ ι.

ΑἸΤΩΛΌΣ. Τὸ τω, μέγα. Ἁμαρτωλός. Φειδωλὸς, ὁ ἀκριβὴς καὶ ἀνελεύθερος. Πακτωλὸς, ὄνομα ποταμοῦ. Αἰτωλός. Χωλὸς, ὁ βεβλαμμένος τὸν πόδα. καὶ Ψωλὸς, ὁ παρατεταμένον ἔχων τὸ μόριον, μέγα. Ὀβολὸς δὲ, ἡ φόλις, μικρόν.

ἘΞΏΡΜΗΣΕ. Τὸ μη, η. Ὥρμησεν, ἐπὶ τῆς καθ' ὁρμὴν κινήσεως, συζυγίας δευτέρας τῶν περι-

σπω-

σπωμένων. τὸ θέμα, ὁρμάω ὁρμῶ. ὁ μέλλων ὁρμήσω. ὁ Α᾿όριςος ὥρμησα. τὸ δεύτερον, ὥρμησας. τὸ τρίτον, ὥρμησε. καὶ ὥρμησεν, ἀντὶ εἰς λιμένα κατήχθη, συζυγίας πρώτης τῶν αὐτῶν. τὸ θέμα, ὁρμέω ὁρμῶ. ὁ μέλλων ὁρμήσω. ὁ Α᾿όριςος ὥρμησα. τὸ δεύτερον, ὥρμησας. τὸ τρίτον, ὥρμησε, μέγα καὶ η. ὥρμισε δέ τις τὴν ναῦν. ἤγουν εἰς λιμένα κατῆγε, μέγα καὶ ι. καὶ ἔςι τὸ θέμα ὁρμίζω. ὁ μέλλων ὁρμίσω. ὁ Α᾿όριςος ὥρμισα. τὸ δεύτερον, ὥρμισας. τὸ τρίτον, ὥρμισε.

Ι᾿ςέον. ὅτι τὸ ὁρμῶ ἐπὶ τῆς καθ᾿ ὁρμὴν κινήσεως εἰ προσλάβοι τὴν ἐξ πρόθεσιν, δηλοῖ μὲν καὶ τὸ ἐξέρχομαι· δηλοῖ δὲ καὶ τὸ παρακινῶ, καὶ ἐκπέμπω.

ΠΕΡΙΦΑΝΗ'Σ. Τὸ ρι, ι. Υ῾περήφανος, ὁ ἐπηρμένος καὶ ἀλαζών. καὶ ὑπερηφανία, η καὶ ι. Περιφανὴς δὲ, ὁ λαμπρός. καὶ περιφάνεια. καὶ ἐπιφάνεια, ι, καὶ δίφθογγος ε καὶ ι. γίνεται δὲ ὑπερήφανος, ἀπὸ τοῦ ὑπεράνω πάντων δοκεῖν φαίνεσθαι.

Ε'ΜΠΕΙΡΙ'Α. Τὸ πει, δίφθογγος. Πεῖρα, ὅταν λάβῃ τὶς γνῶσίν τινος διὰ τῆς οἰκείας αἰσθήσεως. ἢ γνώσεως. καὶ Ε᾿μπειρία, ἡ τῶν οὕτω πολλάκις ὀφθέντων γνῶσις. καὶ ἀπειρία. καὶ πολυπειρία, δίφθογγος καὶ ι. Ε᾿πηρεάζω δὲ, τὸ ἐνοχλῶ, καὶ βλάπτω. καὶ ἐπηρεασμός. καὶ ἐπήρεια, ἡ βλάβη, η καὶ δίφθογγος. πήρα δὲ, τὸ σακκούλιον, η.

Νιόβη Ταντάλου θυγάτηρ ἦν· Ἀμφίονι δὲ ὡμευνέτει. ἐκ τούτου γοῦν ἐχηκυῖα παῖδας ἓξ ἄῤῥενας, καὶ ἓξ θηλέας, καὶ ἐπὶ πλήθει παίδων ἐπαρθεῖσα, σκωπτικὸν λόγον ἵει πρὸς τὴν Λητὼ, ὡς εὐδαιμονεστέρα λέγουσα γένοιτο. συνέβη δὲ τὴν Λητὼ παῖδας δύο τετοκέναι, τὸν ἀκειρεκόμην Ἀπόλλωνα, καὶ τὴν κελαδεινὴν Ἄρτεμιν. μὴ φέρουσα γοῦν τὸν ὑβρισμὸν ἡ Λητὼ, τοὺς αὐτῆς παῖδας ἀνῆκεν ἀφεικέναι τόξων ἰὸν κατὰ τέκνων Νιόβης. καὶ οὕτω φόνων ἔργον ἐγεγόνεισαν. θρηνούσης δὲ τῆς Νιόβης τὸ πάθος, ὁ Ζεὺς, ᾠκτίσατο, καὶ εἰς λίθον ταύτην μετέβαλεν. ὃς, ὡς λόγος αἱρεῖ, πηγὰς δακρύων ἀφίησιν.

ἈΚΕΙΡΕΚΌΜΗΣ, γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ κείρω, τὸ κόπτω. ὃ λέγεται ἐπὶ τριχῶν, ἢ ἀσταχύων, ἢ τοιούτων τινῶν· καὶ τοῦ κόμη, ἡ θρὶξ τῆς κεφαλῆς. ἤγουν, ὁ μὴ κείρων τὴν κόμην.

ΚΕ-

ΚΕΛΑΔΕΙΝΗ῭, λέγεται ἡ ἠχητικὴ, ἀπὸ τοῦ κέλαδος, ὁ ἦχος. λέγεται δὲ οὕτως ἡ Ἄρτεμις, διὰ τὰς ἐν τῇ κυνηγίᾳ φωνάς. κυνηγετικὴ γὰρ αὕτη.

ΩΣ ΕΥ῎ΔΑΙΜΟΝΕΣΤΕ΄ΡΑ ΛΕ΄ΓΟΥΣΑ ΓΕ΄ΝΟΙΤΟ. Τὸ εὐκτικὸν ἐνταῦθα, ἀντὶ παρεληλυθότος λαμβάνεται, ὅτε ἔχει ὄπισθεν τὸ ὡς.

ἈΦΕΙΚΕ΄ΝΑΙ. Τὸ φει, δίφθογγος. Ἔνειμι, ἀντὶ ἐνυπάρχω. Εἴσειμι, ἀντὶ εἰσέρχομαι. Ἔξειμι, ἀντὶ ἐξέρχομαι. Σύνειμι ἀντὶ συνέρχομαι, καὶ ἀντὶ συνυπάρχω. τοῦτο δὲ καὶ ἐπὶ ὁμιλίας λέγεται. καὶ ἔτι ἐπὶ συνουσίας. Πρόσειμι, ἀντὶ προσέρχομαι. Πρόειμι, ἀντὶ προέρχομαι. Ἄνειμι, τὸ ἀνέρχομαι. Κάτειμι, τὸ ἐναντίον τούτου. Δίειμι τὸ γράμμα. ἤγουν διέρχομαι. Μέτειμι λόγους. ἤγουν μετέρχομαι καὶ μέτειμί τινα, ἀντὶ κολάζω. Πάρειμι, ἀντὶ, παρὼν εἰμί. Ἔπειμι, τὸ ἐπέρχομαι. Περίειμι, ἀντὶ περιέρχομαι. Ἄπειμι, ἀντὶ ἀπέρχομαι. καὶ ἐπὶ τρίτου προσώπου τῶν ἑνικῶν μὲν, ὅτε ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι συντίθεται. τῶν πληθυντικῶν δὲ, ὅτε ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω. οἷον Ἔνεισιν, ἀντὶ ἐνυπάρχουσιν. Εἴσεισιν, ἀντὶ εἰσέρχονται. Ἔξεισιν. Σύνεισιν, ἀντὶ συνέρχεται ἢ ἀντὶ συνυπάρχουσι, καὶ ὁμιλοῦσι. Πρόσεισι· Πρόεισι. καὶ Ἄνεισι. Κάτεισι. Δίεισι. Μέτεισι. Πάρεισιν, ἀντὶ παρόντες εἰσιν. Ἔπεισιν, ἀντὶ ἐπέρχεται. Περίεισι. καὶ Ἄπεισι· ταῦτα πάντα διὰ διφθόγγου γράφεται. Εἴσιμεν δὲ, καὶ εἴσιτε, καὶ εἰσίασιν ἐπὶ πληθυντικῶν κατὰ πλεονασμὸν τοῦ α. καὶ Ἔξιμεν, ἔξιτε, ἐξίασι.

ασι. καὶ Σύνιμεν, σύνιτε, συνίασιν. καὶ Πρόσιμεν, πρόσιτε, προσίασι. καὶ Πρόϊμεν, πρόϊτε, προΐασι. καὶ Ἄνιμεν, ἄνιτε, ἀνίασι. καὶ Κάτιμεν, κάτιτε, κατίασι. καὶ Δίϊμεν, δίϊτε, διΐασι. καὶ Μέτιμεν, μέτιτε, μετίασι. καὶ Ἔπιμεν, ἔπιτε, ἐπίασι. καὶ Περίϊμεν, περίϊτε, περιΐασι. καὶ Ἄπιμεν, ἄπιτε, ἀπίασι· ταῦτα πάντα διὰ τοῦ ι γράφονται, καὶ προπαροξύνονται. Ἐνῆμεν δὲ, ἀντὶ ἐνυπήρχομεν. καὶ Ἀνῆτε. καὶ ἀνῆσαν. καὶ Συνῆμεν, συνῆτε, συνῆσαν· καὶ Προῆμεν, προῆτε, προῆσαν. καὶ Παρῆμεν, παρῆτε, παρῆσαν. καὶ Περιῆμεν, ἀντὶ ἐζῶμεν, ἢ ἐνικῶμεν. περιῆτε, περιῆσαν. καὶ Ἀπῆμεν, ἀπῆτε, ἀπῆσαν. καὶ Ἐνῆκα, ἀντὶ ἐνέβαλον. καὶ Συνῆκα, ἀντὶ ἐνόησα, ἢ συνέβαλον. ἀφ' οὗ τὸ ξυνέηκε παρ' Ὁμήρῳ. καὶ Ἀνῆκα, ἀντὶ ἐνέδωκα. καὶ Καθῆκα, ἀντὶ κατεβίβασα, ἢ κάτω ἔρριψα. οἷον Καθῆκα εἰς τὴν θάλασσαν. ἤγουν ἐμαυτὸν ἔρριψα. καὶ Μεθῆκα ἕτερον. καὶ Παρῆκα, ἀντὶ εἴασα. καὶ Ἐφῆκα, ἀντὶ ἐνέδωκα. καὶ Ἀφῆκα, ἀντὶ κατέλιπον. καὶ ἀφῆκα βέλος. ἤγουν ἔπεμψα. καὶ Ὑφῆκα, ὃ λέγεται κυρίως ἐπὶ νεῶν, ὅταν χαλάσωσι μικρὸν τὰ ἱστία. καὶ Ὑφῆκα τοῖς βουσὶ τὰ μοχία. ὡς παρὰ Θεοκρίτῳ. ἤγουν ὑπὸ κάτω αὐτῶν ἤγαγον αὐτά. ταῦτα διὰ τοῦ η. Ἐνίημι δὲ, καὶ ἐνίησι, καὶ ἐνιᾶσι. καὶ Συνίημι, ἀντὶ γινώσκω, ἢ συμβάλλω. συνίησι, συνιᾶσι. καὶ Ἀνίημι, ἀντὶ ἀναδίδωμι, ἀνίησιν, ἀνιᾶσι. καὶ Καθίημι, καθίησι, καθιᾶσι. καὶ Μεθίημι, τὸ ἀπολύω. μεθίησι, μεθιᾶσι. καὶ Παρίημι, τὸ ἐῶ, παρίησι, παριᾶσι. καὶ Ἐφίημι, ἐφίησιν, ἐφιᾶσι. καὶ Ἀφίημι, τὸ καταλιμπάνω καὶ πέμπω, ἀφίησιν, ἀφιᾶσι. καὶ Ὑφίημι,

ὑφίη-

ὑφίησιν, ὑφιᾶσιν, ι, η, καὶ ι. Α'νεικὼς δὲ, καὶ καθεικὼς, καὶ παρεικὼς, ἀντὶ ἐνδούς. καὶ ἀφεικώς. καὶ ἀνεικέναι. καὶ καθεικέναι. καὶ παρεικέναι. καὶ ἀφεικέναι. καὶ Α'νεῖμαι, καὶ ἀνεῖται. καὶ Καθεῖμαι, καὶ καθεῖται. καὶ Παρεῖμαι, καὶ παρεῖται. καὶ Α'φεῖμαι, καὶ ἀφεῖται. καὶ Υ'φεῖμαι, καὶ ὑφεῖται. καὶ ἀνειμένος. καὶ καθειμένος. καὶ παρειμένος. ἀφειμένος. καὶ ὑφειμένος. καὶ ἀνείθη. καὶ ἀφείθη. καὶ παρείθη. καὶ ὑφείθη. καὶ παρείκοι, ἀντὶ συγχωροίη, καὶ ἐνδιδοίη. καὶ ἐνεῖναι, ἀντὶ δυνατὸν εἶναι, καὶ ἀντὶ ἐνυπάρχειν. καὶ ἐξεῖναι, ἀντὶ ἄδειαν εἶναι. καὶ συνεῖναι. καὶ προσεῖναι, ἀντὶ ἐφ' ἑτέροις ἕτερον ὑπάρχειν. καὶ προεῖναι. καὶ ἀνεῖναι, ἀντὶ ἀναπέμψαι. καὶ καθεῖναι, ἀντὶ καταπέμψαι. καὶ παρεῖναι, ἀντὶ παρόντα εἶναι. καὶ ἐπεῖναι. καὶ περιεῖναι, ἀντὶ ζῆν, καὶ ἀντὶ νικᾷν. καὶ ἀπεῖναι. καὶ ὑπεῖναι. καὶ ὑπερεῖναι, διὰ διφθόγγου.

Ω'ΚΤΙ'ΣΑΤΟ. Κανόνισον. Οἰκτίζομαι, τὸ οἰκτείρω. τὰ γὰρ ἐνεργητικὰ αὐτοῦ ἄχρηστα. ὁ μέλλων οἰκτίσομαι. ὁ μέσος Α'όριστος ᾠκτισάμην. τὸ δεύτερον, ᾠκτίσω. τὸ τρίτον, ᾠκτίσατο.

Ι'Ο'Ν. Η' εὐθεῖα, ὁ ἰός. Τὸ ι, ι. Τίνα διὰ τοῦ ιος ὀξύτονα, διὰ τοῦ ι γράφεται, καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου, καὶ τίνα διὰ τοῦ η; Διὰ μὲν τοῦ ι, ταῦτα. Κριός. Ι'ός. Ε'ρῳδιός, ὄνομα ὀρνέου. Α'σκληπιός, κύριον. Κωβιός, ὄνομα ἰχθύος. Μονιός, ὁ ἄγριος χοῖρος. καὶ ἕτερα.

Διὰ δὲ τῆς ε καὶ ι διφθόγγȣ, Ταῦτα. Ἀρνειός. Ἀφνειὸς, ὁ πλούσιος. Θαμειὸς, ὁ συχνός. Πηνειὸς, ὄνομα ποταμȣ̃. Φατειὸς, ὁ δυνάμενος ῥηθῆναι. Στειλειὸς, τὸ τῆς ἀξίνης ξύλον, ἢ τοιούτȣ τινός. καὶ ἕτερα.

Διὰ δὲ τȣ̃ η, ταῦτα. Πηὸς, ὁ ἐξ ἐπιγαμβρίας συγγενής· Αἰζηὸς, ὁ νέος· καὶ Νηὸς, ὁ ναός. Νειὸς δὲ, ἡ ἠροτριασμένη γῆ, δίφθογγος. Ἀμφίονος, Ἰξίονος, Κυλλοποδίονος, ι καὶ μικρόν. Κρονίωνος δὲ καὶ Οὐρανίωνος, καὶ Μοχίωνος, ι καὶ μέγα.

ΤΕΛΟΣ.

Ἔλεγχος τινῶν ἑρμηνευθέντων τῷ Μοσχοπούλῳ ἐν τούτῳ τῷ περὶ σχεδῶν βιβλίῳ. ὃς ἦν, ἐν τῇ προεκδοθείσῃ παρὰ Ῥοβέρτου Στεφάνου. τοῦ Ἀριθμοῦ μόνου κατὰ τὰς τῆς παρούσης βίβλου σελίδας, ἐναλλαγέντος.

A

Α ἐνίοτε ἀττικῶς μηδὲν πλέον δηλοῦν. 22
α διατὶ ἐν τῷ ἀκάματος καὶ ὁμοίοις ἐκλείνεται. 22
τὰ εἰωθότα δωρικῶς τρέπεσθαι εἰς α 18
περὶ τῶν μεταβολικῶν α, ε, καὶ ο μικροῦ 126
ἀβάκχευτον 22
ἀγαπητὸν 236
ἀγαπῶ 126. 162
ἁγία 45
ἀγυιὰ 248
ἀγκαῖος 151
ἀγκοίνη 95
ἀγρία 18
ἀγχιστίνδην γαμεῖν 249
ἀγωγὸς 168
ἄδην ἐσθίειν 249
ἀδράστεια 56
ἀδραστίνη 128
ἀειδίνητος 48
ἀείδω 166
ἀεικέλιον 143
ἄειν 264
ἀείῤῥους 48
ἀείῤῥυτος 48
ἀεργὸς 230
ἄζομαι 45
ἄζω 45
ἀὴρ 6
ἀθῆναι 128. 215
ἄθικτον ἀγγεῖον 148
ἀθλεῖν 96
ἆθλον 96
ἆθλος 96
αἱ 224
αἶα 225. 271
αἰάζω 200. 225
αἰακίδης 224
αἰακὸς 225
αἰανὴ 225
αἰανὸς 225
αἴασμα 225
αἰγιαλὸς 167
αἶδε 247
αἰδέσιμος 247
ἀΐδηλον πῦρ 48
αἰδήμων 247
ἀΐδης 48
αἰδοῖα 247
αἰδοῖος 247
αἰδοῦμαι 247
ἀΐδριες 186
αἰδωνεὺς 48
αἰετὸς 48
αἰζηὸς 282
αἰητίνη 128
αἴθω 96
αἴλινος 66
αἴλιος 143
αἴλουροι 194
αἷμα 96. 97
αἱμασιὰ 97. 196
αἰμίλιος 97
αἱμύλιος 97
αἱμύλος 97
αἰνέας 271

αἰνίσ-

αἰνίσσομαι 154
200
αἶνος 48. 200
αἰνὴ 199
αἶξ 249
αἶρα 77
αἴρω 127
αἱρῶ 239
αἴσσω 154
αἰτιῶμαί σε 222
αἰτιῶμαι τόδε τοῦδε 222
αἴτιος 222
αἰχμητὴς 175
αἰχμάζω 175
ἀκειρεκόμης 278
ἀκκίζομαι 55
ἀκόλουθος 22
132
ἀκολουθίαι τῶν ἀντιςοίχων 2
ἀκροθώραξ 266
ἀκροκόρινθος 147
ἀκρωμία 241
ἀλάβαςρον 218
ἀλάβαςον 218
ἀλᾶσθαι 58
ἀλεείνω 111
ἀλεξιὰς 185
ἄλη 71
ἀληθὴς 161
ἀλλήλων 265
ἁλίσκω 272
ἀλλὰ 75
ἀλλοιῶ 65
ἀλλοίω 65
ἅλλομαι 139
ἀλογῶ 59
ἀλοητὸς 246
αἴλουρος 66
ἀλύω 64
ἀμαθὴς 22
ἀμαιμάκετος 163
ἁματροχιὰ 232
ἀμενηνός 190
ἀμητὸς 120. 246
ἀμπέχω 175
ἄμπωτις 243
ἀμόθεν 195
ἀμὸς 195
ἀμφὶ 40
ἀμφίδυμοι λιμένες 137
ἀνὰ 32
ἀναίδην 249
ἀνακλίνομαι 32
ἀνακράτος 23
ἀνακωχεύειν 81
ἀναλίσκω 272
ἀναλύω 234
ἀνανεῶ 166
ἀνανήφειν 226
ἀναπολῶ 106
ἀνασειράζω τὸν ἵππον 70
ἀναφανδὰ 249
ἀνδρεῖος 147
ἀνέδην 249
ἄνειμι 279
ἀνειμένος 20
ἀνεῖναι 281
ἀνῆκα 280
ἀνῆλθεν 114
ἀνὴρ 106. 177
ἄνθρωπος 125
ἀνθ᾽ ὅτε 38
ἀνιάχη 22
ἀνίημι 280
ἀνοικτὶ 237
ἀντὶ 37
ἀντίθεος Πολύφημος 38
ἀντιπεσεῖν 269
ἀντίῤῥοπον 38
ἀντίςαθμον 38
ἀντιφερίζειν 213
ἀντωνυμίαι κατὰ διαφόρους διαλέκτους 13. 14
διὰ τί ἐπενοήθησαν αἱ ἀντωνυμίαι 12
ἀντωμοσία 240

ἀοί-

ἀοίδιμος 62
ἀοιδὴ 166
ἀόρατον 236
ἀπαλλάττω 123
ἀπαλλάττομαι 123
ἄπειμι 279
ἀπέλεθρον 163
ἀπελάτης 65
ἀπελωβήθη 61
ἀπέχω τὰ τροφεῖα 231
ἀπήνη 128
τῆς ἀπὸ διάφοραι σημασίαι 40
ἄπο 195
ἀποδίδωμι 40
ἀποδοκιμάζω 25
ἀποδοὺς 261
ἀπόλλων 218
ἀπολύω 234
ἀπόλωλα 275
ἀπολώλειν 275
ἀπορία διὰ τί διὰ τοῦ ι 50
ἀποστέλλω 165
ἀποτάδην τρέχειν 248
ἀποτίω 7
ἀποφέρομαι 214
ἀπρόσιτος 119
ἀπύω 64
ἀπῳδοὶ 261
Ἀργεῖοι 230
ἀργία 230
ἄργος 230
ἀργύφεον 230
ἄρδην 249
ἀρετὴ 92
ἀρήγω 152
περὶ ἄρθρου προτακτικοῦ 20
ἀριθμητὸς 245
ἀρίσημος 63. 191
ἀριστίνδην ἐκλέγειν 248
ἁρματροχιὰ 232
ἄρομαι 71
ἁρπάζειν 220
ἄρουρα 151
ἄῤῥητον 181
ἀρσενικὰ εἰς ωψ μονοσύλλαβα 138
ἄρτιον 134
ἀρύομαι 64
ἀρχαῖος 212
ἀρχεῖον 183
ἀρχέπλουτος 212
ἄρχομαι 58
ἄρχων 186
ἄρχω 58
ἄρωμα 71
Ἄσημον ἀργύριον 63
ἀσκαρδαμυκτὶ 237
ἀσκέρα 77
ἀσκληπιὸς 281
ἀσκωλιάζειν 81
ἀσπόρως 21
ἀστεῖος 147
ἀσωτεῖα 51
ἀτάλαντος 22. 158
ἀτίθασσος 90
ἀττικὴ 215
ἀντιπελάργωσις 177
ἄτρεπτον 236
ἄυειν 246
αὐτῆμαρ 19
αὐτόξενος 157
Ἀφειδῶς 237
ἀφείλετο 256
ἀφεὶς τὴν ὑπέραν, τὸν πόδα διώκει. παροιμία 182
ἄφενος 48
ἀφήτωρ 22
ἀφίημι 280

ἀφροδίτη 248
ἄφρων 21
ἄφυια 248
ἀχανὲς πέλαγος 22. 191
ἀχέρων 223
ἄχθος 223
ἀχιλλεὺς 223
ἄχος 223
ἄχραντον 67
ἀχρεῖος 223
ἄχρηστος 8

B

βάθρον 143
βαιὸς 12
βάλλομαι 150
βάλλω 149
βάσανος 235
βδελύττομαι 162
βεβλήκειν 187
σημαινόμενα τοῦ βέλος 149
βέλτερος 213
βιβρώσω 272
βινῶ 111
βίος 147
βιώσκω 272
βλένος 48
βοηδρομεῖν 109 146
βοηδρομία 109
βοήθεια 146
βοηθεῖν 146
βόλβιτον 104
βολεὼν 109
βολὶς 109
βόλιτον 109
βόλος 109
βόμβος 109
βοίω 147
βορὰ 109
βορὸς 109
βορρᾶς 109
βόσις 109
βόσκω 271
βόσπορος 109
βόστρυχος 109
βοτὰ 109
βότειρα ἡ γῆ 104
βοτὴρ 109
βοτρυδὸν 109
βουθοίνας ὁ Ἡρακλῆς 96
βούλιμος 191
βοῦς ἀζαλέη 45
βουλυτὸν 234
βούσιρις 258
βραβεῖον 96
βρέχω 175
βρία 256
βριάρεως 256
βρίθω 256
βρισεὺς 256
βρισηὶς 256
βρύα 252
βρύχω τοὺς ὀδόντας 105
βρυχηθμὸς 245
βύω 64
βωβὸς 110
βωθύσω 110
βωμολόχος 110
βωμὸς 110
βωνίτης 110
βῶξ 110
βῶς 110
βώσω 110
βωτιάνειρα γῆ 110. 168
βώτωρ 110

Γ

γαῖα 86
γαισσὸς 86
γαίω 10. 86
γαλαθηνὸς 190
γαλεὸς 12
γανυμήδης 224
γεγωνεῖν 86
γεγωνίσκειν 86
γείνω 111. 468

γεισσηποδίσματα 268
γεισσήποδες 269
γείσσωμα 268
γείτονες 159. 269
γειώμορος 268
γειωπείνης 268
γειώρας 268
γελοῖος 86. 168
γέλοιον 86
γένειον 86
γενέτης 86
γεννᾷν 26
γεννήτωρ 86
γένος 86
γένυς 86
γεοῦχος 86
γέρας 86
γέρανος 86
γερήνιος 86
γέῤῥα 86
γέρων 177
γεώμορον 86
γεών 86
γεωπεῖναι 86
γεωργέω 85
Γῆ 85
γηγενεῖς 268
γήδιον 131
γήθομαι 267. 268
γηθόσυνος 268
γήλοφος 268
γῆμαι 268
γήμασθαι 268
γήπελες 268
γήπεδον 268
γηπόνος 268
γηροβοσκῶ 268
γηροκομῶ 268
γηροτροφῶ 268
γηρυλλὶς 268
γηρυόνης 268
γῆρυς 268
γηρύω 268
γήτειον 268
γήτης 268
Γίγαντες 267
γιγαντιαῖος 267
γίγαρτα 267
γιεζῆ 267
γίνομαι 164. 267
γινόμενον 268
γινώσκω 163
Γλήνη 128
Γνόντες 164
γνοφομηνία 164
γνώμη 163
γνωρίζω 163
γνωσιμαχῶ 163
γνῶσις 163
γνωστὸν 235
γνωστὸς 163
Γραμμάτιον 132
γραμματεῖον 132
γρηγορεῖ 226
Γύναιξ 249

Δ

Δᾶδες 75
δαὶς 10
δαίω 10. 75
δακναίω 10
δάκρυ 94
δακτυλήθρα 117
δάος 75
δασμὸς 10
δαφοινοὶ θῶες 191
δαψιλῶς 135
Δεδίσσομαι 154
δεῖ 83. 161
δεῖγμα 104
δεῖν 104
δείδω 104. 166
δείκελον 104
δείκω 104. 86
δείλαιος 104
δείλη 104
δειλία 104
δειλὸς 104. 135

δειμαλέος 104
δειμαίνω 104
δεῖμος 104
δεινὸς 104. 189
δειρὴ 104
δειροπέδη 104
δεῖσαι 104
δέον 104
δέος 189. 239
δεῦρο 195
Δὴ 161
δηθὰ 104
δηθύνω 104
δηῒς 104
δήκω 87
δηλήμων 103
δηλητήριον 103
δηλιασαὶ 103
δῆλος 103. 190
δήμαρχος 103
δημήτηρ 104
δήμητρα 104
δημήτρειος καρπὸς 104
δημόκοινος 104
δημοποίητος 104
δῆμος 103
δημὸς 104
τὰ παρὰ τὸ δημος 63
δηναιὸν 104
δηνάρια 104
δήνεον 104
δῆρις 104
δηῶ 104
διὰ 34
διὰ τί ἢ διὰ ἐκ ἀναστρέφεται 43
διαγράφω 103
διαίνω 103
δίαιτα 103
διακονοῦμαι 102
διαλύω 234
διαμεμετρημένη ἡμέρα 103
διαρρήδην 249
διακενῆς 76
διακωδωνίζω 55. 103
διαχειρίζομαι 155
διδασκαλεῖον 152
διδασκάλιον 132
διδάσκαλος 10
δίδυμοι 102. 115. 137
διειδὴς 103
διέδρα 102
δίειμι τὸ γράμμα 279
διερὸς 103
διεσπευσάμην 103
δίζομαι 103
διηθῶ 103
διῆναι 27
διῆρες 103. 181
δικασπόλοι 102
δίκελλα 103
δίκη 102
δίκω 87
δίνη 103. 128
δινῶ 103. 111
δίοξον 103
δῖος 102. 147
δίρκη 103
δὶς 75
δίσκος 102
δισύλλαβοι προθέσεις 115
διχῆ 103
διφθέρα 77. 103
δίφρος 102
διφῶ 102
διώκω 103. 263
διώκων 264
διωλύγιον 103. 275
διώροφος οἶκος 103
Δοίδυξ 138
δοίη 138

δοιοὶ

δοιοὶ 138
δοκεύω 25
δοκιμάζω 25
δοκὸς 25
δοκῶ 24
δολιχόδειρος γέρανος 25
δολιχὸν 25
δολιχόσκιον ἔγχος 25
δόμα 25
δόμος 25
δόναξ 25
δονῶ 25
δόξα 25
δοξάριον 25
δορκὰς 25
δόρπος 25
δόρυ 25
δορύξενος 175
δορυφορῶ 25
δόσις 25
δοτὴρ 25
δότωρ 25
δόχμιον 25
δοχμὴ 25
Δρᾶγμα 93
δρομεῖς 25
δρυμὼν 167
δύσπειστος 8
Δύσπιστος 8
δίη 137
δύνω 137
δύο 137
δυῤῥάχιον 137
δυς 24. 137
δυσαναχετῶ 138
δυσείμων 20
δύσερως 138
δυσέφικτον 138
δύσκολος 137
δύσκωφος 138
δύσληπτον 138
δύσμορος 137
δύσνοια 169
δύσπειστος 8
δύσσεργον 138
δύσσωος 138
δυστράπελος 138
δυσφορῶ 138
δύσφιμος ἵππος 63
δυσωποῦμαι 125
δυσωπῶ 125
δύω 137. 198
Δωδεκαετὴς 25
δωδεκαέτης χρόνος 25
δωδωναῖος 25
δώη 25
δῶμα 25
δωριεῖς 25
δώριος 25
δωρὶς 25
δωροδοκῶ 25
δὼς 25
δωτίνη 25. 128
δώτωρ 168

E

Ε τρέπεται εἰς ι ὅταν πλεονάζῃ σύμφωνον 238
ἐὰ 225
ἐάλων 225
ἑανὸς πέπλος 225
ἐάω 225
Ἔβενος 48
Ἐγεγόνει 222
ἔγγειος 5
ἔγγιον 5
ἐγκαινίζω 47
ἐγκλίνεσθαι 158
ἐγχειρίζω 155
ἐγχειρῶ 155
Ἔδει 247
ἐδὲμ 247
ἐδεσσηνὸς 247
ἐδηδοκὼς 247
ἐδητὺς 247
ἔδνα 247

ἕδος 247
ἑδραιῶ 166
ἐδωδὴ 247
ἐδώδιμον 247
ἐδώλια 247
ἐδωλιάσαι 247
Ε῎θος ἀττικὸν 104
ἔθος Ἀττικὸν 13
ἔθος ποιητῶν 9
εἶα 7
εἶατο 127
Εἶδαρ 188
εἰδέω 166. 188
εἰδὴ 161
εἰδήμων 188
εἴδησις 188
ὑποκοριστικὰ εἰς εἰ διον 131
εἰδοὶ 188
εἴδομαι 166
εἶδος παρὰ φιλοσόφοις 187
εἴδω 123. 188
εἴδωλα 188
εἰκάζω 87
εἰκὸς 258
εἴκω 87
εἰλαπίνη 128
εἵλει 70
εἰλεὸς 71
εἵλη 70
εἰληφὼς 213
εἰλήθυια 71
εἰλήθυιαι 248
εἶλον 126
εἰλυὸς 71
εἰλῶ 70
εἰλωτία 71
εἶμα 20. 127
τὰ παρὰ τὸ εἶμα 63
εἶμαι 127
εἴμαρτο 20
εἰμὲν 20
εἶμι 20. 279
εἰμί 20. 229
εἶνα 164
εἶναι 27
εἰνοσίφυλλον ὄρος 111
εἴνω 111
εἰρημένος 239
εἰς 28
περὶ τῆς εἰς 28
εἴσατο 188
εἴσειμι 279
εἴσεισιν 279
εἴσοδος 173
εἰσόκεν 29
εἴσομαι 166
εἰσπαίω 10
εἰσπεσεῖν 269
εἰσποιητὸς υἱὸς 246
εἰσφέρω 152
εἴσω 194
Ἐκδεδιῃτημένος 103
ἐκένωσεν ἑαυτὸν 46
ἐκθρώσκω 272
ἔκειντο 272
ἐκμαίνω 84
ἐκμειλίσσομαι 172
ἐκπαίω 10
ἐκπεσεῖν 269
ἐκποιητὸς 246
ἐκπολεμόω 147
ἐκπολιορκεῖν 106
ἐκροφῶ 261
ἐκτέμνειν 26
ἐκτὸς 23
ἐκυρὸς 145
Ἐλάα 65
ἔλαιον 65. 84
ἐλάτεια 65
ἐλεγεῖον 66
ἐλέγχω 66
ἐλεεινὸς 66
ἔλεος 66. 84
ἐλεοκόποι 66

ἐλεοὺς

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/312 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

ἐλεοῦς 65
ἐλευθέριος 66
ἐλευθοὶ 248
ἐλευσὶς 66
ἑλικτῆρες 66
ἑλικὼν 66
ἐλιννύω 66
ἕλιξ 66
ἑλίσσω 66. 154
ἕλκω 126
ἐλλέβορον 66
ἑλληνίζω 55
ἑλληνοταμίαι 66
ἑλλήσποντος 66
ἐλλόβια 66
ἐλλωὶ 66
ἕλξω 66
ἑλόμενοι 66
ἕλος 167
ἕλουρος 194
ἕλοψ 66
ἕλυμα 66
ἐλύπει 233
ἔλυτρον 66
ἑλῶ 65
ἕλωρ 66
Ἔμβρυον 97
ἐμήσατο 171
ἐμὶν 18
ἔμπαλιν 249
ἐμπειρία 113. 277
ἐμπεσεῖν 269
ἐμπορεύεσθαι 106
ἔμπορος 106
ἐμφέρεται αὐτοῖς 214
ἐμῶ 97
Ἐν 28
ἐν ᾅδου 28
ἐν ἀκμῇ γάμου 102
ἐναγίζειν 200
ἐναγίσματα 200
ἔναγχος 23. 200
ἐνώπιον 125
ἐνδεχόμενον 268
ἐνδοῖ 28
ἐνδοιάζω 138
ἐνεαρίζω 55
ἔνειμι 279
ἐνεῖναι 281
ἔνεισιν 279
ἐνεὸς 199
ἐνέπω 42
ἐνετοὶ 199
ἕνη ϗ νέα 199
ἐνηὴς 199
ἐνῆκα 280
ἐνῆπται 19
ἐνθερίζω 11. 55
ἐνιαύσιον 199
ἐνιαυτὸς 199
ἐννέα 199. 271
ἐννεὸς 11
ἐννῆμαρ 19
ἔννους 199
ἕνος 48. 199
ἐνόω 199
ἐνσοριάζω 67
ἔντεα 199
ἐντὸς 23. 28
ἐνυάλιος 199
ἐνυὼ 199
ἐνώπιον 125
ἕνωσις 199
ἐνώτια 220
Ἐξ 28. 29
ἐξαίφνης 76
ἔξειμι 278
ἐξεῖναι 281
ἐξίλασμα 255
ἐξομόρξασθαι 247
Ἑορτὴ 100
Ἔπαθλον 96
ἐπανέζευξεν 242
ἔπαρχος 182
ἐπαυλοφώρω 53
ἐπεὶ 270
ἐπείγω 152
ἐπειγωλὴ 152

ἔπειμι 279
ἔπειξις 152
ἐπεισέφρησε 255
ἔπεισιν 279
ἐπέστεφεν 259
ἐπήβολος 149
ἐπηρᾶτο 253
ἐπηρεάζω 277
ἐπήρεια 277
ἐπὶ 38
ἐπὶ κρόνου 38
ἐπὶ τούτοις 38
ἐπίθετα ποταμῶν 128
ἐπιθόρνυσθαι 266
ἐπίκλιντον 129
ἐπίκτητα 236
ἐπίκλητον 236
ἐπίμηκες 171
ἐπιμωμητὸς 245
ἐπιπεσεῖν 269
ἐπιρρήματα εἰς ω 195
ἐπιρρήματα τὸν τόνον καὶ τὴν γραφὴν φυλάττουσιν ὀνομάτων, ἀφ' ὧν γίνονται 142
ἐκ πόσων πτώσεων γίνεται ἐπιρρήματα 22
ἐπιρρήματα εἰς ι, καὶ εἰς ει 237
ἐπισιτίζεσθαι 69
ἐπιταγματικαὶ ἀντωνυμίαι 17
ἐπιτριηράρχημα 76
ἐπιφυλλίδες 251
ἐπίχειροι 197
ἐπιωγαὶ 264
ἐπομβρία 239
ἔπω 126. 255
ἐπώνυμος 214
Ἔρα 77
ἐρανάρχαι 243
ἐρεείνω 111
ἐρείδω 166
ἐριαύχην 191
ἐριβῶλαξ γῆ 110
ἐρίζω 54
ἐρινεὸς 11
ἐρκίον 132
ἕρπω 127
ἐρρωδιὸς 281
ἔρυμα 106
ἐρύω 64
ἔρως 259
Ἐσθὴς 165
ἐσθίω 7
ἐστὲ 270
ἐστιῶ 127
Ἑταιρεῖος 147
ἑταῖρος 159
ἐτεία 222
ἐτεκτήνατο 214
ἑτερόμηκες 171
διὰ τί ἑτέρωθεν καὶ τὰ ὅμοια διὰ τοῦ ω μεγάλου γράφονται 195
ἔτης 159. 220
ἐτήσιον 222
ἕτοιμος 115
ἔτυμος 115
ἐτώσιον 24
Εὖ 24
εὐδοκιμῶ 25
εὐθέως 132
εὐλογῶ 59
εὐμένεια 169
εὔνοια 169
εὔπειστος 8
εὔπιστος 8
εὐσέβεια 88
εὐσεβὴς 88
εὐσχήμων 62
εὐτράπελος 138
εὔτροπος 232

εὐ-

εὐφημεῖν 160
εὔφιμος ἵππος 63
εὐφορία 51
εὐφόρως 24
εὐφροσύνη 95
εὐχαίτης ἵππος 163. 220
εὐχέτης 220
εὔχρηστος 8
Ἐφῆκα 280
ἔφοδος 173
ἐφ' ᾧ 39
Ἐχεμυθῶ 175
ἐχενηῒς 175. 257
ἐχέτλη 175
ἔχθος 175
ἐχθρὸς 106. 175
ἐχῖνος 175
τρία εἴδη τοῦ ἐχίνου 273
ἔχις 175
ἐχυρὸν 175
ἔχω 175
Ἑῶ 127. 166
ἕω 229

Z

Ζαμερδνὴ 191
Ζειὰ 193
ζέω 9
Ζορκὰς 113
ζοφομηνία 113
Ζωάγρια 113
ζωγρῶ 113
ζωὴ 113
ζωμὸς μέλας 113
ζώνη 113
ζωροπότης 113
ζωρὸς 113
ζωΰφιον 113

H

Ἡ 258
Ἡβαιὸς 12
σημασίαι τοῦ ἡγεῖσθαι 261
Ἧδε 187
ἤδειν 187
ἡδέως 238
ἤδη 187
ἥδομαι 167
ἦδος 187
ἡδυεπὴς 187
ἡδύνω 187
ἡδύοσμον 187
ἡδύσματα 187
ἡδωνοὶ 187
Ἠεροφοῖτις 6
ἠεροφῶνοι κήρυκες 6
Ἦθος κίβδηλον 74
Ἥκω 87
Ἠλάσκω 256
ἠλεὶ 71
ἠλεῖος 276
ἠλεὸς 71
ἠλιὰς 71
ἡλικίαι ἑπτὰ 176
ἥλιος 221. 276
ἡλκώμενος 126
ἠλύγη 71
Ἠμαθόεις 19
ἦμαρ 19
ἠμάτιον 19
ἡμεδαπὸς 18
ἥμενος 18
ἡμέρα 18. 21. 75
ἡμερησία ὁδὸς 18
ἡμερὶς 18
ἡμερόκοιτος 19
ἥμερος 18
ἡμερότης 18
ἡμέτερος 16
ἡμὶ 19. 20. 157
ἡμιδαὴς 19
ἡμίεκτον 19
ἡμιμέδιμνον 19
ἡμίονος 19
ἡμιόλιον 19
ἦμος 18
ἠμύω 18. 20
ἡμωδὸν 19
ἥμων 19

Ἦν 229
ἦν, τρίτον πρόσωπον τῶν πληθυντικῶν πόθεν γίνεται 229
Ἦξεις 188
Ἠπῶ 247
Ἤρημαι 239
ἡρημένος 239
Ἦσε 265
ἤσκειν 187
ἧσσω 194
ἠςὸς 8
ἧσω 194
Ἤτοι 138
Ἠϋγένειος 6
ἠΰς 6
Ἠὼν 6. 265
ἠὼς 6. 265

Θ

Θαιμὰν 11
θαιρὸς 11. 115
θαμειὸς 282
θανάσιμον φάρμακον 62
θανάτιμος 62
θαυμάζειν 147
θαυμαςὸν 236
Θέαινα 10
θεαίτητον 11
θεατὴς 10
θεωρεῖον 10
θεέω 147
θεήλατος ὀργὴ 11
θειάζω 149
θειασμὸς 149
θειητὸς 245
θεῖναι τὸν νόμον 11. 27
θείνω 111. 149
θεῖος 146. 149
θέλω 11
θεμέλιον 11. 143
θέμις 11
θέναρ 11
θεοδώρητος 246
θεοὶ 9
θεοίνια 10
θέοινος 10
θεόκλειτος 246
θεόκλητος 246
θεοκλητῶ 11
θεόληπτος 11
θεομηνία 11
θεὸς 10
θεοτόκος 45
θεράπαινα καὶ θεραπαινὶς 11
θερίζω 55
θερίζω τὸ λήϊον 55
θερμοπύλαι 10
θέρμια 11
θερσίτειον 11
θέρω 11
θεσβίτης 11
θέσθαι 11
θέσθαι τὸν δῆμον 11
θεσμὸς 11
θέτις 11. 225
θετταλία 11
θεῶ 166
θέω 10
θεῶμαι 147. 166
θεωρικὰ χρήματα 10
θεωρὸς 10
Θῆβαι 148
θηβαῖος 148
θηγάνη 148
θήγω 148. 152
θηητὸς 149
θηλὴ 149
θηλυκὰ ἀπὸ τῶν εἰς ης 258
θημὼν 149
θήπω 247
θηράω 149
θηρεύω 149
θηρητὴρ 149
θηρίκλειον 149

θὴς

θῆς 148
θησεῖον 148
θησεὺς 148
θῆσσα 148
θητεία 148
θητικὸν 148
θητικὸν ςράτευμα 149
Θίασος 148
θιασῶται 148
θίβη 148
θιγγάνω 148
θίγω 148. 152
θὶν ϗ θὶς 148
Θοάζω 265
θοὴ ἡ ναῦς 266
θοίνη 95. 209
θοινῶμαι 95. 209
θολερὸν ὕδωρ 266
θόλος, θολία 266
θολόω 266
θορὸς 266
θορυβέω 266
θόρυβος 266
θορῶ 266
Θρασυμήδης 224
θρεπτήρια 231
θριγγίον 132
θριδακίνη 128
θρώσκω 272
Θυμήρης 257
θυμοδακὴς μῦθος 95
θύνω 64
θυρεὸς 11. 209
θύω 64. 208
Θῶ 9
θῶες 266
θωὴ 266
θῶκος 265
θωμᾶς 266
θώμιγξ 266
θωπεία 266
θώραξ 266
θώρηξις 266
θωρήσσω 154.
θωρίσσω 266
θὼψ 50. 138. 266

I

Ἰάλεμος 5
ἰάλλω 5
ἰάπτω 5
ἰὰς 185
ἰάσιμος 62
ἰατταταὶ 5
ἰατταταιὰξ 5
ἰαχὴ 5
ἰαὼ 5
Ἰδαῖος 238
ἰδάλιμος 186
ἴδε ἐπίῤῥημα 186
ἴδε ῥῆμα 186
ἰδέα 186
ἴδη 151. 186
ἴδιον 186
ἰδίω 186
ἰδιόξενος 157
ἰδιώτης 186
ἰδομενεὺς 186
ἴδος 186
ἰδοὺ 187
ἰδουμαῖοι 186
ἴδρις 186
ἰδρύω 186
ἰδρῶ 186
ἱερεῖον 5
ἱερεύω 5
ἱεριχούντιος 5
ἱεροσόλυμα 115
ἱερουσαλὴμ 5. 116
ἰήϊος 6
Ἰησοῦς 5. 7
ἰθάκην κατακοιρανέουσιν 43
ἴισκω 272
ἴκελος 118
ἰκεσία διὰ τί διὰ τοῦ ι 50
ἰκετηρία 220

ἱκέτης 50. 220
ἱκκὸς 258
ἱλαρίων 256
ἱλαρὸς 256
ἱλαρύνω 256
ἱλάσιμος πρόνοια 255
ἱλάσκομαι 255
ἱλασμὸς 255
ἱλεὸς 71
ἱλεῶ 166. 255
ἴλη 71
ἰλιὰς 185
ἴλιον 215. 221
ἴλιον εἴσω 43
ἴλιος 221
ἱμαῖον ἆσμα 19
ἱμὰς 19
ἱμάσθλη 19
ἴμβρος 20
ἱμείρομαι 19
ἱμείρω 19
ἱμερόεις 19
ἵμερος 19
ἱμερτὸς 19
ἱμονιοστρόφος 19
ἱμωνιὰ 19
ἵνα 164
ἰοδόκη 6
ἰόμορος 6
ἰὰν 265
ἰὸς 6
ἰότης 6
ἰοὺ 6
ἰοχέαιρα 6. 78
ἱπποφορβὸς 54
ἶρος 257
ἰσμήνη 128
ἰσοφαρίζειν 213
ἰσοφόροι 213
ἰστέον 145
ἰστὸς 8
ἰσχυρὸς 144
ἰῶ 5
Ἰωάννης 53
ἰωβηλαῖος 6
ἰωὴ 264
ἰωκὴ 6
ἰὼν 264
ἴωνες τῷ θηλυκῷ ἀντὶ ἀρσενικοῦ χρῶνται 217
ἰωνιὰ 6. 261

K

Καδμεία, ἀκρόπολις τῶν Θηβῶν 147
καδμεία νίκη παροιμιωδῶς 147
καδμεῖος 147
καθαρὰ 70
καθεῖναι 281
καθῆκα 280
καικίας 47
καινὶς 47
καινὸν 47
καίνω 47
καιρεία 47
καιρὸς 47
καισαρεὺς 47
καίω 47
κακίζω 55
καλάνδαι αἱ παρὰ ῥωμαίοις 121. 188
καλιὰ 196
κάλον 73
κάμαλος 156
καμμύω 184
κάμνω 156
κανὼν περὶ πατρωνυμικῶν 223
κανὼν περὶ τῆς αι καὶ οι διφθόγγου, καὶ τοῦ ι ἐν τοῖς ἀορίστοις 215
καρυκεύματα 187
κατὰ 32
καταὶ 43

κα-

κατὰ κράτος 23
καταλογάδην 248
καταλύει τὴν τυραννίδα 234
κατάλυμα 234
καταρχὴ 59
καταχεδιάζω 59
κάτειμι 279
κατόπιν 249
κατλύω 64
Κέαρ 45
κέβρην 45
κεδνὸν 46
κεῖθι 74
κειμήλια 74
κεῖνος 74
κεῖος 147
κειρία 74
κείρω 278
κεῖσε 74
κεκλίσθαι 129
κεκορυθμένος 79
κεκράκτης 46
κεκροπὶς 46
κεκρύφαλον 46
κεκρύφαλος 46
κελαδεῖ 46
κελαδεινὴ 279
κελαδεινὸς 46
κελάδημα 46
κελαινὸν 46
κελαρίζειν 46
κέλευθος 133
κελλίον 132
κέλυφος 46
κεμὰς 46
κενεὸν 46
κενεὸς 11
κενήριον 46
κενὸν 46
κεντῶ 46
κενῶ τὸ ἀγγεῖον 46
κενώσιμον φάρμακον 46
κέπφος 46
κεραΐζω 46. 55
κεραμεικὸς τόπος 47
κεραμεῖς 47
κεραμεοῦν σκεῦος 47
κέρας 46
κεράσια 47
κέρασος 47
κερδαλέος 47
κέρδος 47
κερδῶ 47
κερδῷος 47
κερκίδες 47
κέρκωπες 47
κεροίαξ 46
κερῶ 46
κερώκοπον ξίφος 46
κεστὸς 47
κεστρεὺς 47
κευθμὼν 167
κεφαλὴ 47
κεφαλῆθεν 47
κέφαλος 47
κέως 47
Κηδὰρ 73
κηδεία 72
κηδεμὼν 167
κηδεστὴς 72
κηδεύω 72
κήδομαι 72. 167
κηκάζω 72
κηκασμὸς 72
κηκὶς 73
κῆλα 73
κήλειον πῦρ 73
κηλεὸς 73
κηλήτης 73
κηλὶς 72
κηλόνειον 73
κηλῶ 73
κηλώνιον 73
κημὸς 72
κημῶσαι 72

κῆναι 27
κήνας 73
κῆνσος 72
κῆπος 73
κὴρ 45. 73
κηρίον 72. 132
κηρὸς 73. 132
κηρύττω 149
κῆτος 73
κηττοὶ 73
κηφὴν 73
κῆχος 23
κηώδης 73
Κίβδηλον 74
κιβδηλότροπος 74
κιγκλίδες 74
κίδαρις 74
κίσσιρις 258
κιθαιρὼν 74
κιθάρα 74
κιθαριστὴς 74
κιθαρῳδὸς 74
κίκι 74
κικλήσκω 272
κιμμέριοι 74
κινάδιον 74
κίναδος 74
κιννάβαρι 74
κινύρα 74
κινῶ 74
κίος 74. 147
κίῤῥα 74
κιῤῥαῖον πεδίον 74
κιῤῥὸν 73
κιῤῥὸς 135
κὶς 74
κίσσα 73
κισσᾷν 73
κησσηὶς 257
κισσὸς 73
κισσύβιον 74
κίστη 74
κίτρον 74
κιχείω 74
κίχλα 74
κιχρῶ 74
κίχω 74
κιχώρια 74
κίων 74
Κλειτὸς 131
κλεῖθρον 131
κλείω 131
κληδὼν 130. 241
κληΐζω 131
κλῆμα 130
κληματίδες 130
κλήμης 130
κληρονόμοι 130
κλῆροι 130
κλῆρος 130
κληροῦχος 130
κληρώσασθαι 130
κλῆσις 130
κλητεῦσαι 130
κλητὴ ἡμέρα 130
κλητῆρες 130
κλητώριον 131
κλητὸς 130
κλίβανος 130
κλίμαξ 130
κλίματα 130
κλίνειν 129
κλίνη 128
κλινήρης 130. 257
κλινίδιον 128
κλινοπετὴς 130
κλιντήριον 129
κλίνω 129
κλισία 129
κλισιάδες 129
κλίσιον 129
κλισμὸς 129
κλιτὺς 130
κλύω 64
κλώζω 109
κλὼψ 138
Κνίζω 55
Κόβαλος 79
κογχύλη 80
κοδράντης 80

κό-

κόθορνος 78
κοιαίστωρ 4
κοίας 4
κοιεσσίτωρ 4
κοῖλον 4
κοιμίζω 4
κοινεῖον 4
κοινὸν 4
κοινῶ 4
κοιόλης 4
κοίρανος 4
κοισσιρῶ 4
κοίτη 4
κοιτὼν 4
κόκκος 78
κόκκυξ 78
κολοιὸς 80
κολοκύνθη 80
κολοσσὸς 80
κολούειν 79
κολούω 79
κολοφὼν 79
κολοφῶνες 117
κολυμβήθρα 117
κολυμβῶ 117
κόλυμος 115
κολωνὸς 79
κόμη 78. 278
κόμης 79
κομιδὴ 78
κομίζομαι 78. 136
κομίζω 78. 97. 136
κόμμι 80
κομψεία 79
κομψὸς 79
κομῶ 78
κόναβος 80
κόνδυ 80
κόνδυλος 79
κονία 80
κονῖομαι 7. 80
κονιῶ 80
κοπάζω 80
κόπις 79
κόπτω 79
κόρδαξ 79
κόρη 80
κόρις 79
κορὸν 79
κόρος 79
κόρρη 80
κόρση 79
κορύβαντες 80
κορυβαντιῶ 80
κόρυβος 80
κόρυδος 80
κορυθαίολος ἕκτωρ 79
κορύνη 79
κορυνήτης 79
κόρυς 79
κορύσσομαι 79
κορυστὴς 79
κορωνὶς 80
κοσμοκράτωρ ὁ διάβολος 78
κόσμος 78
κόταβος 80
κοτὲ 80
κότινος 79
κότος 78
κόττος 78
κουλεὸς 11
κοτύλαιον 79
κοτύλη 80
κοχώνη 79
κόψιχος 79
Κρανίον 132
κράνος 79
κρήνη 128
κρύβδην πράττειν 249
Κτείνω 111. 235
κτείνων 235
κτεὶς 237
τὰ παρὰ τὸ κτῆμα 63
κτήματα 236
κτήνη 236
κτηνοστασία 236

κτη-

κτηνώδης 236
κτησείδιον 236
κτησίας 236
κτήσιος ζεὺς 237
κτησιφῶν 236
κτητὸν 236
κτίλος 236
κτιννύω 236
κτίσις 236
κτιστὸν 235
Κύαθος 3
κύαμος 3
κυαμοτρὼξ 3
κυάνεον 3
κυανοχαίτης 3
κυανοχαίτης ποσειδῶν 163. 220
κυβιστὴς καὶ κυβευτὴς 2
κυβιστῶ 3
κῦβοι 2
κῦβος 2
κυδαίνω 3
κυδόμος 3
κῦδος 3
κυδωνία 3
κυδώνιον 3
κύειν 3
κυθέρεια 3
κύθνιος 4
κύθνος 4
κυκεὼν 3
κυκλέω 2
κυκλόω 2
κύλινδρος 2
κυλλήνη 2
κύλιξ 3
κυλλὸς 2
κυλαιδιῶ 4
κυμαίνειν 2
κύμβαλα 3
κύμβαχος 3
κυμινοπρίστης 3
κύνες 3
κυνῆ 3. 79
κυνηγὸς 3
κυνηδὸν 3
κυνόσαργες 4
κυπρογένεια καὶ κύπρις 3
κύρβεις 4
κυρέω 3
κυρήνη 3. 128
κύριος 2
κυρίττω 3
κῦρος 2
κυρόω 2
κυρῶ 2
κύστις 4
κῦτος 2
κυφὸς 3
κυψέλη 3
κυψελὶς 3
κύων 3
Κωβιὸς 81. 281
κωδίκιλλος 81
κώδιον 80
κώδων 80
κωδωνίζω 55
κώθων 80
κωθώνιον 80
κῶϊος 81
κωκυτὸς 80
κωκύω 64. 80
κῶλα 81
κωλιὰς 81
κωλύμη 81
κῶμα 80
κώμη 80
κῶμος 80
κῶμυς 81
κώνειον 81
κῷος 81
κώπη 81
κωπωτὴρ 81
κωρύκιον ἄντρον 81
κῶς 81. 258
κωτίλλω 81
κώτιλλος 81

Λ Λαί-

Λ

Λαίθαργος 94
λαίλαψ 94
λαίμαργος 94
λαιμὸς 94
λαιὸς 12. 94
λαισήϊον 94
λαῖτμα 94
λαῖφος 94
λαιψηρὸς 94
λάκωνες 215
λαυκανίας 94
Λεαίνω 93. 219
λεβηρὶς 93
λέβης 93
λεγεὼν 93
λεῖα 219
λείβω 219
λεῖμμα 219
λειμὼν 167. 219
λεῖον 219
λειποθυμῶ 219
λειπόκρεως 219
λείπομαι 219
λείπω 219
λείρια 219
λειριόεσσα φωνὴ 219
λειφαιμῶ 219
λείψανον 219
λειψυδρία 219
λειῶ 219
λέκυθος 93
λέμβος 93
λέμφος 93
λέπω 93
λέσβος 93
λέχαι 93
λευκὰς 94
λεύκη 94
λευκὸν χρῶμα 94
λευκώλενος 94
λευχείμων 20
λεύω 94
λεχὸς 94
λεχὼ 93
λεὼς 12. 93
λεωφόρος 93
Λήβω 218
λήγω 152. 218
λήδα 218. 215
λήθη 218
λήθω 218
ληΐδιον 218
ληΐζομαι 55. 218
ληΐον 218
ληῒς 218
λήϊτον 218
ληκύθιον 218
λήκυθος 218
ληκῶ 87
λῆμα 219
λῆμμα 218
λημμᾶν 218
λήμμη 218
λῆμνος 218
ληνὸς 218
ληξιαρχικὸν γραμματεῖον 218
λῆξις 218
λῆρον ληρεῖς 218
λῆρος 218
ληρωδεῖν 218
ληρωδία 218
λήσεις 188
λήσαρχος 219
λητὼ 218. 262
λήχω 218
Λιάζω 217
λίαν 216
λιαρὸν 217
λιβάδιον 217
λιβάνιος 216
λίβανος 217
λιβανωτὸς 217
λιβὰς 217. 219
λιβύη 217
λιγαίνω 216
λιγεῖα φωνὴ 216
λιγὺς 216

λιγύφθογγος ἀηδὼν 216
λίζιος 218
λιθοξόος 217
λίθος, ὁ καὶ ἡ. 217
λίθος παρ' ἀθηναίοις 217
λικίνιος 216
λικμῶ 217
λίκνον 217
λικνοφόρος 217
λιλαίομαι 10. 216
λιμβεύομαι 217
λιμβὸς 50. 217
λιμὴν 217. 264
λίμνη 216
λιμὸς 216
λίνον 218
λίνος 190
λὶξ 218
λιπάρα 217
λιπαρὲς 216
λιπαρὸς 216
λιπαρῶ 216
λιπόκρεως 216
λίπος 216
λιπόσαρκος 216
λίπτω 218
λὶς 216
λίσσομαι 217
λισσὸν 218
λιτάζομαι 217
λιτὴ 216
λιτὸν 216
λίτρον 217
λιχανὸς 217
λίχνος 50. 217
λὶψ 216
Λοβός 60
λογεῖον 60
λογίζομαι 60
λόγιος 60
λογισμὸς 60
λογιστὴς 60
λόγος 60
λόγχη 60
λόγχμη 60
λοιβὴ 219. 235
λοίγια ἔργα 235
λοιγὸς 235
λοιδίας 235
λοιδοροῦμαι 235
λοιδορῶ 235
λοιμὸς 235
λοιπὸν 257
λοξίας 60
λοπὰς 60
λόφος 60
λοχαγὸς 60
λοχεία 60
λόχος 60
λοχῶ 60
Λυγίζειν 234
λυγμὸς 234
λύγος 234
λυδία 235
λύδιον ἅρμα 235
λύδιος τόνος 235
λυδὸς 235
λύειν τέλη 234
λύθρον 234
λυκάβας 234
λύκειον 234
λύκιοι 234
λυκοῦργος 234
λύμα 234
λυμαίνομαι 234
λυμαντὴρ 234
λυμεὼν 234
λύμη 234
λυπεῖσθαι μετὰ τῆς συν προθέσεως οὐ λέγεται 233
λυποῦμαι 234
λυπῶ 234
λῦσις 234
λυσιτελεῖν 234
λύσσα 235
λυσσᾶν 235
λυτὴρ 234
λύτρα 234

λυτροῦμαι 234
λυτρωτὴς 234
λύω 233
λῶ 61
λώβη 40. 61
λωβητὴς 61
λωβητὸς 61
λωβῶμαι 61
λῶμα 61
λῷον 61
λώπιον 61
λωποδύτης 61
λῶπος 61
λῷστος 61
λῶτ 61
λώτινοι 61
λωτὸν 61
λωτὸς 61
λωτοφάγοι 61
λωφᾷν 61

M

Μαῖα 84
μαίανδρος 84
μαιεία 84
μαιμάσσω 84
μαιμῶ 84
μαίνανδρος 84
μαινὰς 84
μαινίδες 84
μαῖρα 77
μαιῶτις 84
μάιωτρον 84
μάκαιρα 78
μαρία 49
μαρμαίρειν 155
μαστροπὸς 125
μάτην 248
μαχέσομαι οὐκ ἐν πολλῇ χρήσει, ἀλλὰ μαχοῦμαι. 176
Μεγαίρω 82
μέγαρα 82
μεδέω 82
μέδιμνος 19. 82
μέδων 82
μεθημοσύνη 82
μεθήμων 82
μεθίημι 82. 280
μέθυ 82
μειδίας 172
μειδιῶ 172
μείζων 172
μείλιγμα 172
μείλινον δόρυ 172
μειλίσσομαι 172
μειλίσσω 154
μειλίχιος 172
μειονεκτῶ 172
μείρακες 172
μειράκια 172
μειράκιον 176
μειρακύλλια 172
μεὶς 172
μειῶ 172
μείων 172
μελανειμονῶ 83
μελεδὼν 82
μελεδωνὸς 82
μέλει 83
μέλειν 83. 162
μέλεος 83
μελέτη 162
μέλη 82
μεληδὸν 83
μελιηδὺς 83
μέλης 83
μελίζειν 82
μελίνη 82
μέλισσα 83
μελίσσειον 83
μελίτη 82
μελιχρὸν 82
μελίχρους 82
μέλλειν 83
μέλος 82
μεμακτηριὼν 84
μεμάκτης ζεὺς 84
μεμαὼς 83
μένδη 82
μενοινὴ 83

μέ-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367409461/325 gefördert von der Deutschen Forschungsgemeinschaft

μένος 48
μένω τινὰ 81
μέρδειν 75. 191
μέροψ 83
μεῤῥὰ 82
μεσεγγυήσασθαι 81
μεσέγγυος 82
μεσημβρηνὸς 189
μεσημβρινὸς 189
μεσήνη 128
μέσπιλον 83
τῆς μετὰ διάφορα σημασίαι 35
μεταίχμιον 83. 175
μεταλαμβάνω 82
μέταλλα 82
μεταλλᾶν 82
μεταλλεῖς 82
μεταπύργια 82
μεταχειρίζομαι 155
μέτειμι λόγους 279
μετοίκιον 82
μέτοικος 82
μετοιωνίσασθαι 82
μετριάζω 82
μέτρον 82
μετρονόμοι 82
Μὴ 169
μήδεα 171
μήδεια 171
μῆδοι 171
μήδομαι 167. 224
μήθω 172
μηκεδανὸς 171
μηκηθμὸς 172
μήκιστος 171
μήκων 171
μῆλον 172
μηλωτὴ 172
μὴν 171
μήνη 171
μήνιγξ 172
μηνιθμὸς 172. 208
μῆνις 172
μηνίσκοι 172
μηνίω 7. 172
μηνύω 172
μηονία χώρα 172
μήρινθος 172
μηρυκίζειν 172
μηρύομαι 172
μήσομαι 171
μῆτις 171
μήτρα 117. 172
μητρικὰ πάθη 172
μητρυιὰ 172
μήτρων 172
μητρῷον γένος 172
μητρῷον 172
Μιαίνω 170
μίδας 171
μίκυλλος 171
μίλητος 171
μίλιον 170
μίλτος 171
μίμνω 171
μιμῶ 171
μὶν 18. 171
μίνθος 171
μινυὸς 171
μινυρίζω 171
μίνως 171
μισητὸς 245
μισθὸς 170
μισθοῦμαι 171
μισθόω 170
μισθωτὸς 170
μῖσος 170
μισῶ 170
μίτος 171
μίτρα 171

μιτυ-

μιτυλήνη 128
μιχαίας 171
Μνημεῖον 72
μνηστεία 72
μνηστεύω 72
μνηστὴ 72
μνηστὴρ 72
μνῆστις 72
Μοῖρα 185
μοιροκλῆς 185
μοῖσα 185
μοιχαλὶς 185
μοιχὸς 185
μονιὸς 281
μόρια ἐπιταλικὰ 191
Μύδρος 185
μυδῶν 185
μυήσομαι 184
μυκηθμὸς 185. 245
μυκῆναι 128. 185
μύκλος 185
μύλαι 184
μύλη 184
μύλος 184
μυλωθρὸς 184
μίλων 184
μύξα 184
μύρα 184
μύρια 184
μυρμηκιὰ 185
μύρομαι 184
μύρον 184
μυῤῥίναι 184
μύρων 184
μῦς 184
μυστάττομαι 170. 184
μυσία 184
μύσος 170. 184
μυσταγωγὸς 168. 184
μύσαξ 184
μύστης 184
μυσῶν λεῖα, παροιμία 184
μυχαίταλος 185
μυχία 185
μυχὸς 185
μυωξία 184
μυωπίζω 185
μύωψ 185
Μωμητὸς 245

N

Ναὶ 57
ναΐδες 227
ναίω 10. 57
νᾶμα 108
νασὸν 4
πῶς κλίνεται ἡ ναῦς 212
νάω 108
Νεαλὴς 56
νεανεία 56
νεανίσκος 177
νεάτη 56. 227
νέατον 56
νεβρὸς 56
νεήλατα 56
νέηλυς 56
νείαιρα 78. 227
νεῖκος 227
νεικῶ 87. 227
νεῖλος 227
νεῖν 227
νειὸς 228. 282
νειρεὺς 225
νείφει 228
νέκταρ 56
νεμέσεια 56
νέμεσις 56
νεμεσῶ 56
νέμω 56
νεογιλὸς 56. 135
νεολαία 56
νέομαι 56
νεομηνία 56
νεοσσὸς 56
νεόττια 121
νεοττίον 56

νέπους 56
νέω 56
νεῶ 56
νεωκόρος 56
νέωμα 56
νεώριον 56
νεὼς 56
νεώσοικος 56
εἰς νέωτα 56
Νήγρετος 226
νήδυμος ὕπνος 137. 226
νηΐδες 227
νήϊον 226
νῆϊς 226. 257
νηΐτης νόμος 227
νηΐτης στρατὸς 227
νηλεὺς 227
νήλιπος 227
νήποινος βίος 226
νηρεὺς 225. 227
νηρηΐδες 227
νηρηῒς 257
νήριτον 227
νήσαντες 227
νῆσσα 227
νῆστις 227
νήτη 227
νήφει 226
νήφω 226
νήχεσθαι 227
Νικαεὺς 226
νίκαια 225
νικάνωρ 226
νίκη 226
νικήτας 226
νικόδημος 226
νικόλαος 226
νικομήδεια 226
νικομηδεὺς 226
νικῶ 87. 226
νίκων 226
νιμμὸς 226
νὶν 18
νινευὶ 226
νινευῖται 226
νιόβη 226
νιπτὴρ 226
νίπτω 226
νιρεὺς 225
νίσα 226
νισαῖος 226
νιτρίας 226
νίτρον 226
νίφει 226
νιφετὸς 226
Νοθεύω 121
νόθος υἱὸς 121
νομάδες 121
νομεὺς 121
νόμιον μέλος 121
νόμος 11
νομοφύλαξ 121
νόναι καὶ εἴδοι αἱ παρὰ ῥωμαίοις 121
νοσήλιον φάρμακον 121
νόσημα 121
περιοδικὰ νοσήματα 173. 178
νοσοκομεῖον 121
νοσσιὰ 121
νόσιμον 121
νόσος 121
νοσφίζω 121
νόσφιν 121
νοσφισμὸς 121
νόται 121
νοτάριος 121
νοτίζω 121
νότιοι θῆρες 121
νότιον μέρος 121
νοτὶς 121
νότος 121
νουμηνία 122
Νὺ 58
νυκτάλωψ 58
νύκτερος 58
νυκτιλόχος 58
νυκτιπόλος 58

νυκτῶν μέσον 57
νύκτωρ 58
νυμφαγωγὸς 168
νύμφαι 227
νυμφεύτρια 58
νυμφίος 58
νυμφοστόλος 58
νυμφὼν 58
τῦ νῦν διάφοραι σημασίαι 57
νυὸς 58
νύσσα 58
νύσσω 58
Νωδὸς 122
νώδυνον 122
νωθὴς 122
νωθρὸς 122
νῶϊ 122
νῶϊν 123
νωΐτερος 15
νῶκαρ 122
νωλεμέως 122
νωμῶ 122
νῶροψ 122
νωτάριος 122
νωτίζω 122
νῶτον 122
νωχελὴς 122

Ξ

Ξαίνω 10. 157
Ξενίζω 55. 157
ξενικὸν στράτευμα 157
ξένιος 159
ξενιτευόμενοι 157
Ξιφήρης 257
Ξὺν 29
ξυνὸν 29
ξυρὸς 145

O

Ο πίσα σημαίνει 20
Ὀβελίζω 55
ὀβολὸς 276
Ὀδαγὸς 174
ὀδάξ 174
ὅδε 174
ὀδμὴ 174
ὀδοιδόκος 174
ὀδὸς 173
ὀδυνῶμαι 174
ὀδύρομαι 174
ὀδύσσεια 174
ὀδυσσεὺς 174. 223
ὀδύσσομαι 174
Ὀθνεῖος 174
Οἱ 126
οἰάτειον κρέας 183
οἰκέτης 220
οἰκεῖαι 220
οἰκῆαι 220
οἰκία 220
οἰκτείρω 126
οἰκτίζομαι 126. 281
οἶκτος 126
οἴμαι 146
οἴμοι 146
οἶμος 115. 146
οἰμωγὴ 146
οἰμώζω 146
οἴνη 95
οἷον σχετλιαστικὸν 141
τὰ ἀπὸ τῦ οιος προπερισπώμενα 142
οἷος 142. 168
οἴσεις 188
οἴχομαι 105. 221
οἴω 65
οἰωνίζομαι 55
Ὀλαὶ 274
ὀλβίζω 273
ὄλβιος 273
ὄλβος 273

ὀλέω 273
ὀλιγαρχῆς 273
ὀλίγον 273
ὀλιγωρεῖν 273
ὀλισθαίνει 274
ὀλισθηρὸς 274
ὁλκάδες 274
ὄλλυμι 273
ὀλλύω 64. 273
ὄλλω 272
ὅλμος 274
ὁλοέχινος 273
ὀλολυγαὶ 274
ὅλος 273
ὀλυμπία 274
ὀλύμπια, ὀλυμπιάδες 274
ὄλυμπος 274
ὄλυνθοι 274
ὄλυρα 274
Ὅμαιμος 97. 239
ὁμαίμων 97. 239
ὁμαρτῶ 239
ὄμβριμον ὕδωρ 239
ὄμβρος 239
ὁμευνετέω 219
ὁμευνέτης 220. 239
ὁμήγυρις 239
ὁμήλικες 239
ὁμηλικίη 239
ὅμηρα 239
ὁμηρίδαι 239
ὁμιλαδὸν 241
ὁμιλίαι 241
ὅμιλος 241
ὁμιλῶ 241
ὄμμα 136. 241
ὄμνυμι 239
ὁμόγνιος 241
ὁμοερκὲς 241
ὁμόθεν 241
ὁμοῖος 168. 142
ὁμοκλῶ 241
ὅμορξα 241
ὀμόρξασθαι 241
ὁμόσε 241
ὁμοῦ 240
ὀμοῦμαι 240
ὄμφακες 241
ὀμφάκινον ἔλαιον 241
ὄμφαξ 136
ὄμφη 241
ὄμφη καὶ ὄσση 130. 241
ὁμώνυμος 241
ὅμως 241
Ὀνῖναι 27
ὀνόματα διὰ τοῦ αγωγος 168
ὀνόματα εἰς οιος 168
ὀνόματα γινόμενα κατὰ ἀποβολὴν τοῦ τ δασύνεται 142
ὄντως 267
ὄνυμα αἰολικῶς 194
Ὁρατὸν 236
ὀργὰς 100
ὀργεῶνες 100
ὄργια 100
ὀργιάζειν 100
ὄργιον 132
ὀργῶ 101
ὄρειος δίαιτα 101
ὀρεὺς 101
ὀρεωκόμος 101
ὄρθιον 101
κανόνες τῆς ὀρθογραφίας 63
ὀρθόω 161
ὀριγνῶμαι 101
ὀρικὸν ζεῦγος 101
ὀρίνω 101. 111
ὅριον 101
ὁρμίζω τῆς ναῦν 101

ὁρμί-

ὀρμίσκος 101
ὀρμῶ 101. 277
ὄρος 101
ὄρος 101
ὀρούω 101
ὄρπηξ 101
ὀῤῥόντειον ὕδωρ 101
ὀῤῥόντης 101
ὀῤῥόμενα κύματα 101
ὀῤῥοπύγιον 101
ὀῤῥὸς 101
ὄῤῥω 101
ὀῤῥωδῶ 101
ὄρυγμα 101
ὀρφανοτροφεῖον 231
ὀρφνὴ 101
ὄρχαμος 101
ὀρχήστρια 101
ὀρχηστρὶς 101
ὁρώμενα 101
Ὀστράκινον σκεῦος 47
Ὅτε 18
ὅτι 108
ὅτλη 108
Ὀυδαμόθεν 195
Ὀφειλέτης 140
ὀφειλὴ 140
ὀφείλω 140
ὀφέλλω 140
ὄφελος 140. 230
ὀφθαλμὸς 139
ὄφλημα 140
ὀφλισκάνω 140
ὄφρα 140
ὀφφίκιον 140
Ὄχα 21
ὄχθη 167
Ὄψ διὰ τί γράφεται διὰ τοῦ ο μικροῦ 138

Π

Παιὰν 179
παιανιεῖς 180
παιανιεὺς 180
παιανίζω 180
παιδαγωγὸς 180
παιδιὰ 51. 179
παιδίον 176. 179
παιδοτρίβης 180
παίζω 179
παιήων 180
παικτὸν 180
παίονες 180
παιονίδαι 180
παιπάλη 180
παῖς 176. 177. 179
παῖσαι 179
παίω 10. 180
παιώνια φάρμακα 180
πακτωλὸς 276
παλαμήδης 224
πάλη 248
πάλιν 248
πάλλειν 248
παῤ ἡμῖν 36
παρὰ 36
παράδεισος 104
παραδυναστεύω 37
παραὶ 43
παραίτιος 222
παραλελυμένα μέλη 234
παραλογίζομαί τινα 54
παραλύω 234
παραμείβειν 37
παραπαίω 10. 37
παραπεσεῖν 269
παραπολαύω 37
παραπόλλυμι τὸ ναῦλον 37
παρατρέχειν 37
παρεδρεύω 37
παρεικὼς 281
παρειμένος 20

πάρειμι 279
παρεῖναι 281
πάρεισιν 279
παρελθεῖν 37
πάρεσιν 37
παρευδοκιμῶ 25
παρηκα 280
παρῆναι 27
παρθενεῖα 51
περιαγκωνίζω 55
παρίημι 280
πάροδος 173
παροιμία 146
παροιμία, εἰς τροφωνίου μεμάντευται 231
πάρος 23
πατραλοίας 65
πάτρωος 172
πάτρων 172
περὶ πατρωνυμικῶν 223
Πεδιὰς 177. 185
πέδιλον 179
πεδινὸς τόπος 190
πεδίον 177
πέδον 177
πέζα 179
πεζαίτεροι 178
πεζεύω 179
πειθαρχῶ 113
πεινῶ 111. 112
πεῖρα 113. 277
πειραιεὺς 112
πειρατήριον 113
πειρατὴς 113
πειράω 254
πειρῶμαι 113
πεῖσμα 113
πεῖσσα 113
πειστέον 112
πειώλης 113
πέλανος 179
πελαργὸς 177
πέλεια καὶ πελειὰς 179
πελεκὰν 179
πελιδνὸν 178
πέλοψ 179
πελώριος 179
πέμπελος 118
πενέσαι 178
πένης 179
πενία καὶ ξενία διὰ τί διὰ τοῦ ι 50
πενιχρὸν 179
πένομαι 179
πεντηκόνταρχος 177
πεντηκόντορος ναῦς 177
πεντηκοστὴ 178
πεντηκοστολόγοι 178
πεντόσιρις 258
πεπαίνω 179
πεπάρηθος 178
πέπειρον 179
πέπερι 177
πέπλος 178
πεπολέμωται 178
πέπονες 179
πεπράσσομαι 177
πεπρωμένη 179
πεπωρωμένος 108
περαίνω 179
περαιτέρω 179
πέρας 179
περγασὴ 178
πέρδιξ 179
τῆς περὶ διάφοραι σημασίαι 39
περίεστί μοι πλούτου 40
περίανδρος 178
περιδέραια 178
περίειμι 279
περιεῖναι 281

πε-

περιεπλυσμένος 153
περιῆμεν 280
πέριξ 40. 43
περίοδος 173. 178
περιπεσεῖν θλίψεσι 269
περιπολεῖν 106. 115
περίπολος 106. 178
περίστασις 178
περιστέφειν 259
περιστοιχίζεται 178
περιφανὴς 277
περίψημα 179
περιωδυνία 174
περιωπὴ 179
περόνη 179
πέρσης 179
πεσσοὶ 177
πετεεινὸν 179
πετεινὸν 179
πέτηλον 179
πέτομαι 178
πέτρος 177
πεττύκια 177
πέττω 179
Πήγανον 112
πήγασος 112
πηγὸς 112
πηγυλλὶς 112
πηδάλιον 112
πῆθι 112
πήθω ἄχρηστον 136
πηλαμὺς 112
πηλείδης 223
πήληξ 79. 112
πήλιον 112
πηλὸς πόσα σημαίνει 134
πηλούσιος 112
πῆμα 112
πημαίνω 112
πηνειὸς 112. 282
πηνήκη 112
πηοὶ 112. 282
πήρα 112. 277
πηρὸς 112. 135
πήσσω 112. 154
Πιαίνω 112
πίδαξ 112
πιερία 112
πιθάκνη 112
πιθοιγία 112
πῖλον 112. 135
πιμελὴ 112
πιμπρῶ 112
πιναρὸν 112
πίννα 112
πίνος 112
πινυτὸς 112
πινῶ 111
πῖον 112
πισσαῖος 112
πιστευτέον 112
πιστὸς 152
πίσυνος 112
πιτνῶ 112
πλαταμὼν 167
πλειὰς 244
πλεῖν 227
πλεῖον 244
πλειόνως 244
πλεισθένης 244
πλειστηριάζειν 244
πλειὼν 244
πλέον 244
πλέω 9. 244
Πλήθουσα ἀγορὰ 243
πλημμελεῖν 244
πλημμύρα 243
πλημμυρὶς 243
πλὴν 243
πληρωταὶ 243
πλησίον 243
πλήσσω 154
πλινθίον 244

πλουτίνδην καταλέγειν 248
Πόα 106
ποδήνεμος 106
ποδήρης χιτὼν 106
ποδοκάκκη 107
ποδοστράβη 107
ποθὴ 106
πόθος 106
ποιὰ 248
ὁ ποιητὴς 21
πόκος 106
ποκάδες 106
πολεῖς 107
πολεμέω 147
πολέμιος 106. 175
πολέμων 167
πολιὰ 106
πολίζω 107
πολιορκία 106
πόλις 106. 115
πολίχνιον 105
πολλοστὸς 106
πολύοπον 106
πολὺς πῶς κλίνεται 221
πολύωπον 107
πολῶ 106. 116
πομπίλος 107
πομφόλυγες 107
πονηρὸς 135
πόνηρος 135
πόντιος 107
πόντος 107
πόπανα 107
ποππύζω 107
πορθμεῖον 107
πορθμίον 107
πορθμὸς 107
πορίζομαι 106
πόρος 106
πόῤῥω 195
πόρω 106
πόσις 106
πότε ἡ δοτικὴ χώραν ἐν τῷ λόγῳ ἔχει. 250
πότερον 107
πότμος 106
ποτνιῶμαι 107
ποτώμενος 107
Πραίδα 49
πραίνετος 49
πραιπόσιτος 49
πραίσιδος 49
πραιτοῦρα 49
πραίτωρ 49
πρέμνος 49
πρεσβεία 49
πρέσβειρα 49
πρεσβεύομαι 49
πρεσβεύω 49
πρέσβις 49
πρέσβυς 49
πρεσβύτης 177
Πρηγορεὼν 211
πρηνὴς ἔπεσε 211
πρήσσουσα 211
πρηστὴρ 211
πρήσω 211
πρηὼν 211
Πριηνεὺς 211
πριήνη 211
πρὶν 211
πρῖνος 190. 211
πρίομαι 210
πρῖσαι 210
πρίσκος 211
πριστὰ ξύλα 211
Πρὸ 31
προασπίζω 32
προβάλλομαι 150
προβόλιον 119
πρόβολοι 119
πρόβολος 119. 150
πρόειμι 279
προελόμενος 119
προέρχομαι 32

προῆλθεν 32
προάψεν 40
προοίμιον 146
προΐσαμαι 32
πρόκλησις 119
πρόνοια 169
προνομαία 119
προνομεύω 119
πρόξ 119
πρόξενος 156
προξενῶ 157
πρόοδος 173
πρόουρος οἶνος 119
προὔργου 32
προπηλακισμὸς 119
πρὸς 30
πρὸς πλατάνιςον ὤρουσεν. 31
προσαίτης 220
προσάπτομαι 31
πρόσειμι 279
προσεῖναι 281
προσῆκον 119
προσηνὴς 119
προσκαλέσασθαι 119
πρόσοδος 173
προσπεσεῖν 269
προσπιτνῶ 112
προσροπὴ 119
προσφορὰ 119
προσψαύω 31
πρόσω 195
προταινὶ 119
προτένθης 119
πρότονα 119
πρότριτα 119
προτροπάδην 119
προφερεῖς 119
Πρώην 249
πρωθήβης 118
πρωϊζὰ 118
πρῶν 118
πρωτόλεια 118
Πταῖσμα 98
πλήσσω 154
πλισσάνη 153
πλίσσω 153
Πτοία 248
Πυρὸς 105. 145
Πῶ 108
πώγων 107
πωλέσκομαι 108
πωλεύω 51. 107
πωλητήριον 107
πωλικὸν ἄλλεσθαι 107
πωλοδάμνης 107. 180
πῶλος 107
πωλῶ 107. 116
πῶμα 107
πώμαλα 107
πῶρος 107
πῶϋ 107

Ρ

Περὶ λέξεως ἀπὸ τοῦ ρ ἀρχομένης. 52
ῥαδίως 245
ῥᾶον 245
ῥᾷστον 245
Ῥεῖ 181
ῥεῖα 181
ῥεῖθρον 181
ῥειώνη 181
Ῥηγεὺς 180
ῥήγιον 180
ῥηγμὴν 181
ῥηγνύω 180
ῥῆγος 181
ῥηϊδίως 181
ῥήματα τροχαϊκὰ ἐν συνθέσει οὐκ ἀναβιβάζει τὸν τόνον 164
περὶ ἀχρήστων ῥημάτων 150

τὰ τροχαϊκὰ ῥήματα ὀξύτονα ἐγκλίνεται. 158
τρία ῥήματα ὧν μετοχαὶ ὀξύνονται. 264
ῥὴν 181
ῥῆνος 181
ῥὴξ 181
ῥηξήνωρ 181
ῥῆσος 181
ῥήσσω 154. 181
ῥητίνη 181
ῥητὸν 181
Ῥιγεδανὸς 180
ῥιγέω 152. 180
ῥίγιον 180
ῥικνοῦσθαι 180
ῥιγόω 152. 180
ῥὶν 180
ῥίνη 180
ῥινηλατεῖν 180
ῥινηλάτης 180
ῥινὸς 180
ῥίον 180
ῥιπὴ 180
ῥιπὶς 180
ῥίψασπις 180
Ῥόα 261
ῥοβοὰμ 261
ῥόδιος 261
ῥοδογούνη 261
ῥόδον 261
ῥόδος 261
ῥοδωνιὰ 261
ῥοὴ 261
ῥόθιον 261
ῥόθος 261
ῥοιὰ 261
ῥοΐσκοι 262
ῥομφαία 261
ῥόπαλον 79. 261
ῥόπτον 262
ῥοφῶ 261
Ῥωμαῖοι 262
ῥωμαλέος 262
ῥωμανὸς 262
ῥώμη 262
ῥῶμος 262
ῥωμύλος 262
ῥὼξ 262
ῥώννυμι 262
ῥωννύω 262
ῥωσία 262
ῥῶσις 261. 262
ῥὼψ 138. 262

Σ

Τὰ εἰς σ λήγοντα ὀνόματα μετὰ διχρόνου, ἀποβολῇ τοῦ σ ποιοῦσιν οὐδέτερον. 142
σαγήνη 128
σαίνουρος κύων 88
σαίνω 88
σαίρω 88
σαλὴμ 116
Σεβάστεια 88
σέβομαι 88
σεληνὸς 70. 190
σεῖο 70
σειρὰ 70
σειραῖος ἵππος 70
σείριος 70
σειρῆνες 70
σειρήνεια μέλη 70
σεισάχθεια 70
σεισίχθων 70
σεισμὸς 7
σειστὸς 8. 70
σείω 70
σέλας 88
σελεύκεια 88
σελευκὶς 88
σεληναία 88
σεμναὶ θεαὶ 88
σεμνεῖον 88
σεραφεὶμ 116
σεραφὶμ 116

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/336
gefördert von der Deutschen Forschungsgemeinschaft

σέρις	88	σίγα	68	σκύθης	253
σερίφιος	88	σίγειον	69	σκυθικαὶ	253
σέριφος	88	σιγὴ	68	σκίλα	253
σεσημασμένα	88	σιγηλὸς	68	σκύλακες	253
σεσηρυῖα	248	σιγίλλιον	68	σκύλον	253
σεσηρὼς	88	σίδη	68	σκύλω	253
σεύομαι	121	σιδὼν	68	σκύμνοι	253
Σηγὼρ	69	σίελος	68	σκυτάλη	253
σήθω	69	σικανοὶ	68	σκύταλοι	253
σηκὸς	69	σίκυα	68	σκύτινος	253
σῆμα	69	σικυήλατον	68	σκυτοδέψης	253
τὰ παρὰ τὸ σῆμα	63	σιλαίνω	69	σκύτος	253
		σιληνὸς	69. 190	σκυτοτόμος	253
σημαῖα	69	σίμβλον	68	σκύφος	253
σημαίνω	69	σιμὸς	69	σκὼψ	138
σημεῖα	69	σινὰ	68	Σμέρδειν	75
σηπεδὼν	69	σίνηπι	68	σμερδὴ	75
σηπία	69	σίνομαι	68. 111	σμῆνος	190
σὴρ	69	σῖνος	68	σμύχω.	105
σηράγγιον	69	σιπύα	69	Σοβαρὸς	67
σήραγξ	69	σίντις	69	σοβὰς γυνὴ	67
σηρικὰ ἱμάτια	69	σιῤῥὸς	69. 135	σοβῶ	67
σὴς	69	σιτηρέσιον	69	σοδομήτης	67
σήσαμον	69	σιτίζω τὸ παιδίον	69	σόλοι	67
σησαμοῦντες	69			σολοικίζειν	67
σησὸς	8. 69	σιτοφύλακες	69	σολοικισμὸς	67
σητάνιος ἄρτος	69	σιφλὸς	69	σολομὼν	117
σηὼν	69	σιὼν	68	σόλος	67
Σιαγὼν	68	Σκαιὸν	12	σολυμῖται	115
σίαλον	68	σκαιὸς	12	σόλων	67
σίβυλλα	68	Σκύζεσθαι	253	σορὸς	67

σοφί-

σοφίζομαι 54
σοφίζομαι ὑπότινος 54
σοφίζω τινὰ 54
σοφιστὴς 67
Σπάρτη 215
Σπῖνος 190
Σποράδην ἵστασθαι 249
Σταὶς 260
σταιτίτης ἄρτος 260
Στέαρ 260
στεγανὸν 260
στέγω 260
στειλειὸς 282
στεῖνος 190
στείνω 111
στέλεχος 260
στέλλεσθαι 260
στέλλω 165. 260
στέμμα πόθεν 259
στέμφυλα 260
στεντόρειος φωνὴ 260
στέντωρ 260
στενωπὸς 260
στέργειν 260
στερίφη 260
στέρνον 260
στεροπὴ 260
στεφανηφόρος 260
στεφανίτης 260
στέφανος 259
στεφανοῦν 260
στέφος 259
στέφω 259
Στίζω 55
Στοὰ 116
στοιχῶ 105. 162
στολαὶ καὶ καταστολαὶ 165
στομφάζω 116
στόνος 116
στοργὴ, φιλοστοργία 260
στορῶ 116
Στρατεύομαι 239
στρατεύω 239
στρατόπεδον 275
Στρόβιλος 94. 153
στροβῶ 153
στρουθία 233
στροφάλιγξ 153
Στρυμὼν 167
Στρωφῶ 153
Στυγητὸς 245
στύμα 194
στώδιον 117
στωϊκὸς 117
στωμύλος 117
Σὺ δὲ ᾤου χρυσοχοήσειν, παροιμία. 52
περὶ τῶν συγκριτικῶν 144. 146
συγκριτικὰ διπλῶς ἐκφερόμενα 186
συγκροτῶ 176
συγχώρησις 99
συκοφάντης 214
συλλήβδην εἰπεῖν 249
συμπαίω 10
συμπεσεῖν 269
συμπλεκτικοὶ σύνδεσμοι 45
συμφοιτητὴς 252
σὺν 29
συναγηοχὼς 244
σύνειμι 279
σύνεισιν 279
συνῆκα 280
συνθιασῶται 148
συνίημι 280
σύνοδος 173
συρίζω 55
συρφεὸς 11
συφορβὸς 54

Σφη-

Σφηκῶ 87
σφὸς 16
σφριγῶ 152
σφωΐτερος 16
Σχεδία 59
σχεδιάζω 59
σχεδογραφῶ 58
σχὲς 59
τὰ παρὰ τὸ σχῆμα 63
σχῖνος 190
Σῶκος 68
σωλὴν 68
σῶμα 67
σωμανίτης 68
σῶος 68
σωρεία 67
σωρηδὸν 68
σωρὸς 67
σῶς 68
σῶστρα 68
σώτειρα 68
σῶτερ 108
σωφεὶρ 68
σωφρονεῖ 226

T

Ταίναρον 27
ταινία 27. 157
ταινιῶ 27
τάλαντον 158
τάφος 72
Τέγος 26
τέθριππον 26
τείνω 91. 111
τεινῳδὸς 91
τεινῳδῶ 91
τείρεα 91
τειρεσίας 91
τείρω 91
τειχεσιπλήτης 91
τειχήρης 257
τέκος 26
τεκταίνω 27
τέκτονες ἰδίως 27
τέκτων 27
τελαμὼν 27
τελεταὶ 27
τελευτῶ 27
τέλμα 27
τέλος 27
τελούμενοι 27
τελχίν 27
τελῶ 27
τελώνης 27
τέμαχος 26
τέμενος 26. 48
τέμνειν ἀμπέλους 26
τέμνω 26
τέμπος 26
τένδω 27
τένεδος 26
τεὸν 26
τέρας 26
τερέβινθος 26
τέρετρον 26
τερθρεία 26
τερσαίνω 27
τέσσαρες ἀγῶνες τῆς ἑλλάδος, καὶ ἆθλα αὐτῶν. 274
τετρεμαίνω 27
τέτρωρον 26
τετυφωμένος 27
τεχθῆναι 27
τεχνάζομαι 27
τεχνησάμενος 26
τεχνητὸν 27
Τῆ 91
τήβεννα 90
τῆδε 90
τήθεα 90
τηθὴ 90
τηθηνῶ 111
τηκεδὼν 90
τήκω 90
τῆλε 90
τηλεκλυτὸς 90

τιλ-

τηλικοῦτος 91
τηλόθεν 90
τηλόθι 90
τηλύγετος 90
τημέλεια 90
τήμερον 90
τῆμος 18. 90
τηνάλλως 90
τυνεὶ 91
τῆνος 18. 90
τῆξις 91
τηρῶ 91
τῆς ἀμφὶ διάφοραι σημασίαι. 40
τῆτες 90
τητινὲς 90
τητῶμαι 91
Τιάρα 89
τιβεριὰς 89
τίγρις 89
τιθασσεύω 90
τιθασσὸς 90
τιθήνη 90
τιθηνῶ 90
τίκτειν 26
τίλλω 90
τιμαλφέστατον 90
τιμὴ 89
τίμιος 89
τιμωροῦμαι 90
τιμωρῶ 90
τὶν 18
τίννυμαι 90
τιννύω 90
τίνω 111
τῖος 90. 148
σημαινόμενα τοῦ τις 142
τιτάνες 90
τίτανος 90
τιτθὴ 90
τίτλος 90
τιτὼ 90
τίω 7. 89
Τμήγω 152
Τοὶ 125
τοίνυν 58
τοῖος 168. 142
τοιχίζειν 125
τοῖχος 125
τοιχωρύχος 125
τότε 18
Τρεπτὸν 236
τρήρων 77
τρῆσις 77
τρητὸς 77
τρηχὺς 77
Τρίαινα 77
τριακὰς 76
τριβαλὸς 77
τρίβος 77
τρίβων 76
τρίβωνες 76
τριβωνευόμενοι 76
τριβώνιον 76
τρίγωνον σχῆμα 76
τριήμερος 75
τριηράρχημα 76
τριήρης 77
τριόδους 77
τρίπηχυς 77
τριπόδης 77. 154
τρίπους 77
τρὶς 75
τρισαριστεὺς 76
τρίτον 76
τρίτου ἡμίδραχμον 76
τριττὸν 76
τριττὺς 76
τριτὼ 77
τριτογένεια 77
τρίτων 77
τρίτωνες 77
τριχῆ 77
τριχίδες 77
τρίχινον 76
τριωβολιμαῖος 77
τριώροφος οἶκος 77
Τροία 120

τροι-

τροιζὴν 120
τρομαλέος 232
τρομερὸς 232
τρόπαια 232
τρόπαιον 232
τροπὴ 232
τρόπος 232
τροποῦμαι 232
τρόπις 232
τροπωτὴρ 233
τροφεῖα 231
τροφεὺς 231
τροφὴ 231
τρόφιμος 62. 231
τροφώνιος 231
εἰς τροφωνίου ἄντρον μεμάντευται, παροιμία. 231
τροχάζω 232
τροχαῖος 232
τροχαλοὶ 232
τροχαλὸς 232
τροχίλος 232
τρόχις 232
τροχὸς 232
Τρυβλίον 120
τρυγητὸς 120. 246
τρυγίας 120
τρύγοιπος 120
τρύζειν 120
τρυμαλιὰ 120
τρὺξ 120
τρυτάνη 120
τρυφάλεια 79
τρυφὴ 231
τρύφος 120
τρυφῶ 120
τρύχω 105
Τρῶ 77
τρώγλη 233
τρωγλίτης 233
τρώγω 233
τρωῖλος 233
τρῶκται 233
τρώξιμον 233
τρώσω 233
τρωτὸς 233
Τύανα 124
τυκτὸν 124
τύμβος 124
τυμβωρύκτης 124
τυμβωρύχος 124
τυννοῦτος 124
τύραννος 124
τυρβάσαι 124
τύρβη 124
τυρεύω 124
τυρὸς 124. 145
τύρος 124
τυρσηνοὶ 124
τυτθὸς 124
τυφλώττω 124
τῦφος 124
τύφω 124
τυφὼν 27. 124
τυφὼς 124

Υ

ὑβρίζω 55
ὑγιὴς 120
ὑδρία διατὶ διὰ τοῦ ι 50
ὕειον κρέας 183
ὕλη 151. 167
ὑμέναιος 145
ὑμετέρα 145
ὑμέτερος 16
ὑμητὸς 145
ὑμὴν 145
ὑπαίτιος 222
ὕπαρ 182
ὕπαρχος 182
ὑπάτη 182
ὑπατία 51
ὕπατος 182
ὑπὲρ 181
τῆς ὑπὲρ διαφορᾶς σημασία 41

ὑπέρ-

ὑπέρ σέ εἰμι 42
ὑπέραι 182
ὑπερακοντίζειν 42
ὑπέρβολος 182
ὑπερημερία 182
ὑπερήμεροι 182
ὑπερήφανος 182. 277
περὶ ὑπερθετικῶν 228
ὑπερίδης 182
ὑπερμαχεῖν τινος 42
ὕπερον 182
ὑπερφίαλος 158
ὑπερχειλὴς κρατὴρ 182. 198
ὑπερώη 182
ὑπερῷον οἴκημα 181
ὑπηνείτης 182
ὑπήνη 128. 182
ὑπνομαχῶ 181
ὑπνέω 182
ὑπνώττω. 182
τῆς ὑπὸ διάφοραι σημασίαι 41
ὑποβλέπειν 182
ὑπόβλητον 182
ὑποβολιμαῖον 182
ὑπόδρα 182
ὑποθημοσύνη 95
ὑποκορίζεσθαι 182
ὑποκοριστικὰ εἰς ιδιον 131
ὑποκοριστικὰ παροξύτονα 131
ὑπόμνυσθαι 182
ὑπομωσία 182 240
ὑπονομεύοντες 182
ὑπόνομος 182
ὑποπεσεῖν 269
ὑποπιέζω 183
ὑπόπυον 183
ὑπόσπονδος 182
ὑποστάθμη 120
ὑποστήσας 182
ὕπουλος 182
ὑπόχρυσον 41
ὑπώπια 183
Ὑσμίνη 128
Ὕφαλος 182
ὑφείλετο 41
ὑφῆκα 280
ὑφῆκα τοῖς βουσὶ τὰ μοχία. 280
ὑφῆναι 27
ὑφορῶμαι 182
Ὕω 64

Φ

Φαείνω 111
Φαίακες 214
Φαίδρα 214
Φαιδρὸς 214
Φαιδρύνω 214
Φαιδρωπὸς 214
Φαῖεν 214
Φαίνω 214
Φαιὸν 12. 214
Φατειὸς 282
Φειὰ 160. 196
Φειδίας 160
Φείδομαι 160
Φειδωλὸς 160. 276
Φεισσῶν 160
Φελλεὺς 214
Φελλὸς 214
Φελώνη 214
Φενακίζω 213
Φενακισμὸς 213
Φέναξ 213
Φένω 213
Φεραὶ 214
Φεραυγὴς 214
Φέρε 214

Φέρει

Φέρει ὁ θεὸς κόσμους ϗ βίους. 213
Φέρει ἡ γῆ τόδε 213
Φέρεκλος 213
Φερέοικος 214
Φερνὴ 214
Φέρομαι 213
Φερσέφαττα 214
Φερσεφόνη 214
Φέρτερος 213
Φέρω 98. 213
Φερώνυμος 214
Φεύγων 264
Φέψαλος 214
Φηγὸς 160
Φῆληξ 160
Φηλῶ 160
Φηλώματα 160
τὰ παρὰ τὸ φήμη 63
Φήμη 160. 241
Φῆναι 27. 160
Φήνη 128
Φήτρα 117
Φθίνω 111
Φιάλη 158
Φιλαδέλφεια 159
Φιλάμμων 159
Φίλαυτος 159
Φιλεταῖρος 159
Φίλιος 159
Φίλιππος 159
Φιλίσκος 159
Φιλογόνιος 159
Φιλόγονος 159
Φιλομειδὴς παρ' Ὁμήρῳ 159
Φιλομηδὴς παρ' Ἡσιόδῳ 159. 171
Φιλόνεικος 159
Φίλοινος 159
Φίλος 158
Φίλος ϗ φιλῶ βραχὺ τὸ ι ἔχουσιν, ἐνίοτε ϗ μακρόν. 162
Φιλοσοφῶ 159
Φιλότιμος 159
Φιλῶ 158. 162
Φιμὸς 160
Φινεὲς 159
Φιτρὸς 160
Φόβη 54
Φοιβάζειν 252
Φοῖβος 252
Φοινίκη 252
Φοινίκια γράμματα 252
Φοινικὶς 252
Φοινικοῦν χρῶμα 252
Φοίνιξ 252
Φοινίσσω 154. 252
Φοιτάλμιος ποσειδῶν 252
Φοιτητὴς 252
Φοῖτος 252
Φοιτῶ 252
Φολιδωτὸς χιτὼν 54
Φόλις ϗ φολὶς 54
Φολκὸς 54
Φονεία 51. 54
Φονή. 54
Φονία 51
Φόνος 51. 54
Φονῶ 54
Φοξὸς 54
Φορὰ 54
Φοράδην 54
Φοράδην κομίζεσθαι 249
Φορβὰς 54

Φορβειά 54
Φορβὴ 54
Φορητὸς 54
Φορίνη 54
Φόρμιγξ 54
Φορμίζω 54
Φορμὸς 54
Φορολόγος 54
Φόρος 54
Φορὸς ἄνεμος 54
Φορύνω 54
Φορυτὸς 54
Φορῶ 54
Φρὶξ 154
Φρίσσω 154
Φρίττειν ἐπὶ συὸς λεγόμενον, ἐπὶ μάχης, ἐπὶ λήϊων 154
Φρούριον 106
Φρῶ 255
Φυγαδεύω 251
Φυγὰς 251
Φύζα 251
Φυζακινὸς ἔλαφος 190. 251
Φυὴ 251
Φύκια 252
Φύκος 251
Φυλακὴ 252
Φύλαρχος 251
Φυλὴ 251
Φυλέτης 251
Φυλλὰς 251
Φύλλον 251
Φύλον 251
Φύλοπις 252
Φύραμα 252
Φύρδην 252
Φυρῶ 252
Φυσᾷν 251
Φύσεις 251
Φύσιγγες 251
Φυσίζωος 252
Φύσκη 252
Φύσσα 252
Φυτάλμιος ζεὺς 252
Φυτηκόμος 252
Φύτλη 251
Φυτὸν 251
Φυτοσπόρος 252
Φύτης 159
Φυτῶν 252
Φύω 252
Φωκεὺς 53
Φώκη 53
Φωλεὸς 11
Φωλεὼς 53
Φωνασκῶ 53
Φωνῶ 53
Φὼρ 53
Φωριαμὸς 53
Φώριον 53
Φωρῶ 53
Φὼς 53
Φῶσαι 53
Φώσκω 53
Φωσσάτον 53
Φώσσων 53

X

Χαῖον 12
χαιὸς 12
χαίτη 163
χαλκήρεα δούρατα 257
χαρίζομαι 141
χαροπὸς 125
Χειὰ 196
χερουβὶμ 116
χέρσος 151
Χηλὸς 135
Χιλὸς 135. 196
Χίος 148. 196
χῖος 148. 196
Χλιδὴ 231
Χοάσπις 99
χοὴ 99
χοϊκὸς 99

χο-

χολάδες 99
χολέρα 77
χορηγῶ 152
χορία 99
χορίκιος 99
χοροῖς 160
χορὸς 99
χοῦς πόσα σημαίνει 134
Χραίνω 67
χρεία 9
χρεῖος 55
χρείω 9
χρειῶ 9
χρέω 8
χρὴ 9
χρήζω 55
χρηΐζω 55
χρήματα 8
χρηματίζομαι 231
χρηματίζω 8. 231
χρησμολόγος 8
χρησμὸς 8
χρηστήριον 8
χρήστης 9
χρηστὸν 161
χρηστὸς 8
χρίεσθαι 236
χρίπτομαι 8
χρίσμα 8
χριστὸν φάρμακον 236
χριστὸς 7. 8
χρίω 7. 8
χρόα 246
χρονίζω 246
χρόνιος 246
χρυσακόνιον 235
χρυσῆϊς 52. 257
χρυσῖτις γῆ 52
χρυσίον 52. 132
χρυσορρήμων 51
χρυσὸς 52. 132
χρυσόφρυς 52
χρῶμα 246
σημαινόμενα τοῦ χρῶμαι 135
χρὼς 246
Χύδην 248
Χωλὸς 99. 270. 276
χῶναι 99
χώομαι 99
χωρεῖς 160
χωρὶς 99. 160
χῶρος 99
χωρῶ 99

Ψ

Ψόιθης 105
Ψυκτὴρ 105
ψυχὴ 104
ψύχω 104
Ψωλὸς 276

Ω

Ὧδε 174
ᾠδὴ 174
ᾠδικὸς 174
ὠδὶ 174
ὠδῖνες 174
ὠδίνω 111
ὠδύνειν 174
ὠδώδει 174
Ὦλαξ 275
ὠλένη 275
ὦ μέλεε 83
ὠμηστὴς 241
ὠμίας 242
ὠμογέρον 242
ὠμόθυμος 242
ὤμοι 242
ὠμοκρατὴς 242
ὠμὸν 241
ὠμοπλάται 241
ὦμος 241
ὠμότης 241

ὤμου κεφαλὴ 241
Ὧρα 102
ὦρα 101
ὠραι 102
ὡραίας γάμων 101
ὡραΐζω 55
ὡραῖος 101
ὡραῖος καρπὸς 102
ὡραιῶ 166
ὠργίσθη 256
ὡρεῖον 102. 183
ὡρείτης 102
ὡρεὸς 102
ὥριμος καρπὸς 62
ὥριστος 102
ὥρμησεν. 276
ὥρμισέ τις τὴν ναῦν 277
ὦρτο 102
ὠρύομαι 64
σημαινόμενα τοῦ ὡς 136
Ὠφέλιμος 62
ὤφελον 140
ὤφειλον 140
Ὤψ 125

Τὰ παροράματα οὕτω γράψον.

σελ.	στίχ.	
2	20	θάλαττα, Γρ. ἡ θάλαττα,
5	3	διὰ τῆς ι Γρ. διὰ τῆς ει
	12	ἢ τȣ̃ ι Γρ. ἢ τȣ̃ η,
11	9	τȣ̃ σποιητικῶς Γρ. τȣ̃ σ ποιητικῶς
	28	χειρομάνδειον Γρ. χοιρομάνδειον.
12	26	ἐπεὶ τρία Γρ. ἐπεὶ ϗ τρία.
13	5	παραπληρωματικȣ̃ς. Γρ. παραπληρωματικȣ̀ς συνδέσμȣς.
	17	ȣ̓θ Γρ. ȣ̓κ
14	12	δωρικῶς Γρ. δωρικῶς δε ϗ αἰολικῶς.
	27	῞ε. Γρ. ἕε.
20	13	παρίημι Γρ. ϗ παρίημι.
26	30	ματὰ Γρ. μετά
29	26	τὸ ϗ Γρ. ϗ τὸ
30	9	Καὶ Γρ. Ναὶ
38	18	Αἰτιατιπῆς. Γρ. Αἰτιατικῆς.
50	15	πρακλήτωρ Γρ. παρακλήτωρ,
51	14	πολέυω, Γρ. πωλέυω,
52	9	ἀ τȣ̃, Γρ. ἀυτοῦ,
	28	ϗ, διφθόγγȣ, Γρ. ϗ ι διφθόγγȣ,
57	28	μέσων Γρ. μέσον
60	27	τέυτων Γρ. τȣ́των
63	26	εἰσυ Γρ. εἰσι
65	10	μονογυῆ Γρ. μονογενῆ
66	1	προκρίναυτες, Γρ. προκρίναντες, ἐλαφρίτατοι
68	19	Σιμωνίδης. Γρ. Σιμωνίδης. Σιδῶν
66 ἀντὶ 69	10	ἀρχή τι Γρ. ἀρχή τις
73	11	τρεφόμενον Γρ. τὸ τρεφόμενον
77	20	ȣ̉ Γρ. ȣ̓
79	18	κ'λαφος, Γρ. κόλαφος,
81	29	μέσων Γρ. μέσον
86	21	καταχρισικῶς Γρ. καταχρησικῶς
87	6	δίφθογγον Γρ. δίφθογγος
99	1	συγχώρησις. Γρ. ἡ συγχώρησις.
101	24	ὀρέυω, Γρ. ὀρέω,
105	14	ψύζις Γρ. ψύξις.
108	20	ἀλλὰ ϗ Γρ. ἀλλὰ πολλὰ ϗ
109	13	βοηδρομί, Γρ. βοηδρομία,
111	15	πείνω, Γρ. τείνω,
112	3	πησσαῖος. Γρ. πισσαῖος.
	28	πεις ου Γρ. πεισέου
119	14	προελόμεσος, Γρ. προελόμενος,
	15	προθέμεσος. Γρ. προθέμενος.
126	20	δεκατεσσάρων Γρ. δεκατεσσάρων τινῶν.
128	28	θριδακίνη, Γρ. θριδακίνη, τὸ μαιώλιον. Ῥητίνη,
132	9	τ Γρ. τὸ
	13	ὄργιος, Γρ. ὄργιον,
158	30	ἑτέρȣ, Γρ. ἑταίρȣ,
159	19	φιλεταῖρος, Γρ. φιλέταιρος,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/347
gefördert von der Deutschen Forschungsgemeinschaft DFG

σελ.	στίχ.	
168	4	βατὴρ Γρ. βοτὴρ
170	2	ἡ Γρ. ἢ
	6	οἶον Γρ. οἶνον
176	17	λοιδηρησμός. Γρ. λοιδορησμός.
180 Γρ. 178		
180	1	ἀφέσαι Γρ. ἀφέσει
191	9	ἐριάνχην Γρ. ἐριάυχην,
	23	καλλιὰ Γρ. καλιὰ,
199	18	Α᾽θηνάιος Γρ. Α᾽θηνάιοις
205	24	ψιλήν. Γρ. ψιλόν.
215	4	προσγεγραμμένην. Γρ. προσγεγραμμένον.
216	20	ὁ Γρ. τὸ
	26	Λικ νιος, Γρ. Λικίνιος,

σελ.	στίχ.	
218	7	Λῃστὴς, Γρ. Λῃστὴς, Λῃστέυω,
226	10	τάυτις Γρ. τάυτης
232	22	δυνάμεους Γρ. δυνάμενος
247	6	Εἰδώλια, Γρ. Ε᾽δώλια,
259	14	ο ἐξάλειψον τὸ ο ὡς περιττόν.
268	12	γογονότες, Γρ. γεγονότες,
283	2	βιβίλῳ. Γρ. βιβλίῳ.
285	ἄνειν	246 Γρ. 264
286	γείνω	468 Γρ. 268
288	διδασκαλεῖον	152 Γρ. 132
291	ἔξειμι	278 Γρ. 279

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/349
gefördert von der Deutschen Forschungsgemeinschaft

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/350
gefördert von der
Deutschen Forschungsgemeinschaft

Datum der Entleihung bitte hier einstempeln!

III/9/280 JG 162/6/86

Lit. Graec. B. 4791.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden

http://digital.slub-dresden.de/id367409461/351

gefördert von der Deutschen Forschungsgemeinschaft

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367409461/352
gefördert von der
Deutschen Forschungsgemeinschaft